telleximus, subit nos huius magnanimitatis et iustitiae admiratio; et quae voles praestabimus, iustaque et utilia tuo iudicio metiemur. Quod vero antea oratione discrepuimus, non id studio dissentiendi factum est; sed ut ne quid eorum, quae tempus postularet, nos indiscussum praeteriret. Proinde cum omni ambiguitate sublata sententiis congruamus; hoc solum restat, ut omissis sermonibus, ad id quod datur, aggrediamur. Postquam Syrgiannes deinde ex sua item mente locutum protostratorem pronuntiavit, et hoc ad commendationem nepotis adiecit, Ob hanc reverentiam atque curam avi multa illum apud magnum caelestemque imperatorem manere praemia, qui aut malevolorum consilia mutaturus, aut ad nocendum prorumpentibus pro defensore obviam iturus esset: ubi nepos quoque de benevolentia et obsequio sibi praestitis gratias amplas egit, fugiendum esset nec ne, quaesiverunt. Et quia semper diem supervenientem malum aliquod maius parere videbant, et iram avi magis magis corroborari, ex eo ducta coniectura videlicet, quod nunquam vel verbo appellare nepotem dignaretur: et quia in timore erant, ne si quid inopinatum derepente extitisset, id ipsum effugere nequirent, dum tempus ad eam rem sineret et libertas suppeditaret, Byzantio excedendum statuerunt. Imperator quamquam eos id quod res esset, dixisse et scopum tetigisse

A.C.1320 λῶς στοχάσασθαι ἔφη, ἔτι μέντοι γε καρτερίας καὶ μεγαλοψυχίας προσδεῖν, ἄχρι καὶ αὐτῆς τῶν κινδύνων τῆς ἀκμῆς. ἤλπιζε γὰρ ἀεὶ μεταβαλεῖν καὶ τῶν μελετωμένων ἀποστήσεσθαι τὸν βασιλέα. „τὸ δὲ νῦν ἔχον, περὶ τῆς βασιλίδος" ἔφη „τῆς ἐμοὶ συνοίκου σκεπτέον, εἰ χρὴ καὶ ταύτην φεύγουσιν ἡμῖν συνέπεσθαι." ἦν δ' ἐκ Γερμανῶν αὕτη θυγάτηρ δουκὸς ντὶ Μπρουζουὴκ τοῦ παρ' αὐτοῖς ἐπιφανεστάτου καὶ λαμπρότητι πάντας C τοὺς ὁμοφύλους ὑπερβάλλοντος τοῦ γένους. τοῖς μὲν οὖν δυσὶ τῶν ἀναγκαίων ἐδόκει καὶ τὴν τοῦ βασιλέως γαμετὴν συμπαραλαβεῖν, διὰ τὸ καὶ αὐτοὺς τὰς γυναῖκας ἔχειν μεθ' ἑαυτῶν, καὶ διὰ τοῦτο δέον εἶναι πάσῃ μηχανῇ χρήσασθαι, ὥστε καὶ τὴν βασιλίδα συνεῖναι τῷ βασιλεῖ.

D ια'. Καντακουζηνὸς δ' ὁ μέγας δομέστικος τἀναντία φρονῶν ἦν, καὶ τὰς αἰτίας προσετίθει· „πρῶτον μὲν γὰρ" ἔφασκε „τῆς ἀναχωρήσεως ἡμῶν λαθραίας γινομένης καὶ κατεσπουδασμένης, ἐπικινδυνότατον γυναιξὶ πρὸς τὰ τοιαῦτα τῶν ἔργων ἀσθενῶς ἐχούσαις καὶ ἀφυῶς· καὶ ἡμῖν δὲ αὐτοῖς οὐ μικρὸς ὁ κίνδυνος ὑποπτεύεται, ἐπ' αὐτῶν τῶν ἔργων καταφώροις γινομένοις· ἔπειτα εἴτε καὶ τύχῃ χρησαμένοις τοῦτο πρὸς τὸ ῥᾴδιον ἀποβαίη, ἀλλ' οὐχ ὁμοίως ἀπαντήσει καὶ τὰ μετὰ ταῦτα.

6. Ita scripsi ex coniectura ED. P., qui ad h. l. ita: In Graeco *δουκὸς ντὶμ προυζουὴκ*, ubi nil omnino corruptum est, quod ait interpres, sed ita scribendum: *δουκὸς ντι Μπρουζουὴκ*, id est, Italice, *duca di Brunzuik*; nam eius linguae magnus usus Constantinopoli, ut coniicere est ex locorum appellationibus, ut *Φράντζα* et *Σαβωία* etc. Litterae autem *ντ* valent *δ* apud Graecos inferiores, ut infra patebit saepius; *μπ* valent *β*, ut *μπαλότα* pro *balota*, et *Μπαΐουλος*, *Bailus*, nomen Venetum.

fateretur, tamen excelso et patienti animo usque ad ipsum discriminis articulum exspectandum esse monuit, cum senem aliam mentem induturum et a conceptis maleficiis destiturum confideret. Nunc autem de coniuge mea decernendum est, inquit, utrum eam fugientibus nobis pone sequi oporteat. Haec e Germanis erat principis Brunsuicensis, apud suos eminentissimi et splendore generis inter omnes sui ordinis facile praecipui filia. Protostratori igitur et Syrgianni faciendum videbatur, uti imperatoris coniugem assumerent, quando et ipsi suas secum haberent: quin omnem lapidem movendum, ut et imperatrix cum imperatore esset.

11. At enim Cantacuzenus magnus domesticus seorsum ab iis sentiens, opinionis suae momenta his verbis explicavit: Primum discessio nostra clandestine et anxie nobis satagentibus futura est: id feminis ad huiusmodi laborem infirmis et natura nequaquam idoneis, summum periculum conflabit: et nos ipsi non mediocre habemus formidare discrimen, si in facto ipso deprehensi fuerimus. Adhaec etiamsi fortuna favente hoc operis bene processerit, tamen posteriora non perinde evenient. Nam si ab avo manus ad nos insequendos

εἰ γὰρ πρὸς βασιλέως στρατιὰ πρὸς δίωξιν ἡμῶν ἀποσταλῇ, A.C. 1320
δυοῖν ἀνάγκη θάτερον ἑλέσθαι, ἢ τὰς γυναῖκας καταλιπόντας P. 36
χρήσασθαι φυγῇ, ὃ δειλίας καὶ ἀνανδρίας, ἔτι τε ἀνοίας καὶ
ἀβουλίας ἡμῖν ἔγκλημα περιάψει, πρὸς τῷ καὶ ἀδοξίας αἰτίους
τῇ βασιλίδι γεγονέναι δίκην ἀγομένῃ δοριαλώτου, ἢ ταύτης
ἕνεκα πολλαπλασίοις ὀλίγους συμπλεκομένους ἀποθνήσκειν, ὧν
οὐδέτερον ἑλέσθαι προσήκει σωφρονοῦντας. πρὸς δὲ τούτοις,
οὐδὲ πρὸς οὓς ἀπερχόμεθα βέβαια τὰ τῆς πίστεως ἡμῖν, καὶ
διὰ τοῦτο οὐ μέλλειν οὐδὲ κατατρίβειν τὸν καιρὸν ὁμαλῶς βαδί-
ζοντας καὶ ἀνειμένως, ἀλλὰ κατεσπουδασμένως καὶ σὺν τάχει
πολλῷ χρή, ἵνα μὴ πρὸ τοῦ ἡμᾶς ἀφικέσθαι, τὴν ἄφιξιν ἡμῶν
πυθόμενοι, βουλεύσωνται κατὰ σφᾶς, μὴ εἰσδέξασθαι ἡμᾶς τῇ B
πόλει, καὶ γένωνται παράδειγμα καὶ ταῖς ἄλλαις τὰ ἴσα δρᾶν,
ἀλλ᾽ αὐτοὺς ἡμᾶς ἀγγέλλειν τε τὴν ἄφιξιν ἡμῶν καὶ κατέχειν
τὴν πόλιν. οὐ μὴν ἀλλὰ καὶ τὸ κατὰ γαστρὸς ἔχειν τὴν βασι-
λίδα οὐ μικρὸν κώλυμα πρὸς τὸ ἀνδράσι φεύγουσιν ἀκολου-
θεῖν. δι᾽ ἃ δὴ πάντα προσήκειν ἡγοῦμαι, ταύτην μὲν ἐᾶν καθ᾽ V. 30
ἡσυχίαν μένειν, ἡμᾶς δὲ διακινδυνεύειν· κἂν μὲν ἡμῖν τὰ
πράγματα χωρήσῃ κατὰ νοῦν, θεοῦ βουλομένου, τότ᾽ ἤδη καὶ
τὴν βασιλίδα μετακαλεῖσθαι ὅπουπερ ἂν ᾖ βασιλεύς, εἰ δ᾽
ἐναντίως ἢ ἐλπίζομεν ἀποβαίη, αὐτὴν γοῦν ἐν ἀσφαλείᾳ εἶναι."
Τούτοις τοῖς λόγοις ὡς καλῶς ἔχουσιν ἐπιψηφισάμενος ὁ βασι- C
λεὺς σὺν τοῖς ἄλλοις, ἐσκέπτοντο περὶ τοῦ πότε καὶ ὅπως τὴν
ἀναχώρησιν χρὴ ποιεῖσθαι. ὁρῶντες δὲ καὶ τοὺς ἐπιλοίπους

mittatur, alterum e duobus cogemur; aut uxoribus relictis porro fugere, quod nos timiditatis, ignaviae, dementiae, temeritatis criminibus maculabit, ut omittam, quod imperatrici dedecoris auctores erimus, quae pro captiva abducetur; aut imperatricis causa pauci cum multo pluribus pedem conferentes interfici: quorum utrumvis eligere, a prudentia abhorret plurimum. Praeterea neque ad quos proficiscimur, constantem erga nos fidem gerunt. Quod cum ita sit, non cunctandum, neque aequabili et lento passu bonum tempus conterendum: sed enixe et accelerato gradu ambulandum est, ne, antequam perveniamus, incolae adventu nostro praecepto, unanimi consensu urbe nos arceant reliquisque urbibus ad similem audaciam exemplo suo praeeant: sed ut ipsimet nuntium adventus nostri apportemus urbemque occupemus. Illud insuper imperatrici ad comitandam virorum fugam non levi impedimento est, quod uterum fert. Ob haec omnia aequum iudico, ut illa se non moveat: nos autem fortunam subeamus: et, si quidem res, Deo bene iuvante, ad voluntatem fluxerit, tum iam ipsa quoque eo accersatur, ubi coniux fuerit; sin secus, ipsa saltem secura degat. His ut praeclare dictis, imperator et reliqui suffragantes, quando quove pacto secederent, circumspiciebant. Ceterum cum perspicerent, etiam reli-

A. C. 1320 *τῆς συγκλήτου καὶ τοὺς ἐν τέλει ἐν δεινῷ τιθεμένους τὴν των βασιλέων διαφορὰν καὶ κακῶν νιφάδας τῷ κοινῷ τῶν Ῥωμαίων οὐ μετρίας προσδοκοῦντας καὶ περὶ τούτων πρὸς ἀλλήλους ἀεὶ διαλεγομένους, καὶ προσδοκίμους ὄντας καὶ βασιλεῖ διαλέξεσθαι περὶ τοῦ μὴ δεῖν νεωτερίζειν, ἀλλ' ἐᾷν τὸν ἔγγονον ἐπὶ σχήματος εἶναι, ὡς μεγάλων κακῶν αἰτίας ἐσομένης καὶ ταραχῆς* D *τῆς τοιαύτης ἐπιχειρήσεως, ἐπεὶ ἔδοξε καρτερεῖν τὸ μέλλον ἀποβήσεσθαι σκοποῦντας, ἐξαποστέλλουσι πρὸς Θρᾴκην τὸν Συργιάννην τῆς ἀρχῆς ἐπιμελησόμενον, αὐτοὶ δὲ προσεκαρτέρουν τῇ Κωνσταντίνου. ἐν τούτοις δὲ τῶν πραγμάτων ὄντων, ὁ μέγας κονοσταῦλος Μιχαὴλ ὁ Τορνίκης, μητρόθεν μὲν κατὰ γένος προσήκων τῷ πρεσβυτέρῳ τῶν βασιλέων, καὶ πολλῆς εὐμενείας ἀπολαύων παρ' αὐτῷ καὶ τιμῆς οὐ μόνον διὰ τὴν συγγένειαν, ἀλλ' ὅτι καὶ φρενὸς ἦν βαθείας καὶ τοὺς τρόπους ἀγαθὸς καὶ πρὸς τὰς ἐπαρχίας ὧν ἦρξε, βασιλέως διδόντος, εὐνομώτατος* P. 37 *καὶ σπουδαιότατος ἐφάνη, οὗτος δὴ τῇ πρὸς αὐτὸν εὐμενείᾳ τοῦ βασιλέως θαῤῥήσας, προσῆλθέ τε καὶ διελέχθη κρύφα περὶ βασιλέως τοῦ νέου, τὸ ἄτοπον ὡς εἰκὸς τῶν μελετωμένων ὑποδεικνὺς, καὶ ὡς πολλῶν ἔσοιτο συμφορῶν αἴτιον τῇ βασιλείᾳ Ῥωμαίων, ἄν τε κατορθωθῇ τὸ μελετώμενον, ἄν τε μή. τὸ δ' αὐτὸ τοῦτο καὶ Μετοχίτης λογοθέτης ὁ μέγας, ὃς μεσιτεύων μὲν τότε τῇ διοικήσει τῶν βασιλικῶν πραγμάτων*

11. *κονοσταῦλος* ex nostrate vocabulo *conestable*; al. dicitur *κοντοσταῦλος*. *ED. P.*

quos tum proceres, tum magistratus dissidio imperatorum graviter offendi, calamitatumque densissimos imbres communi Romanorum inde metuere, et eas crebris usurpare sermonibus, exspectarique, ut iidem cum imperatore agerent, ne quid novi et inusitati inceptaret: sed nepoti ornamenta imperatoria permitteret; quod alioqui molitio senis ingentium incommodorum ac motuum futura esset materia, durandum et quo res evaderet observandum esse censuerunt. Itaque Syrgianne in Thraciam ad praefecturae suae munus dimisso, ceteri Constantinopoli haerere perseverant. In hoc rerum statu magnus contostaulus Michael Tornices (qui materno genere imperatorem seniorem attingebat, nec postremum gratiae et auctoritatis locum apud eum tenebat, non tantum quia cognatus, sed quia non vulgari prudentia, et morum probitate egregius, atque a provinciis, quas imperatoris concessu administrarat, aequitatis et integritatis laudem maximam reportaverat) hic igitur fretus ea gratia, qua valebat, clam aliis ad imperatorem accessit, et cum eo super nepote collocutus, quam aliena a ratione tentaret, non immerito ostendit, quamque varias in imperium Romanum calamitates inveheret, sive meditata feliciter, sive contra irent, demonstravit. Id ipsum et magnus logotheta Metochites praestitit, qui tum domum imperatoriam, sive aulam regebat, vir alioqui solers, et non Christianis modo, sed

ἦν, ἄλλως δὲ ἀγχίνους, καὶ οὐ μόνον τῆς καθ' ἡμᾶς, ἀλλὰ A.C. 1320 καὶ τῆς ἔξω σοφίας εἰς ἄκρον ἐληλακώς· τὴν γὰρ ἀστρονομίαν ἀπό τινος Βρυεννίου φαύλας τινὰς καὶ οὐκ ἀκριβεῖς πάνυ παραλαβὼν ἀρχάς, αὐτὸς ἰδίοις πόνοις ἐξηκριβώσατο, ὡς καὶ B μετὰ ταῦτα πολλοὺς ἐν ἐπιστήμῃ τοῦ μαθήματος σὺν ἀκριβείᾳ γενέσθαι παρ' αὐτοῦ διδαχθέντας· ὃ καὶ θαυμάζοντος βασιλέως, καὶ πρός τινα τῶν ἐκείνῳ φοιτησάντων ἐρομένου, ὁ Γρηγορᾶς οὗτος ἦν, πῶς ὁ Μετοχίτης ἐκ φαύλων τῶν ἀρχῶν ὡρμημένος, οὕτως ἠδυνήθη πρὸς τελείαν ἐξεύρεσιν τοῦ μαθήματος ἐλθεῖν, „οὐ θαυμαστὸν" φάναι „βασιλεῦ" τὸν ἐρωτηθέντα, „ἐκ λαμπάδος μικρᾶς πυρσὸν ἀναφθῆναι μέγαν," ἐπαινέσαι τε τοῦτον τῆς ἀγχινοίας τὸν βασιλέα, καὶ τὸ οἰκεῖον τῆς εἰκόνος θαυμάσαι. οὗτος δὴ οὖν ὁ μέγας λογοθέτης διά τε τὴν σύνεσιν καὶ τὴν σοφίαν, καὶ τὴν ἣν εἶχεν ἐπιτηδειότητα πρὸς τὴν διοίκησιν τῶν πραγμάτων πολλῆς ἀπολαύων παρὰ βασιλέως οἰ- C κειότητος καὶ εὐμενείας, ἐθάρσησε καὶ αὐτὸς τῷ βασιλεῖ προσελθὼν περὶ τοῦ ἐγγόνου διαλεχθῆναι, πείθειν ἐπιχειρῶν, ὡς οὐ δεῖ τὰ καθεστῶτα κινεῖν, οὐδὲ τὸν ἔγγονον τῆς βασιλείας ἀποστεροῦντα, ἑτέρῳ μηδαμῶς προσήκοντι παρέχειν, εἰ μή τι ἄλλο, τὰς ἀπὸ τούτου ταραχὰς συμβησομένας εὐλαβούμενον. ἐκεῖνοι μὲν οὖν τοιαῦτα καὶ ἕτερ' ἄττα διελέχθησαν βα- V. 31 σιλεῖ· ἐδόκουν δὲ λίθους ἕψειν. ὁ γὰρ βασιλεὺς ἀνεπιστρόφως εἴχετο τῶν ἀπ' ἀρχῆς δεδογμένων καὶ τὴν πρὸς τὸν ἔγγονον

22. *λίθους ἕψειν.* Est proverbium Graecum pro *nihil* aut *incassum agere.* In textu haud quidquam mutandum. *ED. P.*

externis etiam litteris politissimus. Etenim cum astronomiae principia a quodam Bryennio minuta et imperfecta accepisset, ipse in eo studio accuratissima diligentia sua tantos processus effecit, ut deinde quoque permulti in eadem scientia ipso praeceptore progressus eximios adepti sint. Quod cum imperator admirans, Gregoram eius auditorem percunctaretur, qui tandem Metochites a tam tenuibus profectus initiis, ad plenam huius disciplinae cognitionem aspirare potuisset: audivit ab eo, nihil esse mirum, ex parva lampade luculentam facem accendi: laudavit respondentis acumen imperator, et imagine obvia ac familiari naturam rei ante oculos ponente delectatus est. Ergo hic magnus logotheta cum propter intelligentiam atque doctrinam liberalem, et in negotiis obeundis dexteritatem ab imperatore familiariter admodum diligeretur, ausus est et ipse de nepote illum admonere, suadereque, ne semel fixa et rata convelleret neve imperium eidem ablatum, alteri, cui minime deberetur, traditum vellet: si non ob aliud, at certe ne tanti tumultus inde cierentur. Haec et similia imperatori occinentes illi duo, lapides videbantur coquere: nam quod a primordio decreverat, ab eo deduci nullis machinis poterat suamque malignitatem in nepotem rebus ipsis ex-

A.C. 1320 δυσμένειαν αὐτοῖς πράγμασιν ἐπεδείκνυ. λέγεται δ' ἐν τούτοις D τοῖς καιροῖς καὶ βασιλεὺς εἰς ἑαυτὸν συννενευκὼς καὶ περί τινος δοκῶν φροντίζειν, πρὸς μηδένα δὲ διαλεγόμενος, αὐτὸς πρὸς ἑαυτὸν πολλάκις εἰπεῖν ὥσπερ ἐπερωτῶν· „καὶ τῆς φύσεως ἐπικρατεστέρα φανεῖται ἡ ἔχθρα ἄρα;" εἴτε δὲ πρός τι τῶν μελετωμένων ἄλλο ὁ λόγος ἀπετείνετο, εἴτε περὶ τῆς εἰς ἔγγονον ἔχθρας ἦν, οὐδεὶς σαφῶς ἠδυνήθη μαθεῖν· πάντες μέντοι πρὸς τοῦτο τὸν λόγον ἐξέλαβον, καὶ τεκμήριον ἐποιοῦντο τῶν μελλόντων κακῶν. ἐν τούτοις μὲν οὖν ὁ χειμὼν ἐτελεύτα.

A.C. 1321 ιβ'. Ἄρτι δ' ἔαρος ἀρχομένου, Ἀπριλλίου μηνὸς πέμπτη P. 38 ἱσταμένου, τῇ πρὸ τῶν βαΐων κυριακῇ, ὁ βασιλεὺς τῷ βασιλεῖ καὶ ἐγγόνῳ μηνύει ἑτέρωθι μηδαμοῦ πορευθῆναι, πρὸς B αὐτὸν δὲ ἀφικέσθαι καὶ τὸ νῦν εἶναι· ὁ δὲ τί ποτ' ἂν εἴη τὸ λεχθὲν ἐν νῷ στρέφων καὶ περιεργαζόμενος, καὶ μηδαμοῦ τὴν αἰτίαν συμβαλεῖν ἔχων, ἤρετο τὸν μηνύσαντα, καὶ ἀξίωσιν προσθεὶς, εἴ τι σύνοιδεν, ἀπαγγέλλειν· ὁ δ' ἔλεγε, βέβαιον μὲν οὐδὲν εἰπεῖν ἔχειν, στοχάζεσθαι δὲ, τὸν πάππον βούλεσθαι καὶ βασιλέα τοῦ πατριάρχου καὶ ἀρχιερέων παρόντων λόγους τινὰς πρός ἑ διελθεῖν· οἵτινες δὲ οἱ λόγοι καὶ πρὸς τί φέρουσι, σαφῶς εἰδέναι μηδαμῶς. εἶτα μικρὸν ἐπισχὼν, „ὥσπερ μὲν ἔφην, ἀκριβῶς οὐκ οἶδα" εἶπε „περὶ ὧν οἱ λόγοι, εἰκάζειν μέντοι μὴ προσηνεῖς τινας ἔσεσθαι καὶ ἡμέρους, ἀλλ' ὡς ἐπὶ δίκῃ καλεῖσθαι· ἐδεῖτό τε μικρὸν ἀναμείναντα καὶ μελέτῃ μι-

19. πρός ἑ. Ita correxi; antea πρός σε legebatur.

serebat. Aiunt, hoc tempore in se ipsum descendisse, et quasi cura altiore defixum, neminem quidem allocutum, sibimet autem frequenter interrogantem dixisse: Ergone natura ipsa potentius erit istuc odium? Quod verbum aliorsumne, an ad nepotem pertineret, scire pro certo nemo potuit: omnes tamen in hanc partem potius, quam in aliam interpretati sunt, et pro argumento futurarum miseriarum habuerunt. In his hiems desiit.

12. Vere novo, Nonis Aprilibus, dominica ante diem Palmarum, avus nepoti per ministerium mandat, ne quoquam concedat, sed ad se confestim accedat. Qui secum animo versans, et curiosius indagans, quidnam ista denuntiatio sibi vellet, cum causam accitus nullam posset coniicere, interrogabat et precibus orabat nuntium, ut si quid nosset, ne celaret. Tum ille nihil se exploratum habere, quod affirmaret; in suspicionem autem delabi, avum patriarcha et episcopis praesentibus eum constituisse alloqui. Verum quidnam et quo fine dicturus sit, sibi neutiquam liquido constare; et parumper conticescens, Sicut narravi, inquit, satis perspectum non habeo, quid verborum sit facturus: auguror tamen, molle ac mansuetum nihil locuturum: sed te velut in iudicium arcessi. Quare aliquamdiu praemediteris licet, ut rationem reposcendus, paratus ad respon-

χρᾷ προσασχοληθέντα, ὡς εὐθύνας ὑφέξοντα, πρὸς ἀπολογίαν A. C. 1321 ἕτοιμον ἥκειν." ὁ βασιλεὺς δὲ χάριν αὐτῷ τῆς καλοκαγαθίας C ὁμολογήσας καὶ ἀγαθῶν ἀμοιβὴν προσεπευξάμενος παρὰ θεοῦ, εἶτα καὶ τοῦτο εἰπὼν, ὡς κατὰ γνώμην αὐτῷ γένοιτ' ἂν τὸ πολλῶν παρόντων δικαζόμενον ἀπολύσασθαι τὰ ἐγκλήματα, ἀπαγγέλλειν ἐκέλευε τῷ πάππῳ καὶ βασιλεῖ, ὡς ἀφίξεται ὅσον οὔπω. ἐκεῖνος μὲν οὖν τὴν παρὰ θεοῦ βοήθειαν ἐπευξάμενος ἐν τοῖς παροῦσι τῷ βασιλεῖ, καὶ προσκυνήσας ἀπῆλθε. βασιλεὺς δ' εὐθὺς τοὺς ἑταίρους μετεκαλεῖτο· ἀλλ' ὁ μὲν μέγας δομέστικος, θείου αὐτῷ τοῦ Ταρχανειώτου, ἀδελφῆς τοῦ πρώτου βασιλέως Μιχαὴλ υἱοῦ τεθνηκότος, παρῆν ἐκεῖ πενθήσων ἐπὶ D κειμένῳ τῷ συγγενεῖ. ὁ πρωτοστράτωρ δὲ διατρίβων οἴκοι, ἀφίκετό τε πρὸς βασιλέα εὐθὺς καὶ τὴν αἰτίαν τῆς κλήσεως ἠρώτα μαθεῖν. βασιλεὺς δὲ τά τε παρὰ βασιλέως μηνυθέντα, καὶ ὅτι δίκης ἕνεκα καλοῖτο γνωρίζει, καὶ ὡς ἥξειν ἐπηγγείλατο κατὰ τάχος, προσθεὶς καὶ τοῦτο, ὡς κατὰ γνώμην ἂν αὐτῷ γένοιτο δικασθῆναι, δυνησομένῳ ῥᾳδίως αὑτὸν μὲν οὐδενὶ τῶν ἐγκαλουμένων ἐνεχόμενον ἀποδεῖξαι, τὸν δὲ κύριον καὶ βασιλέα ψυχῆς ἰδίας θέλησιν ἐκδικοῦντα. ὁ πρωτοστράτωρ δὲ „πάνυ V. 32 μοι δοκεῖς ἁμαρτάνειν" ἔφη „τοῦ ὄντος, ὦ βασιλεῦ, καὶ, ὡς ἔοικεν, ὧν πρός σε περὶ τῆς τοιαύτης κρίσεως ὁ μέγας δομέστικος εἴρηκεν ἐπελάθου, ἃ δήπου καὶ σοὶ εἰρῆσθαι τότε καὶ P. 39 ἡμῖν ὀρθῶς ἐδόκει. σοῦ γὰρ εἰρηκότος, ὡς „βουλοίμην ἂν ἐπὶ τοῦ βασιλέως καὶ πάππου δίκης τυχὼν, ἢ τὰ ἐγκλήματα ἀπολύσασθαι, ἢ τοῦτο μὴ δυνηθεὶς, μὴ τὴν βασιλείαν μόνον,

dendum venias. Nepos ut bono viro gratias agens, et praemium a Deo comprecans, atque hoc insuper addens, Sibi optatum fore, coram multis iudicio contendentem crimina obiecta refellere, renuntiare avo iubet, mox se affuturum. Apparitor divinam ei opem tali statu precatus, et ut imperatorem veneratus, recedit. Extemplo socios convocat. Porro magnus domesticus, Tarchaniota sororis primi Michaelis imperatoris et maioris materterae suae filio rebus humanis erepto, ad exanime corpus luctus causa abierat: protostrator domi manens illico adest, cur vocatus sit quaerit. Nepos et quid sibi ab avo mandatum, et se reum citari, ac sine mora se stiturum refert. Addit etiam, se iudicium ex animo subiturum, cum nihil negotii sit ostendere, tum se vacare omni crimine, tum dominum et imperatorem semet de maligna voluntate sua ulcisci. Subiecit protostrator: Longe mihi a vero lapsus videris, imperator, atque ut verisimile fit, quae de tali iudicio a magno domestico audivisti, quaeque tum et a te, et a nobis, ut recte dicta accipiebantur, eorum te occupavit oblivio. Nam cum tu ita praedicasses, velle te, si apud avum causam diceres, aut obiecta diluere, aut, si id minus posses,

A.C. 1321 ἀλλὰ καὶ αὐτὴν ἀφαιρεθῆναι ζωὴν" ὁ δ' ηὔξατο, μὴ ζῶν ἰδεῖν τοιαύτην ἡμέραν, ἐν ᾗ γενήσεταί σοι τῷ βασιλεῖ καὶ τῷ πάππῳ δικαζόμενον ἰδεῖν· οὐ γὰρ δίκης, καταδίκης δὲ μᾶλλόν ἐστιν ἀληθὲς τὴν ἡμέραν προσειπεῖν ἐκείνην. ἑνὸς γὰρ ὄντος τοῦ δικάζοντος καὶ τοῦ κατηγοροῦντος, οὐδὲν ἄλλο λείπεται συνάγειν. ἄλλως τ' οὐδὲ τῶν ἀνοήτων ὁ βασιλεὺς, ὥσθ' οὕτως ἀπερισκέπτως ὁρμηθῆναι πρὸς τὴν δίκην, ὡς καὶ καιρὸν ἀπο-
B λογίας σοι παρασχεῖν, καὶ ἢ τὰ ἐγκλήματα ἀπολύσασθαι, ἢ καὶ ἀδικούμενον ἑαυτὸν ἀποδεῖξαι· ἀλλὰ βαθείας ὢν καὶ συνετῆς, ὡς ἴσμεν, φρενὸς, καὶ δεινὸς πράγμασι χρῆσθαι, τότ' ἐπὶ τῆς δίκης σε καταστήσει, ὅτε πρὸς τὸ αὐτῷ δοκοῦν πάντα προκατασκευασάμενος, οὐδενὸς ἄλλου λείποιτο, ἢ τὴν ἀπόφασιν ἐξενεγκεῖν κατὰ σοῦ· καὶ τοῦτο, ἵνα καὶ τοῖς ἔξω δίκαια δοκοίη ποιεῖν, ὡς ἐπὶ τοῖς ἀνοσιωτάτοις σοῦ φανερῶς ἑαλωκότος καὶ διὰ τοῦτο δικαίως πάσχοντος ὁτιοῦν." Τοιαῦτα πρὸς ἀλλήλους ὁμιλούντων, αὖθις ἧκε μηνυτὴς ἕτερος ἐκ βασιλέως, ἐπισπεύδων τὴν ἐν βασιλείοις ἄφιξιν τῷ ἐγγόνῳ· ὁ δ', (οὐ γὰρ
C ἐξῆν ἑτέρως δρᾶν,) ἀφικνεῖται πρὸς τὸν βασιλέα καὶ πάππον, λύπῃ πολλῇ τηκόμενος τὴν ψυχὴν, διὰ τὸ τὸν μέγαν ἀπόντα δομέστικον μὴ περὶ τῶν παρόντων ἐσχηκέναι συνδιασκέψασθαι. εὐθὺς δὲ μετὰ μικρὸν καὶ ὁ μέγας δομέστικος ἧκεν ἐν βασιλείοις, καὶ τὸν μὲν βασιλέα παρὰ τῷ βασιλεῖ καὶ πάππῳ ἔνδον εὕρισκεν ὄντα, τὸν πρωτοστράτορα δ' ἔξω καθήμενον, καὶ τῇ ὄψει τὴν ἔνδον ταραχὴν τῆς καρδίας καὶ τὴν φροντίδα

non imperio tantum, verum etiam vita carere, ille emori optabat potius, quam videre diem illum, quo tu iudicio cum avo contenderes: non enim iudicii, sed condemnationis diem revera appellare convenit. Cum enim idem sit futurus iudex, qui accusator, aliud ratiocinando colligi nihil potest. Praeterea non ita est insipiens, ut tam inconsiderate ad iudicium feratur, tibique tempus etiam defendendi concedat, quo aut innocentem aut etiam iniuria affectum te ostendas, sed cum sit, quod scimus, praestanti prudentia et rerum gerendarum callidus, tum demum in iudicium te adducet, quando eius arbitratu praestructis omnibus, unum hoc restabit, ut sententia de te, tamquam de sceleratissimorum facinorum manifesto, et ob id quibusvis suppliciis excarnificando, ut sic apud exteros etiam iustitiae opinionem auferat, pronuntietur. Haec illis in colloquio agitantibus, ecce alius ab imperatore apparitor, qui nepotem urgeret ad regiam. Quia ergo aliter nequibat, quo vocabatur ivit, multa plenus moestitudine propter magni domestici absentiam, quicum consilia sua conferre potuisset. Haud multo post domesticus quoque palatium ingreditur, iunioremque imperatorem apud avum intus, protostratorem foris sedentem invenit, ipso vultu perturbationem ac sollicitudinem intimam ostentantem. Tum sic eum compellat: Aspectus tuus me-

ὑποδεικνύντα· εἶπέ τε πρὸς αὐτόν· „δοκεῖς μοι περί τινος σκέ- A.C. 1321 πτεσθαι τῶν μεγάλων τῇ ἔξωθεν ὄψει καὶ τῇ συννοίᾳ·" ὁ δ' ἔφη καὶ σκέπτεσθαι, καὶ περιστάσεσι προσομιλεῖν ταῖς ἐσχάταις· τοῦ δ' ὅτου χάριν, ἀντερομένου, „ὁ βασιλεὺς" ἔφη „παρὰ βα- D σιλέως τοῦ πάππου κληθεὶς ἐπὶ δίκην, σοὶ μὲν συντυχεῖν πολλὰ ζητήσας, οὐκ ἠδυνήθη· τοῦ καιροῦ δὲ οὐκ ἐπιτρέποντος διαμέλλειν, αὐτὸς μὲν εἰσῆλθε πρὸς βασιλέα, ἐμοὶ δὲ φόβον οὐ μικρὸν ἐνέθηκε περὶ αὐτοῦ, μάλιστα τῶν σῶν λόγων ἐνθυμουμένῳ, οὓς πρὸς ἡμᾶς περὶ τῆς δίκης ταυτησὶ διεξῆλθες." τοῦ δ' αὖθις ἐπανερομένου „τί δ' ἡμῖν ἄχρι νῦν ἁρμόζον τῷ καιρῷ καὶ τοῖς πράγμασιν εἴργασται;" „οὐδὲν" εἶπεν ὁ πρωτοστράτωρ „βραχυτάτου γὰρ ὄντος τοῦ μεταξὺ τῶν ἀγγελιῶν χρόνου, καὶ P. 40 τὴν ὡς βασιλέα ἄφιξιν κατεπείγοντος, οὐδὲν ἐπράξαμεν τῶν δεόντων." „πῶς δ' οὐ πάρεισιν ἐνταῦθα τοῦ βασιλέως οἰκετῶν ἢ καὶ τῶν σῶν τινες;" ἐρομένου, „παρῆσαν μὲν" εἶπεν ὁ πρωτοστράτωρ „δείσας δ' ἐγὼ μὴ παρόντας· ὁρώντων καὶ ἄλλων ἄλλα λογιζομένων, ἐκ τούτου συμβῇ τις ὑποψία καὶ βλάβη, ἐκέλευσα ἀπιέναι." ὁ δὲ πολλὰ καταμεμψάμενος τῆς ἀβουλίας, καὶ μηδένα καιρὸν ἄλλον εὑρήσειν ἐπικινδυνότερον ἢ βιαιότερον εἰπών, ὥστε τὴν ἄδολον αὐτῶν εὔνοιαν καὶ ἀγάπην ἐνδεικνυμένους πρὸς βασιλέα τῶν περισχόντων ἀπαλλάττειν κινδύνων, „σὺ μὲν" ἔφη „τῶν σῶν οἰκετῶν ὁπόσους ἂν ἐξῇ καὶ τῶν V. 33 φίλων συναγαγών, ἐνταῦθα κέλευσον μένειν· ἐγὼ δ' ἐξελθὼν B

ditabundo similis te in re quapiam magni ponderis cogitationem defixisse significat. Hic protostrator, Maxime, inquit, et cogitatione defixus, et gravissimo casu afflictus sum. Quam ob causam tandem? Quod, inquit, Andronicus ab avo in iudicium vocatus, cum vehementer cuperet prius tecum colloqui, ea facultate exclusus est. Et quoniam moras interponere non licebat, ipse ad imperatorem introivit, me timore non levi de se suspensum reliquit: cum praesertim recogito, quid tu nobis de istoc iudicio dixeris. Rursum quaerente magno domestico, quid interea loci rationibus suis appositum et tempori accommodatum praestitissent: Nihil, ait protostrator, nam quia inter binos vocatus intervallum permodicum intercessit, et ad imperatorem festinato abeundum fuit, haud quidquam quod in rem esset effecimus. Quid? de famulitio tuo aut nepotis cur hic nemo visitur? Visebantur vero, inquit, at ego formidans, ne eorum praesentia aliis secus ratiocinantibus aliquid suspicionis et damni afferret, eos domum remisi. Hanc imprudentiam magnopere incusans domesticus, quod nullum tempus periculosius, et ad vim faciendam opportunius existere posset, quo velut ansam haberent, minime fucatam benevolentiam amoremque erga iuniorem imperatorem declarandi, et ipsum quibus cingeretur discriminibus eripiendi, Age, inquit, tu coactis de ministris et amicis tuis quotquot

A. C. 1321 αὖθις τοὺς βασιλέως συναθροίσω καὶ τοὺς ἐμούς· εἰς ἓν δὲ συνελθόντες, καὶ τὸν νέον βασιλέα παραλαβόντες, ὅπερ οἶμαι δυνήσεσθαι, πρὸς τὸν τῆς Σοφίας ἀπελευσόμεθα τοῦ θεοῦ λόγου θεῖον νεών, τὴν σωτηρίαν διὰ τῆς ἀσυλίας τῆς ἐκείνου πραγματευσόμενοι, εἶτα διαπρεσβευσάμενοι πρὸς βασιλέα, ἀμνηστίαν αἰτήσομεν τῶν τολμηθέντων· τὸν δὲ, δείσαντα τὴν στάσιν, ὥσπερ εἰκὸς, ὅρκῳ καὶ βασιλεῖ καὶ ἡμῖν καὶ τὴν ἀσφάλειαν πιστώσασθαι καὶ τὴν ἀμνηστίαν τῶν εἰργασμένων. τοῦ νέου δὲ βασιλέως ἀπαλλαγέντος τοῦ περισχόντος νῦν ἐξαπί-
C νης κινδύνου, τότ' ἤδη βουλευσαμένοις ὅπερ ἂν δοκῇ βέλτιον, ἐξέσται πράττειν κατ' ἐξουσίαν. ἢ γὰρ ἐκ τῆς ἠπείρου μίαν τῶν τῆς πόλεως πυλῶν διατεμόντες ἐκπεσούμεθα νυκτὸς, ἢ τῶν ἐκ Γεννούας τοῦ βασιλέως φίλων τριήρη μίαν ἢ καὶ δύο πληρωσάντων ἐπιβησόμεθα, καὶ πρὸς τὰς παραλίους τῆς Θρᾴκης πόλεις (αὗται δ' εἰσὶν ἡμέτεραι διὰ τὸ τὸν Συργιάννην αὐτῶν ἐπιτροπεύειν,) διασωθησόμεθα· καὶ οὕτω μακρὰν γενόμενοι τῶν κινδύνων, ἃ δοκεῖ συμφέρειν ἐν ὑστέρῳ πράξομεν. τὸ δὲ νῦν ἔχον, πάσῃ δεῖ χρήσασθαι καὶ ἀνδρίᾳ καὶ προθυμίᾳ,
D καὶ αὐτὴν, εἰ δέοι, τὴν ζωὴν προθύμως προϊεμένους, ὥστε τῶν περισχόντων ἐξαρπάσαι κινδύνων τὸν βασιλέα, καὶ μὴ περιϊδεῖν αὐτὸν ἅμα τῷ δικαίῳ διαφθαρέντα· καὶ ἰατρῶν γὰρ τοὺς ἐμπειροτέρους ὁρῶμεν καὶ στρατηγῶν πρὸς τὰ κατεπείγοντα μᾶλλον ἱσταμένους τῶν νοσημάτων καὶ τῶν πολέμων."

Ταύτης τῆς βουλῆς καὶ πρωτοστράτορι βελτίστης εἶναι κριθεί-

poteris, hic praestolari iube: ego hinc digressus, nepotis meosque congregabo. In unam deinde multitudinem conglobati, adiuncto item imperatore, quod opinor nos posse, ad Sophiae Dei Verbi sacrosanctam aedem nos recipiemus: ibi denique ut in asylo, saluti nostrae incumbemus. Postmodum missis ad avum oratoribus, ut ausus in se nostros oblivione sempiterna deleat, rogabimus. Et quia seditionem, quod credibile est, timeat, ut iureiurando nepoti nobisque tum securitatem, tum commissorum illam oblivionem promittat. Postquam ex hoc tam subito periculo evaserit, tum deinde ubi consuluerimus, quod praestare videbitur, eius agundi libera potestas erit. Aut enim a continente una urbis porta effracta, noctuabundi erumpemus: aut Genuates, nepotis amicos, triremem unam binasve instructas auxilio poscemus, et ad maritimas Thraciae civitates, quae, quoniam a Syrgianne reguntur, a nobis sunt, incolumes profugiemus. Atque ita procul periculis, quae in rem nostram existimaverimus, de cetero exsequemur. Nunc animis opus et pectore firmo: nunc, si res flagitabit, ipsa quoque anima intrepide impendenda, quo imperatorem iuniorem e medio discrimine extrahamus, nec eum in causa iusta rapi ad interitum patiamur: siquidem et medicos et belli duces experientiores, morbis ac pugnis in-

σης, ἐδέδοκτο πρὸς τέλος ἐξάγειν· καὶ πρωτοστράτωρ μὲν εὐ- A. C. 1321 θὺς πέμψας, μετεκαλέσατο τῶν οἰκετῶν καὶ τῶν φίλων ὅσους ἐνῆν· οἱ δὲ παρῆσαν σὺν τάχει. ὁ μέγας δὲ δομέστικος ἀπελθὼν, ὅσους ἐνῆν τῶν βασιλικῶν καὶ τῶν ἰδίων συναγαγὼν, τοὺς δὲ διεσκεδασμένους ὅταν ἐπανήξωσι παραγγείλας ἰέναι P. 41 πρὸς τὰ βασίλεια, ἐπανῆλθε σὺν τάχει. τούτων δ' οὕτω σὺν σπουδῇ πραττομένων, ἐπεὶ κυριακὴ ἦν, ἔθος δ' ἐπεκράτησεν ἐκ πολλοῦ ἐν τῇ πρώτῃ ταύτῃ τῆς ἑβδομάδος ἡμέρᾳ Γεννουΐτας τε καὶ τοὺς ἐκ Βενετίας Λατίνους ἀφικνουμένους εἰς τὰ βασίλεια τιμῆς τε ἕνεκα καὶ ὁμολογίας τοῦ ὑπὸ βασιλεῖ τῶν Ῥωμαίων τετάχθαι, ἄλλο μὲν οὐδὲν, μόνην δὲ προσκύνησιν ἀπονέμοντας, πάλιν οἴκαδε ἀπιέναι. ἧκον καὶ τότε οἱ ἐκ Γεννούας πράξοντες τὰ εἰωθότα, ἐν οἷς ὁ μέγας δομέστικος τοὺς δύο τῶν εἰρημένων τοῦ βασιλέως φίλων εὑρὼν, καὶ τῶν τε ὑποσχέσεων ἀναμνήσας, ἔτι δὲ καὶ τὴν ἀναγκαιοτάτην τῆς βοηθείας χρείαν ἀναδιδάξας, ἐξαπέστειλε τὰς τριήρεις ἐφοπλί- B ζειν. οἱ δ' ἀπελθόντες καὶ σπουδῇ χρησάμενοι τῷ καιρῷ προσηκούσῃ, ἐντὸς ὡρῶν εἴκοσι τρεῖς πληροῦσι τριήρεις. ταῦτα καὶ πρωτοστράτωρ ὁρῶν, καὶ ἐν ἐλπίσιν ἤδη χρησταῖς γενόμενος, ὑπερήδετό τε καὶ ὁρμῆς ἐπληροῦτο, πολλοὺς περὶ αὐτοὺς τῶν τε βασιλικῶν καὶ τῶν ἰδίων ἀθροιζομένους ὁρῶν. οὐδεὶς μέντοι τῶν συναθροιζομένων τὴν αἰτίαν τῆς συνόδου συνῄδει πλὴν Ἀποκαύχου· ἐκείνῳ γὰρ μόνῳ τὴν αἰτίαν ἐκοινώ-

gravescentibus acrius instare videmus. Hoc consilium ubi et protostrator pro optimo amplexus est, visum ad effectum perducendum. Et ille quidem protinus famulos et amicos quotquot potuit coëgit, qui celeriter advenerunt. Idem magnus domesticus, contractis, quantum licuit, cum regis tum suis, absentibusque, cum primum domum revertissent, ad palatium occurrere iussis, brevi eodem rediit. His studiose ac sedulo peractis, quia dominica agebatur, et mos longinquitate invaluerat, principe hebdomadis die Genuenses ac Venetos Latinos, honoris et subiectionis profitendae in regiam ventitare, adoratoque imperatore domum regredi: venerunt et tum Genuenses, solenne officium persoluturi. Inter hos magnus domesticus duobus ex illis tribus, quorum supra mentionem faciebamus, nepotis fautoribus repertis, promissa eis redegit in memoriam, atque insuper de summa auxilii necessitate edoctos ad triremes instruendas dimisit. Illi abeuntes et pro tempore diligentiam adhibentes, intra horas viginti ternas ornant. Quae intuens protostrator, multosque tam de nepotis, quam de suis domesticis circumastantes conspiciens, spe bona confirmatus mirifice laetabatur, et amore pugnandi exardescebat. Verumtamen praeter Apocauchum nemo causam evocationis noverat: illi enim soli quod agebatur patefecerant: alii ob aliquid singulare convenisse suspicabantur, eo argu-

A. C. 1321 σαντο τῶν πραττομένων· οἱ δ' ἄλλοι τινὸς μὲν ἕνεκα μεγάλου τὴν μετάκλησιν ὑπενόουν εἶναι, καὶ τεκμήριον ἐποιοῦντο τὸ
V. 34 τοὺς ἵππους ἔχοντας ἰέναι πρὸς τὰ βασίλεια κελευσθῆναι, εἶ-
C χον δὲ εἰδέναι σαφὲς οὐδὲν, πλὴν τὰ περὶ τοῦ Καθαροῦ τῆς φήμης διαθρυλλούσης, (διεδέδοτο γὰρ ἤδη πρὸς πάντας,) ἰδεῖν τι καὶ ἀκοῦσαι καινότερον ἤλπιζον. οἱ μὲν ἐν τούτοις ἦσαν.

D ιγ'. Βασιλεὺς δ' ὁ νέος νύξιν ὑποκριθεὶς τῆς γαστρὸς καὶ πρὸς τοὺς ἐξωτέρω τῶν βασιλείων ἐξελθὼν οἴκους, τὸν μέγαν δομέστικον ἀνεζήτει· εὑρὼν δὲ, σὺν ἄλγει καὶ ἀθυμίᾳ ψυχῆς „σὺ δ', ὦ 'γαθὲ" ἤρετο „ὅπου μέχρι νῦν ἦς;" ὁ δὲ περιπαθέστερον ἀπεκρίνατο· „ὅπου μὲν οὐκ ἠβουλόμην, ἡ δ' ἀνάγκη τῶν πραγμάτων συνώθει." εἶτ' ἐξαγγείλας ὅσα τε ἐβουλεύσαντο καὶ ὅσα ἔπραξαν ἄχρι τότε, τῆς μὲν βουλῆς αὐτοῖς ὁ βασιλεὺς καὶ τῶν πραττομένων χάριτας ὡμολόγει· ἐρωτηθεὶς δ' ὅ, τι δέοι πράττειν αὐτοὺς, τὴν μὲν δίκην ἔφησε γενήσεσθαι μέλλειν ἀναμφιβόλως· μέχρι δὲ νῦν μηδὲν εἰρῆσθαι πρὸς μηδένα τῶν
P. 42 ἀφικνουμένων τῷ πάππῳ καὶ βασιλεῖ. „ἐνδέχεσθαί γε μὴν καὶ νῦν ὑπερθέσθαι τὸν βασιλέα τὰ μελετώμενα, τῇ παρουσίᾳ τῇ ἐμῇ διασκεδασθέντα, ὥσπερ δὴ καὶ πρότερον ὀλίγαις ἡμέραις συμβέβηκεν, ὅτ' ἔθος ἡμῖν τὴν τοῦ μεγάλου κανόνος ψάλλεσθαι ἀκολουθίαν." ἄξιον δὲ διηγήσασθαι καὶ τὸ τότε συμβάν. τοῦ μεγάλου λογοθέτου τοῦ Μετοχίτου ἐν ὥρᾳ μάλιστα χειμῶνος, διὰ τὴν σμικρότητα τῆς ἡμέρας, οὐ δὶς τῆς ἡμέρας, ἀλλ' ἅπαξ

1. μεγάλου ED. P. pro μεγάλην. 20. De huius canonis auctore et materia Gretserus ad Codinum. *ED. P.*

mento, quod qui equos haberent, eos ad palatium mittere iussi essent; nisi quod quae de Michaele Catharo fama iactabat, quae iam omnium aures compleverat, ea se ut novum quiddam et audituros et visuros etiam sperabant. Et illi quidem in his erant.

13. Imperator minor ad exteriora palatii, simulato alvi dolore, egressus magnum domesticum vestigabat. Quo invento, dolens ac moestus, Tu vero, bone vir, inquit, ubi hactenus fuisti? Ille contra magno cum affectu, Quo me nolentem rei necessitudo compulit. Deinde narrat quaeque statuerint hactenus quaeque egerint. Nepos gratias agit, et interrogatus quid ipsis porro faciendum sit, de iudicio futuro ait nullum relinqui dubium: hucusque autem avum nihil cuiquam ex iis qui affuissent verborum fecisse, posseque nihilo minus adhuc fieri, ut meditata, suo adventu videlicet dissipata, etiam nunc differat: quomodo nimirum paucis ante diebus usuvenerit, cum vetere instituto magni canonis officium canebatur: quem eventum non erit alienum exponere. Cum magnus logotheta Metochites hibernis mensibus potissimum, propter dierum brevitatem, non bis, sed semel dumtaxat ad palatium accedere ibique lucem

εἰωθότος τοῖς βασιλείοις ἐπιδημεῖν καὶ διημερεύειν, καὶ αὐτὴν τὴν τοῦ μεγάλου κανόνος ἡμέραν διημερεύσαντος τοῖς βασιλείοις, καὶ ἤδη νυκτὸς ἐπελθούσης οἴκαδε ἀπελθόντος, ὁ βασιλεὺς κατὰ τάχος μετεκαλέσατο παρὰ τὸ πρότερον εἰωθός. τοῦτο δὲ οἱ τοῦ μεγάλου λογοθέτου παῖδες, Δημήτριος καὶ Νικηφόρος, ἰδόντες καὶ περί τινων καινοτέρων τὴν τοῦ πατρὸς ἀήθη μετάκλησιν, ὡς εἰκὸς, ὑπολογισάμενοι, (οὐδὲ γὰρ οὐδ' αὐτοὶ τῶν μελετωμένων κατὰ τοῦ νέου βασιλέως ἀνήκοοι ἦσαν,) ἥκουσι πρὸς βασιλέα τὸν νέον καὶ τὸ συμβὰν ἀπαγγείλαντες, ἃ δέοντα ἂν νομίζοι περὶ ἑαυτοῦ ἐδέοντο δρᾷν. ὁ βασιλεὺς δὲ τούτους μὲν ἀπέπεμψεν ἐπαινέσας, μετὰ δὲ τῶν φίλων διασκεψάμενος, ἐδόκει δεῖν, ἐπεὶ καὶ μετ' οὐ πολὺ τῆς ἑορτῆς χάριν καιρὸς ἀφικέσθαι πρὸς τὰ βασίλεια, (ἄλλως γὰρ εἶχεν ἂν ὑποψίαν ἡ ἄφιξις,) ἐλθεῖν καὶ πρὸ τοῦ καιροῦ. „κἂν μὲν περί τινων ἄλλων ἡ διάσκεψις ᾖ, τῆς ἑορτῆς χάριν δόξομεν ἀφικέσθαι· ἂν δὲ περὶ ἡμῶν, πανθήσεσθαι τὴν βουλὴν, ἡμῶν παρόντων.“ ὃ δὴ καὶ συμβέβηκε. τοῦ πρεσβυτέρου γὰρ βασιλέως πρὸς τὸν μέγαν λογοθέτην περὶ ὧν ἐδεῖτο διαλεγομένου καὶ τοῦτο μόνον εἰπόντος, περὶ μὲν τοῦ τίνα χρὴ τρόπον γενέσθαι βουλὴν ζητεῖν, περὶ δὲ τοῦ γενέσθαι ἢ μὴ, οὐ ζητεῖν, (ὡς ὕστερον ἐκ τῶν ἐκεῖ παρόντων πρὸς ὑπηρεσίαν τῷ βασιλεῖ μαθεῖν ἀκριβῶς ἐξεγένετο,) καὶ ὁ νέος παρῆν βασιλεὺς, καὶ ἡ βουλὴ διελέλυτο· εἴτε περὶ τῶν προκειμένων ἢ τινων ἄλλων ἦν, οὐδαμῶς φανεροῦ γεγενημένου. τούτου δὴ τότε καὶ ὁ βασιλεὺς εἰς μνήμην ἐλθὼν, ἔλεγε πρὸς

A. C. 1321 — B — C

20. οὐ em. ED. P. pro μὲν.

totam transigere consuesset, et magni canonis diem ipsum ibi consumsisset, iamque noctu se domum recepisset, imperator senior praeter consuetudinem repentino eum vocat: cuius filii Demetrius et Nicephorus insolito huic accersitui quippiam novum subesse verisimillimum cogitantes (nec enim ipsos quoque latebant quae adversus iuniorem imperatorem parareutur) eundem iuniorem adeunt, quodque acciderat exponunt: orantes, ut quae necessaria factu pro se ipso censuerit, ea ne praetermittat. Ille laudibus affectos dimittit, reque cum amicis communicata, placuit, quandoquidem paulo post festi dici causa palatium ingrediendum esset (alioqui enim suspicionem moveret eius eodem adventus), tempus antecapere. Et si quidem aliis de rebus consulet, diei festi gratia venisse videbimur, inquit: sin de nobis, nostra praesentia consultationem disturbabit: quod etiam evenit. Etenim cum imperator senior cum magno logotheta locutus esset, et hoc tantum adiecisset, Quo pacto consultaretur, quaerendum: an consultaretur, non quaerendum (id quod postea ex apparitoribus probe cognitum est), et iunior imperator aderat, et consilium ad nihilum recidit, sive id de re praesenti sive de quibusdam aliis esset; id enim haud rescitum est. Huius itaque eventus memor tunc imperator dicebat

A.C. 1321 τοὺς ἑταίρους, ὡς ἴσως ὥσπερ τότε τὰ τῆς βουλῆς, οὕτω δὴ
D καὶ νῦν τὰ τῆς δίκης ὁ βασιλεὺς ὑπερθήσεται. τὸ δ' οὐκ εἶχεν
οὕτως· ἀλλ' ἀναμφιβόλως ἡτοίμαστο τὰ τῆς δίκης. ἔτι γὰρ δο-
V. 35 μεστίκῳ τῷ μεγάλῳ διαλεγομένου βασιλέως καὶ τὸν ἀριθμὸν
ζητοῦντος μαθεῖν τῶν συνηγμένων ἀνδρῶν, καὶ τούτου πρὸς
αὐτὸν ἀποκριναμένου, ὡς „νῦν μέν εἰσιν ἑκατὸν, μικρᾶς δὲ
παρελθούσης ὥρας συνελεύσονται καὶ μέχρι τριακοσίων, πάντες
ἀνδρεῖοι καὶ μάχεσθαι ἠσκημένοι· εἰ δεήσει δὲ ἀπέρχεσθαι,
καὶ ἄλλοι πλείονες συνδραμοῦνται καὶ οὓς οὐκ ἴσμεν·" περὶ
P. 43 τούτων δὴ διαλεγομένων καὶ θεοῦ δεομένων τὴν τῆς δίκης ὥραν
παραταθῆναι, ὥστε συναθροισθῆναι τοὺς ἐλπιζομένους ὑπὲρ
αὐτῶν μαχεῖσθαι, ἧκεν ἐκ βασιλέως τοῦ πρεσβυτέρου πρὸς τὸν
νέον ἀπεσταλμένος ὁ Καλλικρηνίτης Μιχαὴλ ἐκτομίας· καὶ πρὶν
φθέγξασθαι τοῖς δάκρυσι καὶ τοῖς στεναγμοῖς κακῶν ἄγγελος
ἥκειν σημαίνων, πρότερον δ' ἑαυτῷ τὴν γῆν χανεῖν μᾶλλον καὶ
τῆς ἡδίστης ἀπεστερῆσθαι ζωῆς ἀνεκτότερον εἶναι, ἢ τοιούτων
κακῶν ἄγγελος ἥκειν εἰπών· „ὁ κύριος" ἔφη „καὶ βασιλεὺς
ὁ σὸς πάππος, ὦ βασιλεῦ, ἐπὶ δίκην καλεῖ." τοῦ βασιλέως δ'
ἐπὶ τούτοις εἰπόντος, ὡς „τῆς μὲν εἰς ἐμέ σου εὐνοίας ἀξιό-
χρεως τὰ δάκρυα μάρτυς· ἀνθ' ὅτου δ' οὕτω θρηνεῖς, ἐν ἀδή-
B λῳ κειμένης τῆς δίκης; ἐνδέχεται γάρ με καὶ τὴν νικῶσαν ἐνεγ-
κάμενον ἀπελθεῖν" ὁ Καλλικρηνίτης „αὐτὰ τὰ πράγματα θρη-
νεῖν πείθουσιν" εἶπεν „ὦ βασιλεῦ· τοῦ γὰρ βασιλέως καὶ πάπ-
που τοῦ σοῦ ἐπὶ θρόνου καθεσθέντος, ὡς ἔθος, καὶ τοῦ πα-

ceteris, fortasse quomodo tum consultationem, sic nunc iudicium avum esse dilaturum. Sed aliter fuit: nam iudicium certo certius constitutum ac paratum erat. Adhuc enim eo cum magno domestico sermocinante numerumque congregatorum exquirente, illoque respondente, nunc quidem esse centum, brevi ad trecentos fore, ad unum viros fortes et ad proeliandum exercitatos; si abeundum sit, etiam plures et ignotos accursuros: de his, inquam, illis sermonem miscentibus, deumque precantibus, iudicium ampliaret, quoad coiissent, qui pro ipsis decertaturi sperabantur, missu avi adest eunuchus Michael Callicrenites: et priusquam vocem edat, lacrimis gemitibusque infaustum se apportare nuntium ostendit. Deinde praefatus, maluisse se tellure ima sibi dehiscente ad Manes descendere et hac iucundissima luce privari, quam adeo mala nuntiare: Dominus, inquit, et imperator avus tuus te ad causam dicendam vocat. Tum ille: Haud aspernandum tuae in me propensionis testimonium, quas fundis lacrimas: tamen, quid ita fles, cum necdum eventus pateat? Fieri siquidem potest, ut cum albo calculo discedam. Ipsa res, suscipit Callicrenites, me in fletum solvit. Etenim avus pro more in throno, patriarcha ad latus in sella, arbitri dextra sinistra sedent, tibi soli scamillum e regione, et remotius mandatu imperatoris positum est. Quo viso, condemnationis

τριάρχου παρ' αὐτῷ ἐπὶ δίφρου, τῶν δ' ἀκροασομένων τὴν A.C.1321 δίκην ἐξ ἑκατέρων μερῶν, σοὶ μόνῳ, τοῦ βασιλέως προστεταχότος, σκίμπους ἐτέθη κατὰ πρόσωπον βασιλέως, καὶ οὗτος ἀπωτέρω. ὅπερ ἰδὼν ηὐξάμην, ὅπερ εἶπον, σήμερον τὴν γῆν χανεῖν μοι, καταδίκης τόπον τὴν καθέδραν λογισαμένῳ. ἀλλ' ὁ Δανιὴλ τὸν αὑτοῦ προφήτην ἐκ τοῦ λάκκου τῶν λεόντων ἀβλαβῆ διασώσας, καὶ τῆς Βαβυλωνίας καμίνου τοὺς τρεῖς παῖδας κρείττονας ἀποδείξας θεὸς, καὶ Σωσάνναν τῶν ἀδίκων κριτῶν C τὴν συκοφαντίαν ἐλέγξας, αὐτὸς τῆς ἐφεστώσης ἀνάγκης κρείττονα καὶ σὲ νῦν ἀποδεῖξαι, καὶ ἀποστεῖλαι τὸν ἄγγελον αὑτοῦ προπορεύεσθαί σου, καὶ σοφίαν παράσχοι καὶ σύνεσιν, ὥστε τὰ προβαλλόμενα λύειν εὐκόλως ὡς ἀράχνης ἱστούς." Οὕτως εὐξαμένου τοῦ ἐκτομίου, ὁ βασιλεὺς „τὸ τοῦ Χριστοῦ θέλημα γενέσθω" εἰπὼν, καὶ τῷ πάππῳ μηνύσας, ὡς ἕτοιμός ἐστι τὸ προσταττόμενον ἐκπληροῦν, πρὸς τοὺς φίλους ἐπιστραφεὶς, „νῦν καιρὸς" ἔφη „ἀνδρίαν ἅμα καὶ σπουδὴν καὶ σύνεσιν καὶ καρτερίαν ἐν τοῖς δεινοῖς ἐπιδείξασθαι ἡμᾶς. καίτοι γε πολλοὶ πολλάκις καὶ τὸν ἀριθμὸν ἐλάσσους, καὶ τἄλλα ἡμῶν ἡττώμε- D νοι, ὁμόνοιαν κτησάμενοι, θαυμάσιά τε καὶ ἀκοὴν ἐκπλήττοντα κατώρθωσάν τινα· ἡμᾶς δὲ τοσούτους ὄντας καὶ τοιούτους πολὺ δήπου δικαιότερόν ἀξίους ἑαυτῶν κἀπὶ τῶν ἔργων φανῆναι, ἐγκωμίων ἄξια δράσαντάς τινα καὶ γενναῖα, ὡς ἢ καλῶς ζῆν ἢ ἀποθανεῖν εὐκλεῶς· καὶ ταύτην μόνην ἡγήσασθαι διάνοιαν ἀξίαν ἑαυτῶν. ἐγὼ μὲν οὖν ἤδη πρὸς τὴν δίκην

17. **Interpres legit ὑμᾶς, et ὑμῶν infra.** *ED. P.*

tune locum illam sedeculam interpretans, obtavi, ut dicebam, hodie mihi terram dehiscere. Verum Deus, qui prophetam suum Danielem de lacu leonum liberavit, et tres pueros a Babylonia fornace intactos praestitit, collatasque in Susannam scelestorum iudicum calumnias detexit, idem te nunc, qua premeris, necessitate superiorem reddat; angelum suum mittens, qui te antecedat, et sapientiam tibi atque intelligentiam largiatur, qua obiecta facile ceu telas aranearum dissolvas. Haec ubi precatus et eunuchus, Dei voluntas fiat, ait imperator; iubetque avo renuntiari, se imperata facturum: et conversus ad amicos, sic eos compellat. Si unquam alias, nunc tempus venit, quo virtutem, diligentiam, prudentiam, tolerantiamque nostram tam formidoloso tempore declaremus. Enimvero cum multi saepe et numero et aliis rebus nobis impares, animorum facta conspiratione admirabilia et obstupescenda prospere gesserint, nos ita frequentes ac tales longe utique iustius et praeclaris et laudabilibus facinoribus efficiendis nobismet ipsis dignos apparere, et aut vitam honestam vivere, aut gloriosam mortem oppetere, hanc solam mentem nos decere arbitrantes. Ego ad tribunal vado: quod si divino munere rursum coniungemur, interque nos amabiliter iterum intuebimur, erit cur

A. C. 1321 χωρῶ· ἀλλ' εἰ μὲν καὶ αὖθις γένοιτο, θεοῦ διδόντος, ἀλλήλοις τε
συγγενέσθαι καὶ τὴν ποθεινὴν ἀλλήλων ὄψιν ἰδεῖν, αὐτῷ χάρις·
εἰ δ' ἕτερόν τι δέδοκται περὶ ἡμῶν, ἐγὼ μὲν ἀσπάζομαι ὑμᾶς τὰ
P. 44 τελευταῖα δὴ ταῦτα· ὑμεῖς δ' ἄξιοι φάνητε καὶ τῆς εὐγενείας καὶ
τῆς ἀνδρίας." Ἐπὶ τούτοις ἀμφοτέρων ἀποκρίνασθαι ὡρμημέ-
νων, τοῦ πρωτοστράτορος ἐπισχόντος, ὁ μέγας δομέστικος
ἔφη· „τῶν λογικῶν ἀνθρώπων κατὰ τοῦτο τῶν ἀλόγων ὑπερε-
χόντων, ὅτι λόγῳ χρώμενοι τὰ δέοντα αἱροῦνται, οὐδὲν ἀναγ-
καιότερον οὐδὲ ὠφελιμώτερον τοῦ φιλίαν αἱρεῖσθαι ἡγοῦμαι.
V. 36 τοίνυν καὶ αὐτὸς, ὦ βασιλεῦ, τὴν σὴν φιλίαν ἐκ παιδὸς ᾑρη-
μένος, καὶ εἰς τόδε χρόνου διατηρήσας αὐξανομένην, καὶ μέ-
χρι ζωῆς ὅρων ἀκραιφνῆ καὶ καθαρὰν ἐλπίζω φυλάξειν. θάρ-
σει τοιγαροῦν, ὦ βασιλεῦ, ὡς οὐ πρότερόν σοι τῶν ἀβουλή-
των τι συναντήσει, πρὶν ἐμὲ πεσεῖν τῶν ἰδίων αἱμάτων ἐμ-
B πεπλησμένον. Σὺ μὲν οὖν ἔχου τῆς προκειμένης ὁδοῦ τῇ πα-
ρὰ τοῦ σωτῆρος Χριστοῦ καὶ τῆς αὐτὸν τεκούσης βοηθείᾳ, ἔτι
δὲ καὶ ταῖς εὐχαῖς τοῦ πρὸ μικροῦ παρὰ βασιλέως ἀπεσταλ-
μένου τετειχισμένος. ἡμεῖς δ' ἐν τῷ ἐξωτέρῳ τοῦ, ἐν ᾧ ἡ δίκη
γεννήσεται, μενοῦμεν οἴκῳ, τὰς ψυχὰς ὑπὲρ τῆς σῆς ὠφελείας
ὄντες ἕτοιμοι προέσθαι, βίας ἐπαγομένης." τοῖς αὐτοῖς δὲ τού-
τοις καὶ ὁ πρωτοστράτωρ εἰπὼν ἀρκεῖσθαι, ἀλλήλοις συνταξά-
μενοι, καὶ ὥσπερ περιπτυξάμενοι τελευταῖον, τῷ σταυρῷ τε
C καθοπλίσαντες ἑαυτοὺς, ἐχώρουν ἐπὶ τὴν δίκην, ἀτρέπτῳ καὶ
βεβηκότι καὶ σχήματι καὶ φρονήματι.

gratias numini persolvamus. Sin quid aliud illi de nobis complacitum est: ego his verbis postremum vos salutatos volo: vos autem nobilitati virtutique vestrae paretote. Ad ista cum uterque dicere aliquid percuperet, protostratore cunctante, magnus domesticus vocem in haec verba resolvit: Cum homines intelligentiae consiliique participes hoc brutis animantibus antecellant, quod ope et impulsu rationis commoda necessaria sibi eligunt, nihil ego commodius magisve necessarium opinor, quam eligere quem diligas, et a quo vicissim diligare. Proinde et ipse amicitiam tuam, imperator, in quam teneris adhuc annis intravi, et cum aetate auctam hucusque conservavi, etiam ad exitum vitae inoffensam sanctamque custodiam. Habe igitur bonum animum: non enim prius tibi quidquam secus ac velimus continget, quam ego meo purpuratus sanguine occubuero; et proposita perge via, servatoris Christi eiusque genitricis auxilio subnixus: nec non eius vocis communitus, quem paulo ante avus misit. Nos te ad iudicii locum comitantes, foris manebimus, parati, si qua vis oriatur, vitam certae morti pro tua salute opponere. In his iisdem se acquiescere tum confirmasset protostrator, velut ultimum inter se complexi, crucisque divinae signo obarmati, iunctim ad iudicium constanti et immutabili oris habitu et cum animi altitudine gressus tendunt.

ιδ'. Οἱ μὲν οὖν ἑταῖροι τοῦ βασιλέως ἔμειναν ἔξω· αὐτὸς A.C. 1321
δ' εἰσελθὼν τὸν οἶκον τῆς δίκης, τοῦ πάππου καὶ βασιλέως ἐπὶ
τοῦ θρόνου καθημένου, αὐτὸς ἐπὶ τοῦ προειρημένου σκίμ-
ποδος ἐκαθέσθη. καὶ οἱ προσκληθέντες δὲ τῆς δίκης ἀκροαταί, D
ἐφ' ᾧ προσῆκεν ἕκαστος ἐκαθέσθησαν. ἦσαν δ' οὗτοι· Γεράσι-
μός τε ὁ πατριάρχης, χαρίτων μὲν θείων πεπληρωμένος καὶ
τῆς μοναδικῆς πολιτείας εἰς ἄκρον ἐληλακώς, πολιτικῶν δὲ
πραγμάτων καὶ δημοσίων παντάπασιν ἀπείρως ἔχων· καὶ ὁ
τὸν τῆς Φιλαδελφείας θρόνον κοσμῶν Θεόληπτος, καὶ αὐτὸς
μὲν εἰς ἄκρον ἀρετῆς ἥκων, καὶ πολιτείας ἀκρίβειαν μοναδι-
κῆς, οὐ μόνον κατωρθωκώς, ἀλλὰ καὶ ἑτέρους ἱκανῶς ἔχων
διδάξαι· ἔτι δὲ καὶ φρονήσεως εὖ ἔχων, καὶ παιδείας τῆς ἔξω-
θεν οὐκ ὀλίγον μεταλαβών. ἀπὸ δὲ τῶν τῆς συγκλήτου παρῆ-
σαν ὅ, τε μέγας λογοθέτης ὁ Μετοχίτης, ὃν ἐδήλωσε φθάσας P. 45
ὁ λόγος, καὶ ὁ ἐπὶ τοῦ Κανικλείου Νικηφόρος ὁ Χοῦμνος, σο-
φὸς ἀνὴρ καὶ θαυμάσιος ἐν φρονήσει, πολλῆς τε ἀπολαύων
πρὸς βασιλέως εὐνοίας τε καὶ τιμῆς· δι' ἣν καὶ τὴν αὐτοῦ
θυγατέρα Εἰρήνην τῷ υἱῷ αὐτοῦ τῷ δεσπότῃ Ἰωάννῃ πρὸς γά-
μου κοινωνίαν ἤγαγεν ὁ βασιλεύς. ὃς δὴ πρότερον μὲν ἦν
μεσάζων καὶ αὐτὸς πρὸς τὰ πράγματα βασιλεῖ, τότε δὲ ὑπὸ
νόσου, (ποδαλγία δὲ ἦν,) τῆς μὲν ὑπηρεσίας ἐπέπαυτο, τιμῆς
δ' ἀπέλαυε τῆς παρὰ βασιλέως πολλῆς. πρὸς τούτοις δὲ καὶ

15. Interpres legit ὀχούμενος, male: nam est ὁ Χοῦμνος. Eius nominis chartularius apud Nicetam reperitur; et infra aliquis etiam occurret. *ED. P.*

14. Amicis ergo extra remanentibus ipse locum iudicii introgressus, et avum in solio, arbitros autem, sive assessores pro sua quemque dignitate considentes reperiens, in scamno humili, de quo dicebamus, consedit. Porro arbitri illi erant Gerasimus patriarcha, divinis cumulatus muneribus; et ut in vita solitaria ipsum fastigium perfectionis attigerat, sic civilium publicarumque rerum longe ignorantissimus erat. Deinde insignis Philadelphiae episcopus Theoleptus, qui et ipse ad culmen virtutis ascenderat: nec solum omnes vitae anachoreticae numeros adeptus erat, sed aliis quoque ad eamdem disciplinam idoneum se magistrum praebere poterat. Adde quod vir prudens et in externis doctrinarum studiis versatus non mediocriter. De senatu palatino praesentes aderant magnus logotheta Metochites, cuius antea meminimus, et Nicephorus Chumnus, qui Canicleo praeerat, admirabili sapientia consilioque praeditus, et ab imperatore benevolentia honoreque singulari dignatus, ita, ut etiam Irenen filiam eius Ioanni despotae filio suo nuptiis coniungeret. Hic Nicephorus prius imperatoris domestica administrabat: tum autem podagra conflictatus, functione illa abierat. Nihilo minus summo eum honore imperator prosequebatur. Praeter hos autem aderat

A. C. 1321 ὁ Ἀκροπολίτης ἦν Κωνσταντῖνος, μέγας λογοθέτης ὢν καὶ αὐ-
B τός. ἐπ' ὀλίγον δὲ σιγῆς γενομένης, ὁ τῶν Ἀνδρονίκων πρε-
σβύτερος λόγου ἥπτετο βασιλεὺς τοιούτου. „δέσποτα πατριάρχα
καὶ ὑμεῖς οἱ παρόντες, ὁ ἄνθρωπος οὗτος (περὶ τοῦ ἐγγόνου
δηλῶν,) ἔστι μὲν σκληρὸς καὶ τοὺς τρόπους αὐθάδης· ἔτι δὲ
καὶ παρήκοος, καὶ οὐδαμῶς ὑπείκων ἐμοί, ἀλλ' ἃ βούλοιτο
πράττων, τοῦ ἡμετέρου λόγον θελήματος ποιούμενος οὐδ' ὀλί-
γον. διὰ τοῦτο" — μέχρι μὲν οὖν τούτου σιωπῶν βασιλεὺς ὁ νέος
V. 37 καθῆστο· τὸ „διὰ τοῦτο" δὲ ἀρχὴν ἀποφάσεως εἶναι νομίσας,
„δέομαί σου, θειότατέ μοι καὶ κύριε βασιλεῦ" εἶπε „μικρὸν
ἐπισχόντα, λόγου χρόνον ὀλίγον ἐμοὶ χαρίσασθαι. ἃ δὲ βού-
λομαι διεξελθόντι ὡς ἐν βραχεῖ, τοῦ λόγου τὸ λοιπὸν αὐτὸς
C περανεῖς." τοῦ δ' ἐπιτρέψαντος ἃ βούλοιτο λέγειν, „τὸν θεόν,"
ὁ νέος Ἀνδρόνικος ἔφη, „τῶν παρόντων λόγων μάρτυρα προ-
καλοῦμαι, ὡς οὐδὲν ὧν ἐγκαλοῦμαι ἐμαυτῷ σύνοιδα εἰργασμέ-
νῳ. τὸ δ' αὐτὸ καὶ πρότερον ἐδήλωσα τῷ σῷ κράτει, τῷ θαυ-
μασίῳ Ἰωσὴφ χρησάμενος πρεσβευτῇ. τοῦτο δὴ καὶ νῦν αὖθις
διϊσχυρίζομαι, καὶ ὅρκοις πιστούμενος τοὺς λόγους, ὡς οὔτε
νῦν οὔτε τότε τῶν ἐγκαλουμένων ἐμαυτῷ τι σύνοιδα εἰργασμένῳ.
ἐξαμαρτάνειν μέντοι γε καὶ πάνυ πείθομαι τοιαῦτα, οἷον, εἴγε
σοὶ μὲν οὐκ ἤρεσκε πρὸς κυνηγεσίαν ἀπελθεῖν, ἐγὼ δὲ ἀπῆλ-
D θον· εἰ ἐπὶ πλείονα χρόνον ἐχρησάμην ἵππῳ, σοὶ τούτου ἴσως
οὐ καλῶς ἔχειν δοκοῦντος· ἢ εἰ δή τι τοιοῦτον ἕτερον· καὶ τοῦ-

12. Scribendum fortasse διεξελθόντος.

et Constantinus Acropolita, ipse quoque magni logothetae dignitate ornatus. Facto igitur paulisper silentio, Andronicus maior infit: Domine patriarcha, quique coram adestis, hic homo (nepotem designans) est moribus intractabilis et arrogans atque inobediens, neutiquam mihi cedit; sed pro libidine agit omnia, nostrae voluntatis ne parvam quidem rationem ducens. Propterea — Hactenus iunior tacitus sedebat. Illud autem verbum, Propterea, initium ferendae adversum se sententiae ratus, Obsecro te, exclamat, sacratissime domine imperator, pauxillum subsiste, mihique medium spatium ad loquendum ne denega; et ubi summatim, quae voluntas fert, explicavero, reliquum orationis tuae absolvito. Sinente sene, ut diceret, quae vellet, hunc in modum disseruit: Deum testem invoco, me quorum accusor criminum, nullius mihi conscium esse. Quod ipsum et alias maiestati tuae per virum excellentem Iosephum legatum meum indicavi, et nunc rursus assero: et ut verbis meis apud te fides sit, iusiurandum interpono, conscientiam meam nec hodie impediri atque convinci, nec tum impeditam atque convictam fuisse ullius horum scelerum, quorum nunc reus peragor. Verumtamen peccasse me talia quaedam peccata libenter crediderim, ut si te invito venatum ierim; si diutius, quam tu forsitan velles, equestribus ludis indul-

το δὲ οὐ προσταττόμενος παρὰ σοῦ, ἔπειτ' εἰς οὐδὲν τὸ ἐπίταγμα A.C.1321 τιθέμενος ἐποίουν· ἀλλ' ἐγὼ μὲν ἐποίουν μηδὲν εἰδώς· σοὶ δ' ἴσως ἂν ἐμὲ ἁμαρτάνειν ἐδόκει· ᾧ δὴ καὶ πείθων ἐμαυτὸν ἀδικεῖν μηδὲν, κατὰ γνώμην, ἔλεγον, ἐμοὶ γένοιτ' ἂν ἐπὶ τοῦ κυρίου καὶ βασιλέως δίκης τυχεῖν, πρὸς οὓς ἐποιούμην τοὺς λόγους· εἰ γὰρ τοῦτο γένοιτο, πρὸς οὐδὲν μὲν τῶν ἐγκαλουμένων ἐλεγχόμενος αὐτὸς φανεῖσθαι· τὸν βασιλέα δὲ τὴν περὶ τοῦ ἁμαρτάνειν ἐμὲ ὑπόνοιαν ἀποθέμενον, τῆς ὀργῆς ἂν ὑφεῖναι. οἶσθα γὰρ αὐτὸς, ὦ βασιλεῦ, ὅτι μετὰ τὴν τοῦ ἐμοῦ βασιλέως P. 46 καὶ πατρὸς τελευτὴν ἄχρι καὶ νῦν τοσαύτῃ χρώμενος ἐφαίνου τῇ μήνιδι κατ' ἐμοῦ, ὡς ἐπὶ τοσοῦτον χρόνον οὐδὲ λόγου γοῦν ἀξιῶσαί τινος· ὃ καὶ θανάτου βαρύτερον ἐμοὶ λογιζομένῳ, τοιαῦτ' ἐπῄει λέγειν, οἰομένῳ καιροῦ τινος πρὸς ἀπολογίαν τυχεῖν κατὰ τὸν ἐπικρατοῦντα νόμον ταῖς δίκαις. καίτοι γ' ἔφασκον ἐμὲ, πρὸς οὓς διελεγόμην, παντάπασιν ἁμαρτάνειν περὶ τῶν πραγμάτων γνώμης ὀρθῆς. εἰ τοῦ αὐτοῦ δικάζοντος ὄντος καὶ ἐγκαλοῦντος, ἐρήμην οὐκ οἴομαι ἁλώσεσθαι, ἀλλ' ἐλέγχων δεήσεσθαι καὶ ἀποδείξεων πρὸς τὴν καταδίκην. ἐγὼ δὲ οὐκ ἐπειθόμην. νυνὶ δ' ἐπὶ τῶν πραγμάτων, ὥσπερ ἔλεγον, B συμβαῖνον ὁρῶν, (πρὶν γὰρ εἰς λόγους ἥκειν, παρὰ σοὶ κριτῇ ταῖς ἁπάσαις ἑάλων, καὶ τεκμήριον ἀψευδὲς, εἰς ἣν κατεδικάσθην καθέδραν,) νοῦν μὲν ἔσχον μόλις συνετωτέρους ἐκείνους ἐμαυτοῦ κρίνειν· βέλτιον δ' ἦν, ὥσπερ ἔπειθον ἐμαυτὸν ἐγὼ, οὕτω καὶ τὴν ἀπόβασιν ὀφθῆναι γενομένην τῶν πρα-

serim: aut si quid aliud huiusmodi iniussu tuo perpetrarim, et postea mandatum quoque tuum pro nihilo putans, nihilo minus facere perrexerim. Atqui ego in his peccare me nesciebam, tibi autem delinquere forsitan videbar. Sic mihi persuadens, nihil me indignum admittere, dicebam iis, quibuscum mihi sermo, velle magnopere apud dominum et imperatorem causam dicere: ita namque nullius, quorum arguerer, convictum iri, et ipsum imperatorem flagitiorum meorum abiecta supicione iram remissurum. Negare non potes, te ab obitu parentis mei imperatoris usque hodie tam implacabilem adversus me iracundiam aluisse, ut tanto intervallo non verbo saltem uno dignatus sis: quod cum considero, morte ipsa dirius videtur. Talia occurrebant quae dicerem, sperabamque tempus aliquod defensionis nacturum ex lege, quae iudiciis ipsis dominatur. Atenim desipere me aiebant quibuscum agebam, si putarem eodem accusatore et iudice non potius indicta causa me damnatum, quam probationes et argumenta mea, quamobrem damnandus non sim, requisitum iri. Quorum orationi fidem non habebam; quam nunc re ipsa comprobatam videns (antequam enim verbum emisi, apud te iudicem omnibus calculis condemnatus sum: cuius rei evidens indicium sedes humilis, in quam damnatus sum) vix tandem intelligo,

A. C. 1321 γμάτων· ἐῶ γὰρ εἰπεῖν δίκαιον. ἐπεὶ δ' αἱ δυσπραγίαι τοσοῦτον ἔπνευσαν βαρὺ κατ' ἐμοῦ, ὥστε μοι καὶ τὰ πατρὸς σπλάγχνα τοσοῦτον ἐκπεπολεμῶσθαι, ὡς μηδὲ τῆς ὁτῳοῦν προσηκούσης ἐλευθερίας τυγχάνειν ἐπὶ τὸ τὰ ἐγκλήματα ἀπολύσασθαι, δέομαι τοῦ σοῦ κράτους, ὦ βασιλεῦ, μὴ πρότερον ψῆφον ἐξ-
C ενεγκεῖν, πρὶν ἂν τὰ ἐγκλήματα, ἅπερ ἐμοῦ κατηγόρηκας, βασάνῳ δοκιμασθῇ. κἂν μέν τι φαίνωμαι τούτων ἐξειργασμένος, τὴν ἐσχάτην δοῦναι δίκην ἀποθανόντα· ἂν δ' ἐλεύθερος ἐκ πάντων τούτων ἀποδειχθῶ, ὅπερ οἶμαι καὶ σὲ βούλεσθαι καὶ δι' εὐχῆς ποιεῖσθαι, τότ' ἐξέσται πάλιν πατρί γε ὄντι σοὶ καὶ κυρίῳ πράττειν τὰ κατὰ γνώμην." Τούτοις τοῖς λόγοις εἰς ὀργὴν ἐξαφθεὶς ἐπιπλέον ὁ πρεσβύτερος βασιλεὺς, τραχυτέρᾳ τοῦ
V. 38 δέοντος χρησάμενος τῇ φωνῇ, μὴ οἴεσθαι αὐτὸν ἔλεγε τῶν καλουμένων ἀπὸ Χριστοῦ. ὁ νέος δὲ Ἀνδρόνικος εὐθὺς πρὸς τὸν τοιοῦτον ἀπαντῶν λόγον, „κράτιστε βασιλεῦ" ἔφη „τῶν ἐμοὶ νῦν
D ἐπενεχθέντων ἐγκλημάτων πολλῶν ὄντων καὶ χαλεπῶν, ἔτι καὶ πλείω καὶ χαλεπώτερα σοῦ προτάξαντος ἤνεγκα ἂν σιγῇ. ὃ δὲ νῦν ἔφης, μή οἴεσθαί με Χριστιανὸν, τοσοῦτον ἀπέχω τοῦ σιγῇ φέρειν ἢ πρὸς ἐμὲ εἰρῆσθαι νομίζειν. ὥστ' ἐμπίδος ἤ τινος τῶν φαυλοτέρων τὴν φωνὴν ταύτην νομίζω. ἀλλ' εἰ καὶ αὐτός, φημι, οὐχ ἡγῇ με Χριστιανὸν, ἀλλ' ὅγε τὸ σεβάσμιον αὐτοῦ αἷμα ὑπὲρ ἐμοῦ φιλανθρώπως ἐκχέας Χριστὸς, ὑπὲρ οὗ καὶ αὐτὸς ἕτοιμος εἶναι τὸ ἴδιον ἀποδοῦναι, καιροῦ καλοῦντος, θαῤῥούντως φημὶ, ἑαυτοῦ καὶ οἴεταί καὶ ὀνομάζει. καὶ

16. ἐπανεχθέντων antea. 20. Ita corr. pro νομίζων, ED. P. νομίζειν.

illos quam me iudicasse prudentius. Mihi vero melius (mitto dicere iustius) persuadebam fore, eo modo rerum eventum videre. Quoniam autem adversa sors ita me horribiliter afflavit, ut nullo modo mihi debitam libertatem ad respondendum criminibus obtineam, oro maiestatem tuam, imperator, uti prius sententiam ne feras, quam quae obiecisti, explorata et probata fuerint: ut si quid eorum admisisse deprehendar, capite poenas exsolvam: sin autem per omnia liber et innocens inveniar (quod te quoque desiderare et votis optare existimo) ut tibi rursum patri ac domino meo quod libuerit facere liceat. His verbis maiore inflammatus ira senior asperiore voce quam fas erat exclamans, arbitrari se illum non esse Christianum dixit. Cui verbo iunior statim sic occurrit: Cum multa et gravia de me crimina praedicaris, imperator optime, si plura adhuc et graviora praedicasses, silentio sustinuissem: sed quia nunc me Christianorum numero eximis, tantum abest, ut hoc tacitus feram aut in me convenire ducam, ut culicis, aut si quid est eo contemptius, hanc vocem dicere non verear. Sed ut tu me pro Christiano non habeas, at certe Christus, qui pretiosum sanguinem suum pro me be-

τίς χρεία τοιούτων λόγων; εἰ μὲν δικάζεις, δίκαζε κατὰ νό- A.C. 1321
μους· εἰ δὲ πρὶν δικάσαι καταψηφίζῃ, οὐδὲν ἢ δίκας λοιπὸν P. 47
λαμβάνειν. πράττε τοιγαροῦν ἅ σοι κεχαρισμένα· χάριτας δὲ
σοι τὰς μεγίστας ὁμολογῶ τῷ καὶ λέγειν καὶ πράττειν ἐπὶ τῶν
παρόντων τουτωνί, ἃ δὴ καὶ λέγεις καὶ πράττεις. ἐμοὶ γὰρ ἄν
τι καὶ τῶν ἀδοκήτων ἀπό γε τοῦ νῦν ἐπίῃ, οὐ σφόδρα λυπή-
σει, πολλοὺς ἔχοντι μάρτυρας τῆς ἀδικίας.

ιέ. Ἔνδον μὲν οὖν τοιαῦτα παρ' ἀμφοῖν τοῖν βασιλέοιν B
ἐλέχθη. ὁ μέγας δὲ δομέστικος καὶ ὁ πρωτοστράτωρ ἐν τῷ
ἐξωτέρῳ, καθάπερ ἔφθημεν εἰπόντες, διατρίβοντες οἴκῳ, καὶ
τοῦ πρεσβυτέρου βασιλέως τραχύτερον ἀκούσαντες φθεγξαμέ-
νου, ἐπὶ κακῷ τε τοῦ νέου βασιλέως τὴν τραχύτητα τῆς φω-
νῆς οἰηθέντες εἶναι, ἐκινήθησαν μὲν ὅθεν ἐκάθηντο, καὶ προ-
ῆλθον ἐπὶ μικρὸν ἀμύνειν ὡρμημένοι τῷ νέῳ βασιλεῖ. τῆς
ταραχῆς δὲ πεπαυμένης, αὖθις ἡσύχασαν καὶ αὐτοί. τρεῖς
δ' αὐτοῖς ἐκεῖ συμπαρόντες τῶν οἰκειοτάτων τῷ πρεσβυτέρῳ τῶν
βασιλέων, ὅ, τε Μελιτηνιώτης Ἰωάννης, Ἀνδρόνικός τε ὁ Ἐξώτρο- C
χος καὶ τρίτος ὁ Βάρδας, καὶ τὴν ὁρμὴν αὐτῶν ὑποπτεύσαντες
ὡς ὑπὲρ Ἀνδρονίκου τοῦ νέου γεγεννημένην, λέγουσιν αὐτοῖς
προσελθόντες, ὡς „τῶν βασιλέων πρὸς ἀλλήλους περί τινων ἀδή-
λων διαλεγομένων, δέον ὑμᾶς ἀποστάντας τῶν ὧδε, πρὸς τὴν ἐν
βασιλείοις αὐλὴν χωρεῖν.'' τῶν δ' αὐτοῖς δριμύτερον ἐνιδόντων,
καὶ τὸ θυμοῦσθαι καὶ ὀφθαλμοῖς καὶ λόγοις ἐνδεικνυμένων,
ἐξίστασθαί τε καὶ μὴ παρενοχλεῖν κελευσάντων, οἱ δύο μὲν

nigne effudit, pro quo vicissim meum, causa postulante, effusurum fidenter aio, pro suo habet suumque nominat. Verum quid ista verborum velitatione opus est? Si iudicas, secundum leges iudica: si autem ante condemnas, quam iudicas, restat, uti supplicium quoque de me sumas. Proinde fac delicias animo tuo. Gratias autem tibi maximas ago, quod his praesentibus ista et dicis et facis. Nam si quippiam etiam improvisum ex hoc die me incursaverit, non vehementer contristabit, quando plures iniustitiae tuae testes habeo.

15. Intus haec ab imperatoribus dicebantur. Magnus porro domesticus et protostrator foris expectantes, ut docuimus, et senem tumultuosius clamantem audientes, eamque rem malo esse nepoti opinantes, loco se repente movent, et ad ferendum auxilium concitati aliquantum procedunt. Sed strepitu illo conquiescente, etiam ipsi quiescunt. Aderant illis tres, avo imperatori familiarissimi, Ioannes Melitenensis, Andronicus Exotrochus et Bardas, qui huiuscemodi impetum pro Andronico iuniore susceptum coniectantes, sic eos aggressi sunt, ut dicerent, imperatoribus sermonem arcanum conferentibus, decere eos inde se removentes in atrium palatii secedere. Quibus torvo lumine intuentibus, conceptamque in praecordiis iram non vultu modo, sed voce quoque prodentibus, eosque

A. C. 1321 πάλιν ἡσύχασαν καθεσθέντες, ὁ Μελιτηνιώτης δὲ ἔνδον πρὸς
τὸν πρεσβύτερον τῶν βασιλέων ἐλθών· „σκεπτέον σοι" πρὸς οὓς
D εἶπεν „ὅ,τι μέλλεις δρᾷν, ὦ βασιλεῦ. πρὸς γὰρ θύραις ταῖς σαῖς
ἐφεστήκασι τῶν τῆς συγκλήτου τινὲς, πάντα δρᾷν ὑπὲρ τοῦ
νέου βασιλέως ἕτοιμοι καὶ πάσχειν ὄντες." τούτων ἀκούσας ὁ
βασιλεὺς ἀνέστη τε αὐτίκα τοῦ θρόνου, καὶ πρὸς τὸν ἐνδό-
τερον οἰκίσκον ἐχώρει. τὸν νέον βασιλέα τοῖς ἀκροωμένοις ἅμα
παρὰ τὸν ἔξω καταλιπών. τὸν μέγαν δὲ μετακαλεσάμενος
V. 39 λογοθέτην τὸν Μετοχίτην, καὶ ὅσα ἦν αὐτῷ βουλομένῳ διαλε-
χθεὶς, εἶτα δι' αὐτοῦ μηνύει τῷ ἐγγόνῳ καὶ βασιλεῖ· „σὺ μὲν
οἷσπερ εἶπον καὶ πλείοσιν ἐνέχῃ κακοῖς· ἐγὼ δ' ἅπαντα πα-
ριδὼν, ἀξιώσω συγγνώμης, ἂν ἃ λέγω ποιήσῃς αὐτός. ταῦ-
τα δ' ἐστί· πρῶτον μὲν ὅρκῳ πιστώσασθαι τὴν πίστιν καθα-
P. 48 ρὰν τῷ Χριστῷ τηρεῖν· ἔπειτα μετὰ τοῦτο, μηδὲ περὶ ἐμὲ
κακὸν ὀφθήσεσθαι γεγενημένον· τρίτον μετὰ τοῦτο, καταδή-
λους ἐμοὶ ποιῆσαι τοὺς σοὶ συμπράττειν καὶ προσκεῖσθαι
προῃρημένους· τέταρτον δὲ, ὅρκῳ πιστώσασθαι δρασμῷ χρή-
σεσθαι μηδαμῶς." πρὸς ταῦτα βασιλεὺς ὁ νέος ἀπεκρίνατο
τοιαῦτα· „κράτιστε βασιλεῦ, τὸ τὴν πίστιν ὅρκοις ἀπαιτεῖν
βεβαιοῦν, πρὸς τῷ σκληρὸν ἐμοὶ φαίνεσθαι καὶ τὴν ψυχὴν δει-
νῶς ἐκταράττειν, ἔτι καὶ ἑαυτῷ περιπίπτει. εἰ μὲν γὰρ ἐν
τοῖς ἱεροῖς τὸν ὅρκον εὐαγγελίοις καὶ ταῖς σεβασμίαις εἰκόσι
κελεύεις πιστὸν ποιεῖν, αὐτῷ τούτῳ περὶ τὸν θεὸν πιστὸν,
καὶ τὸν Χριστὸν ἀποδεικνύεις ἐνδεδυμένον ἐμέ. εἰ δ' ἄλλῳ

facessere iubentibus, duo quidem conticuerunt ac resederunt; Melitenensis autem ad imperatorem adiens in aurem illi insusurravit: Videret, quid ageret; ad fores conclavis quosdam astare de viris principibus, pro iuniore imperatore paratos facere et pati omnia. Hoc nuntio commotus, e solio nil cunctatus surgit et in domunculam interiorem se recipiens, foris nepotem cum assessoribus relinquit: advocatoque magno logotheta Metochite, et cum eo, quae volebat, collocutus, adolescenti per eum haec significat. Esse quidem illum iis, quae audisset, et pluribus sceleribus obstrictum: se tamen omnia in minimis numeraturum, et veniam reo impertiturum, si quae postularet, efficere in animum inducat, nempe haec: primum, ut sacramento firmet se Christo fidem puram et sanctam servare; tum, nihil mali in avum moliturum; adhaec, eorum nomina, qui se ipsi satellites ac ministros facinorum volentes libentesque praebuerint, ad ipsum delaturum; postremo, non se ullo modo fugiturum. Ad ista iunior hoc responsum dedit: Quod de fide in Christum confirmanda sacramenti a me religionem exigis, imperator optime, praeterquam quod durum videtur mentemque meam maiorem in modum percellit, etiam non cohaeret et in se ipsum corruit. Si enim me per sacra evangelia et venerandas sanctorum imagines fideliter iurare iubes, hoc ipso utique Deo fidelem

τινὶ σεβάσματι προσέχειν ἐμὲ νομίζεις, τῶν ἀνοήτων καὶ πε- A. C. 1321
ριττῶν, ὧν ἠθέτησα τὴν πίστιν, ταῦτ' εἰς ὅρκον ἐμοὶ προ- B
βάλλειν· ῥᾳδίως γὰρ ἂν καταψεύσομαι τῶν μὴ τιμωμένων.
διὸ δή σου δέομαι, βασιλεῦ, μὴ περὶ τῶν τοιούτων λόγους
κινεῖν· χάριτι γὰρ Χριστοῦ καὶ Χριστιανός εἰμι καὶ τῶν ὀρ-
θοδόξων. κατὰ σοῦ δὲ μήτε δρᾶσαι μήτε βουλεύσασθαί τι
κακὸν, καὶ νῦν μὲν ὄμνυμι τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν, ὡς
οὔτε πρότερον εἰς λογισμοὺς ὑπήχθην τοιούτους, οὔτ' ἐν τῷ
μέλλοντι κακὸς ὀφθῆναι βούλομαι περὶ σέ. σὸν δ' ἐπίταγμα
ἐκπληρῶν, καὶ αὖθις ὀμοῦμαι. περὶ δὲ τοῦ καταδήλους
τοὺς ἐμοὶ συνόντας καὶ ταὐτὰ βουλομένους σοὶ θέσθαι, ἐκεῖνο C
λέγω, ὡς αὐτὸς ἂν εἰδείης μᾶλλον ἐμοῦ, ὁποίους τινὰς εἰκὸς
εἶναι τοὺς προσκειμένους ἐμοί. ὅπου γὰρ χρημάτων μέν μοι
πόρος οὐδεὶς, οἷς ἂν ἴσως πείσαιμι τῶν ἀξίων μοι λόγου τινὰς
προσέχειν, παῤῥησίας τε πρὸς σὲ μέτεστιν οὐδεμιᾶς, δι' ἧς εὐ-
εργετῶν ἐμαυτῷ κτήσομαι φίλους τινὰς τῶν δεομένων ὠφελείας,
συνορᾷν ἐστιν ἐκ τῶν πραγμάτων τῷ βουλομένῳ παντὶ τοὺς
ἠθροισμένους περὶ ἐμέ. εἰ δ' ἄρα καί τινες εἶεν εὐνοϊκῶς
ἐμοὶ διακείμενοι, οὐκ ὀφείλοντες τὴν εὔνοιαν, ἀλλὰ μᾶλλον
χάριτος κατάρχοντές εἰσιν· ὧν οὕτω βελτίστων περὶ ἐμὲ προῖ- D
κα γεγενημένων, οὐκ ἂν ἐλλίπῃ μοχθηρίας ὑπερβολὴν τὸ κάκι-
στον αὐτὸν καὶ προδότην ὀφθῆναι περὶ αὐτούς. καίτοι γε καὶ
αὐτοὶ οὐδὲν ἄλλο μοι προσιόντες πείθειν ἐπιχειροῦσιν, ἢ σοὶ,

me et Christum induisse ostendis. Sin aliud pro numine adorare me credis, inutile et supervacaneum est, quorum fidem irritam feci, per ea iusiurandum a me exigi: facile siquidem contra illa mentiar. quae colere desii. Quocirca te rogatum volo, imperator, ne quid super hoc negotio verborum facias; gratia enim Christi et Christianus et orthodoxus sum. Adversus te autem nihil mali vel designavi vel cogitavi. et nunc caeli terraeque conditorem ultro testor: me neque antehac istiusmodi consilia coxisse, neque de cetero improbi aliquid in te machinaturum; tuis vero iussis parens denuo iurabo. Iam quod vis, ut adiutores et socios tibi meos indicem, illud dico, te potius, quam me scire posse, quales consentaneum sit esse, qui me sequuntur. Cum enim pecuniae faciendae ratio nulla suppeditet, qua forsitan quosdam non infimae conditionis ad meas partes allicerem, libertate autem apud te nulla uti liceat, quo ope aliena indigentibus benefaciens, amicos comparem, discere hinc quivis potest, si vult, quales se ad societatem meam aggregaverint. Quod si forte nonnulli me non oderunt, at in eo non illi debitum pro gratia praestant, sed gratia me antevertunt: qui cum nulla exspectata mercede mei sint quam studiosissimi, nihil posset fieri scelestius, si ego in illos contra ingratissimus ac proditor existerem. Quamquam et ipsi me adeuntes, non aliud mihi persuadere nituntur, quam ut tibi, imperatori ac parenti meo, dicto

A. C. 1821 τῷ βασιλεῖ καὶ πατρὶ, ὑπέχειν ἐμαυτὸν καὶ καταδουλοῦν καὶ μὴ παρέχειν αἰτίας, ὥστ' ἐμαυτῷ τὴν σὴν γαληνότητα ἐξοργίζειν. ἐμοῦ δ' ἰσχυριζομένου τοιοῦτον ἐμαυτῷ συνειδέναι μηδὲν καὶ πολλοὺς εἰς ἀπολογίαν συνείροντος λόγους, οὐδὲν αὐτοῖς εἰς πειθὼ νομίζεται ἀξιόχρεων, ὅπερ ἐστὶν εἰκὸς λογιζομένοις,
P. 49 ὡς οὐκ ἂν οὕτως ἡ φύσις πρὸς ἑαυτὴν ἐκπολεμωθείη, μὴ τῶν αἰτίων ὄντων ὑπερφυῶν. οὐδὲ γὰρ οὐδὲ τῶν θηρίων τὰ χαλεπώτατα τοῖς τέκνοις ἐπεβούλευσάν ποτε τοῖς ἰδίοις. εἰ δέ τινες ἐν αὐτοῖς εἶεν καὶ μὴ τοιοῦτοι, οὕτω δοκεῖς ἐμὲ κακὸν καὶ ἀγνώμονα εἶναι περὶ τοὺς φίλους, ὥστε τῆς εἰς ἐμὲ φιλίας προδοσίαν παρασχεῖν ἀντιμισθίαν; οὐκ ἔστιν οὐδαμῶς· ῥᾷον γὰρ ἂν αὐτὸς οὐχ ὑπὲρ πάντων ὁμοῦ, ἀλλὰ καὶ ἑνὸς αὐτῶν
V. 40 τὴν ἐμὴν προήσομαι σωτηρίαν, ἢ ταύτην περιποιούμενος ἐκείνους ἐθελήσω καὶ μικροῖς τισι προσομιλῆσαι κακοῖς. ἔτι πρὸς τούτοις καὶ ὅρκοις ἐπέταξας τὸ μὴ δρασμῷ χρήσασθαι ὠσφαλίσασθαι· ὄμνυμι δή σοι τὸν ἁπάντων κύριον καὶ βασιλέα
B θεὸν, ὡς ἄν τι φωράσω περὶ ἐμὲ βουλευόμενον κίνδυνον ἀπειλοῦν, πάσῃ δυνάμει καὶ ὅλῳ ποδὶ χρήσομαι πρὸς φυγήν.”

ιϛ'. Ταῦτα τοῦ νέου βασιλέως διεξιόντος, ὁ πρεσβύτερος ὑπὸ τὰς θύρας ἱστάμενος τοῦ οἰκίσκου, πάντων ἐπηκροᾶτο, καὶ τἄλλα μὲν ἤνεγκε σιωπῶν, τὴν φυγὴν δὲ ἀκούσας· „σὺ δ'
C ἔφη „φεύξῃ γε σύ; ἀλλ' ὅσον οὔπω σὺ μὲν συλληφθεὶς ἀπαχθήσῃ δεσμώτης καὶ πρὸς δοριαλώτου καταστὰς τύχην. ἐγὼ δ'

sim audiens, tibique serviam, occasiones fugiam, quibus serenitas tua adversum me turbari et irritari queat. Dum autem constanter affirmo, nihil huiusmodi conscire mihi, verbaque ad defensionem acervo, haud illis quidquam ad fidem satis videtur: probabiliter ratiocinantibus, non potuisse naturam tantam in semetipsam hostilitatem induere, nisi causae fuissent, et quidem tales, quae ipsas naturae metas excederent: quando neque truculentissimae ferarum in catulos suos unquam sese insidiosas ac malignas praebuerunt. Et ut aliqui inter eos tam solliciti non sint, an me adeo nequam in amicos et officii immemorem putas, ut eorum caritatem proditione remunerare velim? Oh neutiquam: citius, non pro omnibus modo simul, sed pro singulis etiam caput meum devovere non dubitabo, quam ut eius servandi vel leve eos patiar subire incommodum. Praeterea de fuga non suscipienda iurisiurandi testificationem mihi imperasti: per universorum igitur dominum et principem Deum iuro tibi, si te quidquam inimicius contra me molientem cognovero, nervis omnibus et toto, quod aiunt, pede fugiam.

16. Haec iuniore disserente, sub ianua domunculae consistens senior auscultabat omnia. Et ad cetera quidem mutus, ubi fugae illata est mentio, Tu, inquit, tune ut fugias? Atqui iamiam comprehensus et vinculis constrictus abducere, et ad captivi fortunam

οὐδὲ τριῶν ὀβολῶν ἐθελήσω λύσασθαι τῆς δουλίας· εἶτα μικρὸν προβὰς, „ὁρᾶτε" ἔφη πρὸς τοὺς παρόντας „ὅπως τοῖς ἐμοῖς λόγοις οὗτος συμμαρτυρεῖ, σκληρὸς ὢν καὶ αὐθάδης καὶ πέρα τοῦ δέοντος ἀλαζών; ἤδη καὶ ὑμῖν ἐστι σαφῶς ἐκ τῶν πραγμάτων καταμαθεῖν." ὁ νέος δ' Ἀνδρόνικος, „ἐπ' ἀληθείας" εἶπεν „ὦ βασιλεῦ, οὔτε σκληρός εἰμί τις, οὔτε αὐθάδης, ἀλλὰ τῶν ἐμῶν ἁμαρτιῶν ὁ σωρὸς τοιοῦτον εἶναι φαίνεσθαί σοι ποιεῖ· ἐγὼ δ' ἐπὶ μάρτυρι λέγω τῷ εἰδότι πάντα θεῷ, ὡς οὐδὲν τοιοῦτον ἐμαυτῷ σύνοιδα εἰργασμένῳ ὡς ἄξιον εἶναι τῆς τοσαύτης ὀργῆς. διὸ δὴ καὶ δέομαι τοῦ σοῦ κράτους συγγνώμης κἄν τε ἥμαρτον τυχεῖν, κἄν τε μή. πρὸς τοὺς πόδας γὰρ ἐφίεμαι τοὺς σοὺς ἀποθανεῖν," αἰνιττόμενος, ὡς οὐκ ἂν αὐτοῦ βουλήσοιτο ἀποστῆναι χωρὶς ἀνάγκης. ἅμα δὲ τούτοις τοῖς λόγοις καὶ πρὸς γῆν κατεκλίνετο ἀσπασόμενος τὸν πόδα τοῦ βασιλέως. ὁ δ' ἀνεῖχε λαβόμενος τοῦ ὤμου, ἅμα καὶ λόγοις τὸ ἔργον ἀπαγορεύων· ὡς δ' ἑώρα βιαζόμενον, ἀφεὶς τὸν ὦμον, ἐλάβετο τῶν τριχῶν· ὡς δὲ καὶ οὕτως ἐβιάζετο, ἀφειδῶν ἑαυτοῦ, δείσας ὁ πάππος, μὴ τῇ βίᾳ τῆς κεφαλῆς διαστῶσιν αἱ τρίχες, ἐνέδωκε τὴν κατάκλισιν· ὁ δὲ κατακλιθεὶς ἠσπάσατο τὸν πόδα τοῦ βασιλέως. εἶτ' ἀναστάντος, τῆς κεφαλῆς λαβόμενος ὁ βασιλεὺς, κατεφίλει τὰς ὄψεις. τοῦτο δὴ ὁ πατριάρχης καὶ οἱ τῆς συγκλήτου παρόντες ἰδόντες καὶ διαλλαγῆς ἀπόδειξιν νομίσαντες ἤδη βεβαίας τῶν βασιλέων, πολλᾶς ἀφῆκαν

A.C. 1321 — D — P. 50

redigere. Ego vero nec tribus obolis, si possim, te e servitute exemerim. Dehinc paululum progressus, Cernitis, inquit ad praesentes, quemadmodum iste verbis meis fidem conciliet, contumax videlicet, se magnifice circumspiciens, et immodice arrogans? Quod ex re ipsa vobis licet discere. Subiicit iunior: Equidem neque contumax sum, neque mihimet tantopere plaudo, sed multitudini peccatorum meorum acceptum refero, quod talis tibi videar. Testor Deum, quem nihil latet, haud me ullam culpam ira tam atroci dignam commeruisse. Quapropter potentiam tuam obsecro, seu noxius seu innoxius sum, mihi ignoscas: ad tuos enim pedes mori cupio (significans, non nisi coactum ab eo recessurum). Et simul cum hoc dicto ad terram procumbebat, avi pedem osculaturus; quem ille humeris eius obnitens abstinebat, ac voce item prohibebat, tandemque amplius luctantem capillis retinebat. Cum etiam sic sibimet non parcens, vi summa pergeret, metuens avus, ne illa violentia crines a vertice abstraherentur, terram petere, et pedi osculum figere permisit, surgentemque, capite apprehendens, oculos eius deosculatus est. Quo conspecto, patriarcha quique aderant proceres hoc minime dubium redintegratae inter imperatores amicitiae argumentum rati, ingeminatis vocibus, Deo pacis largitori gratias agere. Quin et iunior imperator cum magno domestico et protostratore se-

A. C. 1321 φωνὰς εὐχαριστοῦντες θεῷ τῷ χορηγῷ τῆς εἰρήνης. καὶ αὐτὸς
δὲ βασιλεὺς ὁ νέος καὶ οἱ περὶ αὐτὸν διηλλάχθαι νομίσαντες
τῷ ἐγγόνῳ τὸν βασιλέα, ἔχαιρόν τε αὐτοὶ, καὶ εὐτυχίας
ἄκρας ἡγοῦντο τὴν ἡμέραν ἐκείνην. ἐκ τῶν βασιλείων οἴκαδε
B ὁ νέος βασιλεὺς ἀπελθὼν, διηγεῖτό τε τοῖς φίλοις τοὺς κατὰ
τὴν δίκην λόγους, συνεόρταζόν τε καὶ συνέχαιρον ἀλλήλοις.
μηνύουσι δὴ καὶ Συργιάννῃ τὰ γεγονότα, ὡς ἂν καὶ αὐτὸς
συγχαίρῃ τοῖς φίλοις χαίρουσι καὶ μηδεμίαν ἔχῃ φροντίδα
τήκουσαν τὴν ψυχὴν, ὡς τῶν προτέρων ἤδη βουλευμάτων
διαλυθέντων καὶ βεβαίας εἰρήνης γεγενημένης τοῖς βασιλεῦσι
καὶ κατ' εὐχὴν αὐτοῖς τῶν πραγμάτων κεχωρηκότων. τοῦτο
V. 41 γὰρ ηὔχοντο, τὸ μὲν βασιλέα τῆς εἰς τὸν ἔγγονον ἀπεχθείας
μεταβαλεῖν, αὐτοὺς δὲ κινδύνων ἔξω καταστάντας ἡσυχίαν
ἄγειν. οὕτω μὲν οὖν αὐτοῖς ἔχειν ἐδόκει τὰ γεγενημένα· τὰ
δ' ἦσαν ἕτερον τρόπον, ὡς ἔδοξε τοῖς πολλοῖς ἐκ τῶν μετὰ
C ταῦτα. ἐκρίθη γὰρ διανοίᾳ γεγενῆσθαι τοιαύτῃ. ἔθος ἐπεκράτησε
παρὰ τοῖς βασιλεῦσι Ῥωμαίων, ἐπειδάν τις τῶν καθ'
αἷμα προσηκόντων ἢ καὶ ἄλλως τῶν ἐν τέλει, προσκυνήσας
ἀσπάσηται τὸν πόδα τοῦ βασιλέως, ἀντασπάζεσθαι καὶ αὐτὸν
[αὐτὸν] εἰς τὴν ὄψιν. καὶ τότε δὴ τοῦ νέου βασιλέως ἀσπα-
σαμένου πρὸς τὸν πόδα τὸν πάππον, ἵνα μὴ εἰς ἄκρον ἀπεχθείας
ἐληλακέναι δοκῇ, οὐδὲ τῶν ἰδιώταις προσηκόντων ἀξιῶν
τὸν ἔγγονον καὶ βασιλέα, ἀντεφίλησεν εἰς τὸ πρόσωπον καὶ
D αὐτός. ἀλλὰ τὰ μὲν τῆς πρὸς ἀλλήλους διαλέξεως τῶν βασι-

20. Unci vulgo desunt.

niorem placatum arbitrati, laetitia exsultare diemque illum candidissimum iudicare. Et rediens domum, nepos inquam, sermones in iudicio habitos necessariis suis memorabat: qui omnes una diem festum communibus gaudiis exigebant: Syrgianni insuper acta perscribentes, ut et ipse gauderet cum amicis gaudentibus, neque se ulla in posterum cura maceraret; utpote abiectis iam prioribus consiliis, et stabili inter imperatores concordia revocata et confectis omnibus ex sententia. Hoc enim erat, quod votis saepenumero petiverant: ut avus odium contra nepotem deponeret, ipsique periculorum metu soluti ac liberi, vitam placidam et quietam degerent. Quae igitur gesta fuerant, hunc in modum habere se illis videbantur: aliter tamen habuisse, multi ex iis, quae postea consecuta sunt, intelligebant. Hac enim mente gesta fuisse, iudicabatur. More Romanis imperatoribus receptum erat, cum consanguineorum aut magistratuum aliquis secundum adorationem pedem imperatoris osculo contigisset, ut imperator vicissim eius faciem deosculaFretur. Cum itaque tum nepos avi pedem osculatus fuisset, ille, ne inexpiabili odio flagrare crederetur, si ne iis quidem nepotem et imperatorem dignaretur, quae privatis tribuerentur, faciem eius contra et ipse osculo

λέων ἐπὶ τῆς δίκης ἐνταῦθα ἐτελεύτησε· δυσὶ δὲ ὕστερον ἡμέ- A.C. 1321 ραις μετὰ τοῦτο ὁ πρεσβύτερος τῶν βασιλέων τῷ μεγάλῳ διά τινος δηλοῖ δομεστίκῳ πρὸς Πελοπόννησον ἀπελθεῖν, ἐκείνης ἐπιτροπεύσοντα. τὸ δ' εὐθὺς ἐδόκει μὲν εἶναι τῶν ἀριστερῶν οἰωνῶν· ὅπως δ' ἀνακωχὴ γένηται, καὶ βασιλεῖ τῷ νέῳ τὰ τῆς ἀγγελίας δῆλα γενέσθαι, ἀντεμήνυσε καὶ αὐτὸς τοιαῦτα· „τῆς εἰς ἐμὲ εὐμενείας καὶ προμηθείας, ὦ βασιλεῦ, πολλὰς μὲν καὶ ἄλλας ἔχω τὰς ἀποδείξεις, μάλιστα δὲ τὸ ἐξ ἡλικίας, ὡς εἰπεῖν, πρώτης εἰς ἀρχὰς ἐκλέγεσθαι καὶ διοικήσεις ἐπιτρέπειν πόλεών τε καὶ στρατιῶν, οἴκοθεν ὡρμημένον· καὶ τὸ νῦν P. 51 δὲ τοῦτο πολλὰς τῷ σῷ κράτει πείθει χάριτας ὁμολογεῖν, βασιλεῦ. δέομαι δὴ καὶ ταύτην ἐπιθεῖναι τὴν χάριν, τὴν παροῦσαν ἐπιτρέψαι πρὸς διάσκεψιν ἡμέραν, ὡς ἐς τὴν ὑστεραίαν ἐπιτέταγμαι τὴν ἀπολογίαν ἀποδώσοντι.“ πρὸς μὲν δὴ τὸν πρεσβύτερον τῶν βασιλέων ἀπεκρίνατο τοιαῦτα· ἡ δὲ τάχους, ἀπελθὼν πρὸς τὸν νέον, τὸ τοῦ βασιλέως ἐπίταγμα ἀναγγέλλει, καὶ Συναδηνοῦ παρόντος τοῦ πρωτοστράτορος. τοῖς δ' ἐδόκει βουλευτέα πάλιν ἐξ ἀρχῆς εἶναι περὶ τῶν ὅλων πραγμάτων· οὐδὲ γὰρ πρὸς ἕνα φέρειν τὸν κίνδυνον, πρὸς πάντας δέ. ἦρχε δὲ ὁ βασιλεὺς τῆς βουλῆς οὕτω διαλεχθείς· „αὐτοὶ μάρ- B τυρες ἡμεῖς καθεστήκαμεν ἑαυτοῖς, ἔχοντες καὶ θεὸν, ἐφ' οἷς βεβουλεύμεθα, συνειδότα, ὡς οὔθ' ἡττηθέντες λύπῃ, οὔτ' εἴξαντες ἀκαίρῳ θράσει καὶ παραβόλῳ, οὔτ' ἐπράξαμεν οὔτ' ἐβου-

14. Lege ὧν ἐπιτέταγμαι, ut sensus loco constet. 15. τάχους correxi, cum vulgo esset τάχος.

libavit. Ac imperatorum quidem lis et controversia in iudicio hunc finem tulit. Tertio post die senior magno domestico per certum hominem mandat, ut in Peloponnesum, ei praefuturus, discedat: id quod statim pro sinistro augurio fuit. Sed quo res tantisper extraheretur, dum super hoc mandato nepos certior fieret, haec illi per internuntium respondit: eius erga se benevolentiae curaeque cum alia non levia argumenta proferre posse, tum illud inprimis, quod ultro et sua sponte sibi paene adhuc puero magistratus dedisset, civitates et exercitus regendos commisisset. Et hoc ipsum, quod modo imperaret, ad singulares ipsius maiestati gratias agendas stimulum sibi addere. Rogare autem, hanc unam gratiam adiiceret, praesentem diem ad deliberandum sibi concederet: crastina luce de mandatis responsurum. Haec ad avum. Ad nepotem vero sine mora abiens, praesente etiam protostratore, quid in mandatis acceperit, narrat. Tum rem a capite arcessendam, et de integro consultandum videri: neque enim ad unum, sed ad omnes communiter periculum pertinere. Initium fecit iunior imperator, loquens verba huiuscemodi. Testes ipsi nobis sumus et deum habemus conscium eorum, quae in consiliis agitavimus: quodque nec moestitudini succumbentes, nec intempestivae et inconsideratae audaciae cedentes, quidquam iniustum

A. C. 1321 λευσάμεθά τι τῶν μὴ δεόντων. ἀλλὰ τοσαύτην ἐνεδειξάμεθα
μεγαλοψυχίαν καὶ καρτερίαν πρὸς τὸ μηδ' ἡντινοῦν αἰτίαν ἐφ'
οἷς ὁ βασιλεὺς βεβούληται καθ' ἡμῶν αὐτοὶ παρασχεῖν, ὥστ'
εἰ μὴ θεὸς ἄνωθεν ὑπερέσχε χεῖρα, οὐδὲ πάνυ πόῤῥω τῶν
θανάτου κατηντήκαμεν πυλῶν. ἄχρι μὲν οὖν δεῦρο τὸ τοῖς
δεινοῖς ἐγκαρτερεῖν αὐτός τε ἐπῄνουν καὶ συνεβούλευον ὑμῖν:
ἔτι γὰρ ὄντων ἐν ἀδήλῳ τῶν καθ' ἡμᾶς, πρὸς ἐμὲ μόνον ᾤετο
τὴν διαφορὰν ἔχειν ὁ βασιλεύς, καὶ μαλακώτερον ἥπτετο τῶν
C πραγμάτων, εὐχερῶς νομίζων, ὅταν ἐθελήσῃ πρὸς πέρας ἀγα-
γεῖν ἃ προῄρητο, δρᾷν· νυνὶ δὲ φανεροῦ γεγενημένου τοῦ τινας
εἶναι τοὺς συναιρομένους ἐμοί, οὐκέτι τῶν ὁμοίων ἕξεται λογι-
σμῶν, ἀλλὰ πρότερον ὑμᾶς ἐν ἀρχῶν προσχήματι διαστήσας
ἐμοῦ, καὶ τῆς παρ' ἀλλήλων ἡμᾶς ἐπικουρίας ἀποστερήσας,
πᾶσι διὰ τὴν μόνωσιν οὖσιν ἀσθενεστάτοις, ἣν ἂν βούλοιτο,
δίκην ἐπιθήσει. νῦν μὲν οὖν σοὶ τὴν πρὸς Πελοπόννησον ἐπέ-
V. 42 ταξεν ἀπιέναι· εἰς τὴν ὑστεραίαν δὲ πρωτοστράτορι ἑτέραν
δήθεν ἀρχήν τινα πρὸς ταῖς ἐσχατιαῖς τῆς Ῥωμαίων γῆς ἐγ-
D χειρίσει καὶ καταναγκάσει πρὸς τάχος γε ἀπιέναι· ὑμᾶς δ'
ἐκποδὼν ποιήσας τοὺς περιφανεστέρους, τότ' ἤδη καὶ περὶ
ἑτέρων εἴπερ εἰσιν ἀνερευνήσει. πάντα δ' ὡς ἂν αὐτῷ καλῶς
ἔχοι πρότερον διαθέμενος, ὡς ἤδη πρὸς καταστροφὴν εὐεπι-
χείρητον ὕστερον χωρήσει καὶ πρὸς ἐμέ. ἀλλ' ἴσως ἐρεῖ τις,
ὡς, εἴγε κατὰ λόγον τὸν σὸν σὲ τῆς ἀπὸ τούτων ἐπικουρίας
ἀποστερῆσαι βουλόμενος ἀρχὰς αὐτοῖς ἐγχειρίσει τὰς ἐν ἐσχα-
τιαῖς τῆς Ῥωμαίων ἀρχῆς, ῥᾷον ἦν δήπου καὶ λυσιτελέστε-

vel egimus, vel consuluimus: sed ideo tantam animorum altitudinem ac tolerantiam prae nobis tulimus, ne imperatori in nos secus statuendi minimam causam daremus. Quod nisi deus desuper manum suam extendisset; haud longe admodum a porta mortis abfuimus. Hucusque igitur in rebus afflictis perdurare ego et laudavi, et vobis, ut id faceretis, auctor fui. Quippe nondum patente conspiratione nostra, mecum solo putabat imperator sibi esse negotium; et segnius agebat, confisus, parvo labore, cum libuisset, meditata opera perfecturum. Nunc, quoniam constat, esse qui me adiutent, aliter sentiet: et postquam vos praetextu praefecturarum a me divellerit, mutuisque nos auxiliis spoliaverit, omnibus propter disiunctionem, solitudinemque iam imbecellimis poenam pro arbitratu irrogabit. Hodie tibi, domestice, imperavit Peloponnesum capessere: cras protostratorem ad aliam quandam provinciam in ultimis Romani imperii finibus amandabit celeriterque proficisci compellet. Ubi vos illustriores, et ipsa capita e medio removerit, tum iam et reliquos, si qui sunt investigabit, totaque re antea ex sua sententia bene constituta, tandem pro catastrophe ad me quoque, ut superatu facilem, es convertet. Dicet quispiam, si, ut ais, te horum virorum praesi-

ρον πολὺ συλλαβόντα καὶ κατακλείσαντα φρουρᾷ τῆς ἀπὸ τού- A.C. 1321
των ἀπηλλάχθαι φροντίδος· τί γὰρ ἔσται τὸ κωλῦσον τοῦ ταῦτα καταπράξασθαι τὸν βασιλέα; καὶ νῦν ἔχοντα λόγον ἐρεῖ, τὸ κωλῦσον μὲν οὖν οὐδέν· συνετὸν δὲ ὄντα καὶ πολλῶν P. 52
πραγμάτων ἔμπειρον τὸν βασιλέα τοῦτο λέληθεν οὐδαμῶς ὡς ἀλυσιτελές, πρὶν ἀκριβῶς ἐκμαθεῖν ὁπόσοι τινὲς καὶ οἷοι τὴν πρὸς ἐμὲ προείλοντο κοινωνίαν, ὁμόσε πρὸς τὸ πολεμεῖν. δέος γὰρ μὴ πολλῶν τινων καὶ δυνατωτάτων ὄντων ἕνα μὲν ἢ καὶ δύο καθείρξῃ, τῶν δὲ λοιπῶν ἤδη πρὸς ἀνάγκην συνισταμένων, οὐ κατὰ νοῦν χωρήσῃ τὰ πράγματα αὐτῷ. εἰκὸς δὲ αὐτὸν καὶ πολλούς τινας καὶ δυνατοὺς τοὺς τὰ ἡμέτερα εἶναι οἴεσθι προῃρημένους· τὸ γὰρ ἐν τῇ δίκῃ πρὸ τῆς χθὲς ἐμὲ μόνον ἐναπειλημμένον, μὴ καταπεσεῖν μηδὲ δειλίᾳ συσχεθῆναί τινι, ἀλλ' ἀτρέπτῳ καὶ φρονήματι καὶ ἤθει μετὰ ἀσφαλείας ἀντιλέγειν πολλῆς, τὸ καὶ τὸν Μελιτηνιώτην ἔξωθεν ἑστάναι τινὰς B
τῶν δυνατῶν ἀπαγγεῖλαι ὑπὲρ ἐμοῦ πάντα πράττειν προσγενόμενον προθυμουμένους, οὐκ ἐπὶ μικρὸν κατέσεισε τοὺς λογισμοὺς τοὺς βασιλικούς. διὸ τότε μὲν εὐθὺς ὅπερ ἀσφάλειαν ἐδόκει παρέχειν ἔπραττε, τῶν θρόνων ἐξαναστάς. νυνὶ δὲ καλῶς ἔχειν ἔδοξεν αὐτῷ τοὺς καταδήλους γενομένους ὑμᾶς ἐν εὐεργεσίας προσχήματι ἀποστῆσαι, καὶ μετὰ τοῦτο πάλιν, αὐτῶν διδασκόντων τῶν πραγμάτων, οἷς οἰήσεται λυσιτελήσειν ἐπιχειρήσει. τούτων ἕνεκα πάντων οὐκέτι διαμέλλειν οἴομαι δεῖν, οὐδὲ πρὸς

7. Post *πολεμεῖν* excidit *ἰέναι* vel simile quid.

dio nudare volens, provincias in remotissimis Romani imperii oris illis describit, expeditius erat sine dubio multoque utilius, si iis apprehensis et custodia clausis, curis se hisce exuisset: quid enim est, quod istuc facere prohibeat imperatorem? Recte, quod illum prohibeat, nihil est: sed callidum usuque rerum doctum imperatorem nequaquam fallit, haud conducere, priusquam exquisite norit, quot et quales sint, qui mecum societatem coierint, ad pugnandum cominus aggredi. Timendum enim, ne si multi sint ac potentissimi, unum quidem alterumve in vincula tradere queat; ceteris autem iam necessario coniurantibus, cogitata perficere non possit. Probabile porro est, eum existimare multos et opulentos nostrarum esse partium. Nam quod in iudicio nudiustertius ego solus interceptus, non concidi, neque timiditate aliqua concussus, multa cum fiducia constantique animo contradixi; quodque accessit, ut Melitenensis veniens nuntiaret, foris stare quosdam potentes, mea causa paratos ad omnia, non parum eius consilia turbavit: unde statim throno exiliens, securitati suae consuluit. Nunc sibi conducere censuit, vos delatos, per speciem beneficientiae a me distrahere. Postea iterum rebus ipsis docentibus, quibus se operae pretium facturum putabit, nos aggredietur. His omnibus de causis non amplius tergiversandum, nec, quasi prae malorum magnitudine de potestate exissemus, salu-

A. C. 1321 προὔπτον κίνδυνον αὐτοὺς ἀμελεῖν, ὥσπερ ὑπὸ μεγέθους τῶν δεινῶν ἐκστάντας τῶν λογισμῶν, ἀλλ' αὐτοὺς διασώζειν, ὡς ἂν C οἷοί τε ὦμεν. ἔτι γε μὴν καὶ γνώμην ἑτέραν περὶ τῶν προκειμένων, εἴγε καὶ ὑμῖν συνδοκεῖ, βούλομαι ἐξενεγκεῖν. ποίαν δὴ ταύτην; ὁ βασιλεὺς καὶ πάππος ὁ ἐμὸς, καθάπερ ἴστε δὴ καὶ αὐτοὶ, καταδήλους τοὺς ἐμοὶ συνόντας ἐζήτησεν αὐτῷ ποιῆσαι. τότε μὲν οὖν ἁρμόζοντας ἀπεκρινάμην τῷ καιρῷ λόγους, μήτ' εἶναι εἰπὼν τοὺς συνόντας ἐμοί τινας, μήτ' εἴπερ εἰσὶ, καταδήλους αὐτοὺς ποιήσειν· νῦν δέ μοι δοκεῖ λυσιτελεῖν πρεσβείᾳ χρησάμενον πρὸς αὐτὸν, ὅτι τέ εἰσιν ὁμολογῆσαι καὶ ὅρκοις αὐτὸν ἀπαιτῆσαι πιστώσασθαι, μὴ μνησικακήσειν αὐτοῖς μηδ' ἀμυνεῖσθαι τῆς εὐνοίας τῆς εἰς ἐμέ. εἰ D μὲν οὖν ἡμέρως καὶ προσηνῶς τοὺς παρ' ἐμοῦ δεξάμενος λόγους ὅρκοις πιστώσηται τὴν ἀπάθειαν τοῖς ἐμοῖς φίλοις, ἐναργὲς ἂν εἴη τεκμήριον, ὡς αὐτός τε καθαρῶς διήλλακται πρὸς ἐμὲ, καὶ τὸ ὑμᾶς εἰς ἀρχὰς ἐκπέμπειν οὐ περιέργως οὐδ' ἐπιβούλως, ἀλλ' ἁπλῶς αὐτῷ οὕτως ἐπινενόηται· εἰ δ' ἀγανακτήσει καὶ ἀποσείσεται τὴν πρεσβείαν, μηδεμίαν ἄλλην ἀπόδειξιν ἐναργεστέραν ζητεῖν τοῦ πάντα συσκευάζεσθαι καθ' ἡμῶν. χρήσομαι δὲ πρεσβευτῇ τῷ μεγάλῳ λογοθέτῃ τῷ Μετοχίτῃ, ἅτε δὴ καὶ τότε μεσιτεύσαντι πρὸς τὰς ἀγγελίας ἐμοὶ καὶ τῷ βασιλεῖ, καὶ παῤῥησίαν ἔχοντι πρὸς αὐτὸν, ὥστε θαῤῥῆσαι περὶ τοιούτων πρεσβεύειν.

P. 58 ιζ'. Τοιαῦτα τοῦ νέου βασιλέως βουλευσαμένου, καὶ τοῦ V. 48 μεγάλου δομεστίκου καὶ πρωτοστράτορος ὡς καλῶς ἔχει συνεπιψηφισαμένων, αὐτοὶ μὲν ἕκαστος οἴκαδε ἀπεχώρουν· βασι-

tem nostram usque ad ipsum periculi nobis praesivi punctum negligendam: sed eam pro viribus conservandam opinor. Volo tamen si vobis placet, super eo, de quo agimus, et aliam sententiam proponere. Quam illam? Avus socios meos qui essent, scire studuit; ego pro tempore tum respondi, neque socios mihi esse ullos, neque si essent, me ipsos nominaturum. Atqui modo profuturum sentio, legatione missa confiteri, habere me socios, et poscere ab eo iuramentum, mea causa non fore iniuriae memorem, neque malum ipsis daturum. Si pacate et mansuete petitionem excipiens, impunitatem illis sacramento promiserit, evidens erit indicium, et mecum citra fucum in gratiam rediisse et vos sine astu et insidiis candideque in provincias mittere cogitasse. Si indignatus legationem reiiciet, nulla erit hac ipsa firmior probatio, omnia haec subdole contra nos instituta et comparata esse. Lagatum magnum logothetam Metochitem adhibebo, qui tum quoque meus et avi interpres fuit, quique ea est apud illum auctoritate, ut obire hoc munus non reformidet.

17. Hoc consilio a iuniore Andronico explanato, a magno autem domestico et protostratore approbato, singuli domum concesse-

λεὺς δ' ὁ νέος τὸν μέγαν μετακαλεσάμενος λογοθέτην, οὕτω A.C. 1321
διεπρεσβεύετο πρὸς τὸν πάππον· „Ἡ εἰς ἐμὲ πρὸ τῆς χθὲς γε- B
γενημένη παρὰ τῆς σῆς γαληνότητος, ὦ βασιλεῦ, εὐεργεσία πολλὰς καὶ δικαίας ὁμολογεῖν χάριτας τῷ σῷ πείθει κράτει. κἂν γὰρ ἀπὸ ταραχῆς καὶ ὀργῆς ἦρξαν οἱ λόγοι, ἀλλ' εἰς τέλος ἥμερον καὶ συμπαθείας γέμον ἀποκαταστάντες, μᾶλλον εὔφραναν, ἢ καθ' ὅσον πρότερον ἐλύπουν. διὸ δὴ καὶ τῶν μὲν προτέρων, ὡς πατρικῆς ὄντων καὶ παιδείας καὶ κηδεμονίας, οὐδ' ἀναμιμνήσκεσθαι ἀξιῶ· ἃ δ' ἐν ὑστέρῳ πέπρακται, ὡς ἄξια καὶ μεγαλοψυχίας καὶ εὐμενείας καὶ πατρικῆς καὶ βασιλικῆς, ἀνεξάλειπτα δεῖν ἔγνων φυλάττειν ἐν τῇ ψυχῇ. ἐπεὶ δ' ἕν τι τῶν τότε ῥηθέντων ἐμέ τε δεινῶς ἐκταράττει καὶ φροντίδας C
οὐ παρέχεται μικράς, καὶ ἑτέροις ἐνέσεισεν οὐ τὸν τυχόντα φόβον, δέομαι τῆς σῆς γαληνότητος ἰάσασθαι καὶ ταύτην τὴν ἀλγηδόνα. ἔστι δ' ὃ λέγω τοιοῦτον· σοῦ, βασιλεῦ, ἐμοὶ διὰ τοῦ μεγάλου λογοθέτου προστάξαντος τουτουὶ, καταδήλους σοι θέσθαι τοὺς συνόντας καὶ συναιρομένους ἐμοὶ, τότε μὲν παντάπασι μὴ εἶναι οὐκ ἠρνησάμην, πλὴν ἀπὸ λογισμῶν εἰκότων ἐπεχείρουν, ὡς οὐκ ἂν εἶεν, ἀποδεικνύναι. οἷδ' ἦσαν· τὸ μήτε πόρον ἔχειν ἐμὲ χρημάτων, οἷς ἂν ἴσως πείσαιμί τινας προσέχειν ἐμοὶ, μήτ' ἐξουσίας ἀπολαύειν παρὰ σοὶ καὶ παῤῥησίας, βασιλέως παιδὶ πρεπούσης, δι' ἣν ἂν καὶ θεραπευθείην παρὰ D
τῶν τῆς ἐμῆς ὠφελείας δεησομένων. νυνὶ δὲ αὐτό τε τὸ πρᾶ-

ad avum illum mittere instituebat: „Quo beneficio ante hesternum diem serenitas tua me ornavit, id me ad amplas meritasque gratias agendas impellit. Quamquam enim sermo a perturbatione et ira principium caperet, tamen in finem suavem affectionisque plenum desinens, delectationis copia antecedentem molestiam obruit. Quare priorum, ut a paterna castigatione ac sollicitudine profectorum, meminisse nolo; quae autem posterius abs te facta sunt, ut digna magnanimitate imperatoria paternaque caritate, ea mihi in medullis infixa semper manebunt. Ceterum quia tum quiddam prolatum graviter me angit, et cura non levi sollicitat, nec aliis quoque exiguum timorem incutit, oratam volo serenitatem tuam, ut huic etiam dolori medeatur. Quod dico, tale est. Cum mihi per magnum logothetam praeceperis, ut administros atque socios meos tibi indicarem, tunc ego quidem non omnino et absolute eos habere me negavi: verumtamen rationibus verisimilibus demonstrare contendi, eos esse nullos posse. Quae erant: quod nec viam et modum adipiscendae pecuniae nossem, qua fortasse quosdam ad obsequelam meam inducerem: nec possem apud te frui eo iure eaque licentia, quae imperatoris filio deberetur; propter quam etiam colerer ab iis, qui opem meam desideraturi essent. Nunc res ipsa consortes meos qui sint aperuit, et ego de iis confiteor. Attamen, quod et tum dicebam,

A.C. 1321 γμα φανεροὺς ἠνάγκασε γενέσθαι τοὺς προσκειμένους ἐμοὶ,
καὶ αὐτὸς δὲ ἐγὼ εἶναι ὁμολογῶ· πλὴν, ὅπερ καὶ τότ' ἔφην,
οὐκ ὀφείλοντες χάριν, ἀλλὰ προκατάρχοντες μᾶλλον χάριτός
εἰσιν. διὸ δὴ καὶ ἀντιβολῶ τὴν σὴν ἡμερότητα, βασιλεῦ, ὅρκοις
ἐμοί τε καὶ αὐτοῖς πιστώσασθαι τὸ ἀπαθεῖς κακῶν μέχρι
παντὸς διατηρηθῆναι. οὕτω γὰρ ἐμοί τε καὶ αὐτοῖς θαῤῥήσα-
σιν ἀφόβως τε βιοῦν καὶ τῷ σῷ κράτει χάριτας ὁμολογεῖν
P. 54 πολλὰς περιέσται.” Τοιαῦτα μὲν ὁ νέος βασιλεὺς πρὸς λογο-
θέτην διεξῆλθε τὸν μέγαν, ὡς ἀπαγγελοῦντα τῷ πάππῳ καὶ
βασιλεῖ, συνάρασθαι καὶ αὐτὸν ἀξιώσας πρὸς τοῦτο, καὶ τὴν
τῶν ὅρκων ἐκπλήρωσιν ὑποθέσθαι τῷ βασιλεῖ, ὡς πολλῶν ἀ-
γαθῶν ἐκ τούτου συμβησομένων. ὁ δ' εὐθὺς „ἔγωγε” εἶπεν
„ᾠήθην, ὦ βασιλεῦ, τὴν ἐμὴν παρὰ σοῦ κλῆσιν πρός τι φέ-
ρειν τῶν ἀγαθῶν. ἐνόμιζον γὰρ, ὡς ὑποπεπτωκότας τινὰς καὶ
θεραπευτικοὺς λόγους δι' ἐμοῦ μηνύσεις τῷ βασιλεῖ, ἐξ ὧν
V. 44 ἡμερωτέραν ἀπεργάσῃ καὶ πραεῖαν αὐτοῦ τὴν ψυχήν. τὸ δ'
ἐναντίως ἔχει μᾶλλον ἢ αὐτὸς προσεδόκων. ὅθεν οὐδ' αὐτὸς
ἄγγελος εἶναι βουλήσομαι τοιούτων, οὐδ' εἰς ὀργὴν ἐξάψαι
B μᾶλλον διὰ τούτων τοὺς τῶν βασιλέως θυμούς. οὐδὲ γὰρ οὐδ'
ἀκοῇ παρειλήφαμεν ἄχρι καὶ νῦν τοὺς δεσπότας ὀμνύναι τοῖς
δούλοις, τοὐναντίον δὲ μᾶλλον· ἢ εἰ τοῦτο γένοιτο, καὶ ὁ δε-
σπότης ὀφλήσει τοῖς ὑπηκόοις, ὅπερ ὄφλουσιν αὐτοὶ τοῖς δε-
σπόταις, ὅπερ ἀτοπίας οὐκ ἂν εἴη μακρὰν. ἐγὼ δὲ καὶ ἀπορίᾳ
δεινῇ συνέχομαι, ἂν ὁ βασιλεὺς ἔρηται, ὅτου χάριν πρός σε
ἀφῖγμαι, τίνα ἂν ἀπολογίαν εὐπρόσωπον ἀποδοίην. πρὸς ἐκεῖ-

non mihi gratiam referunt; sed potius gratia me antevertunt. Quocirca tuae mansuetudini supplex fio, nobis iureiurando fidem facias, non id illis unquam fraudi futurum. Sic namque mihi iisdemque fidentibus, metus expertes vivere, tuaeque maiestati amplissimas agere gratias licebit." Haec ad magnum logothetam nepos, ut avo imperatori ea expositurum, et sibi quoque in ea re operam daturum, quod cupiebat, eumque de iuramento concipiendo, ut pluribus inde commoditatibus promanaturis, admoniturum videlicet. Logotheta continuo: „Ego me boni alicuius ergo ad te vocatum interpretabar, nempe ut avo subiectionem tuam plenamque obsequii voluntatem tuo nomine indicarem: quo pacto eum placidiorem tibi mitioremque efficeres. Atqui me fefellit augurium, et contrarium evenit. Quapropter nec nuntiare haec, nec eius animum talibus verbis exacerbare volo; quando usque hodie inauditum est, dominos iurare servis. Quod si fiat, domini condemnabuntur servis, quemadmodum illi dominis; quod insolens et absurdum est. Ego vero anceps haereo dubitoque vehementer, si quaesierit imperator, cur ad te ierim, quid honeste respondeam. Sed causam aliquam profectionis ad te meae comminiscar:

νον μὲν οὖν αἰτίαν τινὰ πλάσομαι τῆς ἀφίξεως, σοὶ δὲ παραινῶ καὶ προσέτι καὶ ἱκετεύω, μηκέτι μηδαμῶς περὶ τοιούτων λόγον κινεῖν. συνορῶ γὰρ αὐτὸς, ὡς εἰς κακὸν ἀνήκεστον τελευτήσει, ἂν εἰς ἀκοὴν ἔλθῃ τῷ βασιλεῖ." „ἐμοὶ δὲ τοὐναντίον ἅπαν ἔπεισι καὶ νοεῖν καὶ λέγειν" ὁ νέος εἴρηκε βασιλεὺς „οὐ γὰρ κακῶν αἰτίους τουτουσὶ τοὺς λόγους, ἀλλὰ μυρίων ἀγαθῶν, ἄν περ ὡς αὐτὸς ἀξιῶ γένηται, νομίζω. ὅτι δὲ καὶ ἐπὶ τῶν προτέρων βασιλέων γεγένηται τοιαῦτά τινα, ἐγγύθεν παράσχομαι τὴν ἀπόδειξιν. ὁ γὰρ ἐμὸς πρόγονος, ὁ βασιλεὺς Μιχαὴλ, ἔτι τὴν ἰδιωτικὴν στέργων τύχην καὶ ὑπὸ χεῖρα τελῶν Ἰωάννῃ Βατάτζῃ τῷ βασιλεῖ, κίνδυνόν τινα ὑπονοήσας ἐς αὐτὸν ἥξειν ἐκ βασιλέως, ηὐτομόλησε πρὸς τὸν τῶν Περσῶν ἡγεμόνα Σουλτάν· εἶτ' ἐκεῖθεν πρὸς τὸν βασιλέα πέμψας πρεσβείαν, ὅρκους ἀπῄτει τὸν βασιλέα, ὡς τοῦ τε δρασμοῦ συγγνώσεται καὶ εἰς τοὐπιὸν οὐδὲν κατ' αὐτοῦ βουλεύσεται δυσχερές. ὁ βασιλεὺς δὲ ἄσμενός τε προσεδέξατο τὴν πρεσβείαν καὶ τοὺς ὅρκους ἐδίδου, δεσπότης ὤν, ὥσπερ ὁ ὑπὸ χεῖρα τελῶν ἠξίου. οὐκ αὐτὸς δὲ μόνον, ἀλλὰ καὶ πρὸ τούτου πολλοὶ ὠφελείας ἕνεκά τινος ὀμωμόκεισαν τοῖς ὑπηκόοις. πρὸς αὐτῆς δὲ τῆς ἀληθείας, εἴγε καὶ νῦν αὐτοὶ οὗτοι, περὶ ὧν ἐγὼ τοὺς ὅρκους ἀπαιτῶ, δείσαντες τὸν κίνδυνόν τινι προσχωρήσωσι τῶν παρακειμένων ἡμᾶς βαρβάρων, εἶτ' ἐκεῖθεν πέμψαντες ὅρκους ἀπαιτῶσι τὸν βασιλέα, ὥστε μὴ κακῶς παθεῖν αὖθις ἐπανελθόντες, οὐκ ἂν οἴει βουλήσεσθαι παρασχεῖν; ἐμοὶ μὲν δοκεῖ.

A. C. 1321

C

D

te autem hortor et obsecro, ut de reliquo taceas de his penitus: prospicio enim, horribili exitu conclusum iri, si ad aures avi pervenerint." „At mihi plane contra sentire dicereque in mentem venit," excipit nepos, „non enim mala, sed innumerabilia bona hanc orationem, si ita ut cupio habeatur, parituram nobis confido. Porro quaedam istius generis etiam sub antegressis imperatoribus usu venerunt. Non longe abiero; meus proavus Michael imperator, adhuc privatus et Ioanni Batatzae imperatori subiectus, quod ab eo atrocius quiddam sibi paratum suspicaretur, ad Persarum principem Sultanum confugit. Inde per legatum iuramentum eum poposcit, quo testaretur, et fugam se condonare et nihil in posterum gravius velle in ipsum statuere. Imperator legatum libenter audiit et quamquam esset dominus, iuramento, quod subditus petebat, se obstrinxit. Nec solus ille, verum ante illum complures alicuius emolumenti spe subiectis iuraverunt. Dic amabo per ipsam veritatem, si vel hoc tempore illi ipsi, quorum causa ego istud iuramentum exposco, timore periculi ad aliquem finitimorum barbarorum se conferrent, post mitterent et adiurare imperatorem postularent, reversis nihil inflicturum mali, numquid recusaturum censes? Equidem non censeo. Ergo quod te iudice alias necessitas exprimeret, id in praesens multorum commo-

A.C. 1321 ὃ τοίνυν ἐν ἑτέρῳ χρόνῳ γενήσεται, φαίης ἂν, δι' ἀνάγκην,
γενέσθω κἂν τῷ παρόντι διὰ τὰ συμβησόμενα ἐκ τούτου πολ-
P. 55 λὰ ἀγαθά." ἐπὶ τούτοις λογοθέτης ὁ μέγας τούς τε προτέρους
λόγους ἀναλαβὼν καὶ πλείονας ἑτέρους συνείρας, καὶ παν-
ταχόθεν ἀλυσιτελῆ καὶ ἀδύνατον τὴν αἴτησιν ἀποδείξας, καὶ
πρὸς τὸ γενέσθαι τοιούτων ἄγγελος παντελῶς ἀνανεύσας, ἀπῆλ-
θεν. ἔφασκε δ' ἐν ὑστέροις χρόνοις, εἰρήνης γενομένης, ὁ πρε-
σβύτερος βασιλεὺς, ὡς, εἰ περὶ τῶν ὅρκων αὐτῷ ἀπηγγέλθη, ὀμω-
μόκει τε ἂν καὶ οὐδὲν ἐτολμήθη τῶν τετολμημένων· διὸ καὶ
τὴν αἰτίαν ἅπασαν τοῦ πολέμου εἰς λογοθέτην ἀνετίθει τὸν
μέγαν. τοῖς φίλοις δ' εὐθὺς αὐτῷ παραγενομένοις ἅ τε εἴ-
ρηκε καὶ ὧν ἔτυχεν ἀποκρίσεων διηγησάμενος ὁ νέος βασιλεὺς
B καὶ τέλος τοῦτο ἐπιφθεγξάμενος, „θεοῦ δὲ τίς ἔγνω βουλήν
τε νόον τε;" ἔτι μέχρι τινὸς ἐκέλευε τῇ μεγαλοψυχίᾳ προσ-
καρτερεῖν· „ἡ σήμερον γὰρ ἐκδιδάξει τι τῶν ἀγνοουμένων. προ-
θεσμία γὰρ οὖσα τῆς πρὸς τὸν βασιλέα τοῦ μεγάλου δομεστί-
κου ἀπολογίας, δι' αὐτῆς τῆς ἀπολογίας πρὸς τὸ τί χρὴ βου-
λεύεσθαι καὶ δρᾷν ὁδηγήσει." Οὗτοι μὲν οὖν τοιαῦτα βουλευ-
σάμενοι διελέλυντο. πρὸς δὲ τὸν μέγαν δομέστικον ὁ χθὲς
ἄγγελος ἀφικνεῖται πρὸς βασιλέως, ἀπαιτῶν τὴν ἀπολογίαν.
ἐποιήσατο δὲ τοιαύτην· „ἐμοὶ, κράτιστε βασιλεῦ, τῆς εὐμε-
νείας τῆς σῆς πολλὰς ἔχοντι τὰς ἀποδείξεις, ὥσπερ ἔφην,
V. 45 ἔτι καὶ τὸ νῦν τοῦτο πλείους καὶ μείζους πείθει τὰς χάριτας
C ὁμολογεῖν· ἐπὶ πάσαις δὴ ταύταις καὶ ταύτης αἰτῶ τυχεῖν τῆς

dorum exspectatio impetret." Ubi nepos conticuit, magnus logotheta dicta sua iterans aliaque multa accumulans, omnique ratione postulatum inutile, nec fieri posse demonstrans: praeterea se in ista re nuntium interponere prorsus abnuens, discessit. Pace postmodum constituta, imperatorem avum autumasse ferunt, si de iuramento intellexisset aliquid, iuraturum fuisse, et ita tam audacibus facinoribus supersederi potuisse; hinc et totam belli culpam in magnum logothetam coniiciebat. Mox iunior amicis supervenientibus, quae ipse dixerit, quae logotheta responderit, cum memorasset et ad extremum adiecisset: „Dei mentem consiliumque quis cognovit?" uti adhuc paulisper tolerando viros se praestarent, eos est cohortatus: hodiernum quippe diem docturum, quod hucusque fuisset ignoratum. Nam cum magnus domesticus ad respondendum praestitutus sit, eum ipsa responsione et consilii et actionis ducem fore. Atque hi quidem, hoc deliberato, digressi sunt. Ad magnum vero domesticum hesternus nuntius revertens, responsum ad imperatoris iussa exegit. Respondit in haec verba: Cum propensi eius in se animi documenta complura habeat, ut ante fassus sit, insuper ista provinciae delatione ad gratias uberiores agendas se compelli. Orare tamen, post omnia etiam

εὐεργεσίας, ἐλάττονος οὐδαμῶς ἐμοὶ τῶν ἄλλων νομιζομένης, A.C. 1321
τὸ μὴ πρὸς Πελοπόννησον ἀπελθεῖν· οὐκ ὄκνῳ εἴκων, ἢ τὴν ἀρχὴν ἥττω τῆς ἐμῆς ἀξίας νομίζων, ἀλλ' ὡς ἐκεῖ τοῦ ἐμοῦ πατρὸς τετελευτηκότος, οὐκ ἂν οἴσων τοῖς χωρίοις ἐκείνοις ἐνδιατρίβειν. οἶσθα γὰρ αὐτὸς ἐμοῦ βέλτιον, ὦ βασιλεῦ, ὡς ἔτος ἓν ἐπὶ τοῖς εἴκοσι γεγενημένος τῆς ἡλικίας οὑμὸς πατὴρ, ὅτε παρὰ σοῦ πρὸς τὴν ἀρχὴν ἐξεπέμφθη Πελοποννήσου, ὀκτὼ τοὺς ἐφεξῆς ἐπὶ τούτοις ἐνδιατρίψας, τὸν βίον ἐτελεύτησεν ἐκεῖ· οὗ δὴ χάριν καὶ πρὸς τὴν μνήμην μόνην ἀηδῶς διάκειμαι Πε- D
λοποννήσου, πολλὰ καὶ τῆς μητρὸς πολλάκις πρὸς ἐμὲ διειλεγμένης, ὡς οὐκ ἂν αὐτῇ γένοιτο καθ' ἡδονὴν ἐμὲ τῆς χώρας ἐκείνης, ἣ τοιούτου πατρὸς ἀπέδειξεν ὀρφανὸν, ἄρξαι. διὰ ταῦτα συγγνώμης αἰτῶ τυχεῖν, ἐκεῖ μὴ βουλόμενος ἀπελθεῖν." τοῦτο δ' ἦν σκῆψις, οὐκ ἀληθὴς αἰτία τοῦ τὴν ἀρχὴν τῆς Πέλοπος διωθεῖσθαι. τούτων ἀκούσας ὁ βασιλεὺς καὶ πράως εἰς αὐτὸν ἀποσκώψας, ὡς οὐκ ἀνδρὸς συνετοῦ κεχρημένον λόγοις, οὐδ' ἀνδράσι πρέποντα φόβον πεφοβημένον, διὰ τὴν τοῦ πατρὸς τελευτὴν τὸ χωρίον ὀῤῥωδοῦντα, διὰ τοῦ αὐτοῦ πάλιν ἀντιμηνύει, ὡς, „ἦν μὲν ἂν βέλτιον μηδὲν ἀντιλέγοντα, P. 56
τὸ προσταττόμενον εὐθὺς ἐκπληροῦν. ἐπεὶ δ' ἔστι σοί τις πρόφασις ἐν τῇ Πελοποννήσῳ, οὐκ ἀναγκαία μὲν, ἔστι δ' οὖν ὅμως, ἐκείνης μὲν ἀφείσθης τῆς λειτουργίας, πρὸς Θετταλίαν δὲ ἀπελθεῖν ἐπιτάττω καὶ ταύτης ἐπιτροπεῦσαι, τῶν προσοίκων Κατελάνων ἐπικειμένων αὐτῇ καὶ δεινῶς πιεζόντων,

7. Pro ὀκτὼ τοὺς lego ὀκτὼ χρόνους.

istud sineret impetrari ab se beneficium, quod reliquis neutiquam inferius duceret, ut ne in Peloponnesum mitteretur: non quod ignaviae succumberet, aut praefecturam hanc dignitati suae imparem censeret: sed quod illis in locis versari nequeat, ubi patrem amiserit. Scire enim melius ipso, quo pacto parens eius, unum et viginti natus annos, ab eo Peloponneso praefectus, octo continuis ibidem consumptis, vitam reliquerit. Quo factum deinde, ut Peloponnesi memoriam nunquam sine dolore usurpet. Quin et matrem saepe, ac multum sibi dixisse, permoleste laturam, si ei regioni praeesset, quae ipsum tali patre orbasset. Huic igitur detrectationi suae veniam daret. Sed enim hoc velamentum quoddam erat, non vera causa repudiandae provinciae. His intellectis, imperator molliter hominem castigat, qui imprudenter locutus esset, quique timorem viro minime decorum concepisset, dum propter patris mortem illic obitam a regione abhorreret; perque eundem nuntium ei significat, consultius facturum fuisse, si non repugnanter mandatis statim paruisset. Quia vero excusationem de Peloponneso non quidem necessariam praetexeret, sed tamen praetexeret, se illum eo munere liberatum velle: in Thessaliam autem iubere proficisci, quae vicinorum Catelanorum incursio-

A. C. 1321 καὶ διὰ τοῦτο δεομένην ἐπικουρίας καὶ δεινοῦ καὶ σώφρονος
στρατηγοῦ." ἐπὶ τούτοις ὁ μέγας δομέστικος οὐδὲν ἀντιλέγειν
ἔχων, ὑπεδέξατο μὲν δῆθεν τὴν ἐγχειριζομένην ἀρχήν· πλὴν
ὡς ἑρμαίου τινὸς λαβόμενος τοῦ λόγου τοῦ βασιλέως, ὅτι δὴ
παρὰ Κατελάνων ἣ Θετταλῶν πιέζοιτο, καὶ διὰ τοῦτο συχνῆς
B πρὸς ἐπικουρίαν δεῖται χειρὸς, πάλιν ἀντεμήνυσεν, ὡς πρὸς
Θετταλίαν μὲν ἀπελεύσεται καθὰ προσετάχθη, δέον δὲ σκε-
ψάμενον ἃ λυσιτελεῖν νομίζοι καὶ πρὸς ἄμυναν τῶν πολεμίων
καὶ πρὸς ἀσφάλειαν τῆς ἀρχῆς, ταῦτ' αἰτήσαντα παρὰ βασι-
λέως λαβεῖν· τοῦτο θέμενος ἐπὶ νοῦν, ὡς ἢ πρὸς τὴν δυσχέ-
ρειαν τῶν ζητημάτων ἰλιγγιάσας ὁ βασιλεὺς ἀφέξεται τοῦ
πέμπειν ἐκεῖσε, ἢ, τό γε δεύτερον, πολλοῦ πρὸς τὴν παρα-
σκευὴν τριβομένου χρόνου, ἐξέσται καὶ βασιλεῖ συντυχεῖν τῷ
νέῳ, καὶ περὶ τοῦ τί χρὴ πράττειν συνδιασκέψασθαι, οὕτως
εἰς στενὸν κομιδῇ τῶν πραγμάτων συνωθούντων. τοῦ πρεσβυ-
C τέρου δὲ βασιλέως ἃ βούλοιτο αἰτεῖν κελεύσαντος, καὶ τοῦ με-
γάλου δομεστίκου διὰ γραμμάτων ὧν δέοιτο δηλώσαντος, βα-
σιλεῖ, (ταῦτα δ' ἦν ἀξιόμαχός τε στρατιὰ καὶ χρήματα εἰς
τροφὴν ἀρκέσοντα τοῖς στρατιώταις,) πρὸς οὐδὲ ἓν τῶν ζητη-
μάτων ἀνένευεν ὁ βασιλεὺς, ἀλλ' εὐθὺς ἐκέλευε πάντα πρὸς
πέρας ἀγαγεῖν. ἐπιταχύνοντος δὲ τῷ μεγάλῳ δομεστίκῳ τὴν
ἔξοδον βασιλέως καὶ οὐδ' ἀναπνεῖν ἀνιέντος, ὁ μὲν μετὰ πέμ-
πτην ἡμέραν ὑπέσχετο ἐξελθεῖν· (ἦν δ' αὕτη δευτέρα τῆς παρ'
ἡμῖν μεγάλης ἑβδομάδος ὠνομασμένης·) βασιλεὺς δὲ ἡσύχασεν
D ἀρκεσθείς. τῆς αὐτῆς δὲ ἡμέρας καὶ πρὸς πρωτοστράτορα παρὰ

nibus afflictata, exercitati ac prudentis alicuius ducis auxilio indigeat. Suscepit magnus domesticus provinciam, cum quod opponeret, non haberet. Ceterum ut inopinatum aliquod lucrum imperatoris verba arripiens, dicentis Catelanos incursare Thessaliam, ideo se egere non parva copia vicissim significat, si eo, quemadmodum imperetur, discedendum sit. Oportere autem, quae sibi consideranti tum ad hostes propulsandos, tum ad munus suum tuto fungendum requisita viderentur rogantem, ab imperatore consequi: sic secum ratiocinans, eum aut propter difficultatem petitionis deficiente consilio, missionem istanc missam facturum: aut, quod proximum esset, dum tempus longius in apparatu consumitur, interea iunioris imperatoris conveniendi, et rebus nimiopere fessis, quid agendum sit, cum eo deliberandi facultatem fore. Iussus petere, quae animus hortaretur, per litteras exercitum iustum ac valentem, et pecuniae in alimenta militum quod satis sit, petit. Utrique annuit imperator, et ut quamprimum omnia conficiantur, mandat. Cumque illum ad profectionem urgeret adeo, ut respirare non sineret, magnus domesticus post diem quintum se profecturum recepit: qui dies erat secundus magnae, quae

βασιλέως ἀφῖκτο πρόσταγμα πρὸς τὴν ἐπαρχίαν Πριλλάπου, A.C. 1321 ἧς καὶ πρότερον ἦρχε, πάλιν ἐπιτροπεύσοντα ἀπελθεῖν. ὁ δὲ, τὸ ἐπίταγμα τοῦ βασιλέως ἐπαγγειλάμενος ἐκπληρώσειν, καὶ V. 46 προθεσμίαν αἰτηθεὶς τῆς ἐξόδου, τῆς αὐτῆς μεγάλης ἑβδομάδος ἐπηγγείλατο τὴν ἕκτην. πρὸς μὲν δὴ τὸν πρεσβύτερον τῶν βασιλέων τοιαῦτα εἰπόν τε καὶ ἐπηγγείλαντο.

ιη΄. Εἰς ταὐτὸν δὲ συνελθόντες τῷ νέῳ, καὶ πάντα διη- P. 57 γησάμενοι τὰ συμπεσόντα, οὐκέτι μένειν ἐδόκει, ἀλλὰ παρασκευασαμένους ἐξελθεῖν Βυζαντίου. γράφουσι δὴ καὶ Συργιάννῃ, παρασκευασάμενον ἅμα τῇ ὑπ' αὐτὸν στρατιᾷ τῇ ἑορτῇ τοῦ πάσχα ἐγγὺς εὑρεθῆναι διατρίβοντα Βυζαντίου· τότε γὰρ καὶ αὐτοῖς ἐδέδοκτο ἐξελθεῖν. οὗτοι μὲν οὖν παρεσκευάζοντο πρὸς τὴν ἔξοδον. τῆς μεγάλης δὲ καταλαβούσης B δευτέρας, καθ' ἣν ὁ μέγας δομέστικος τῆς πόλεως ἐπηγγείλατο ἐξελθεῖν, ἠναγκάζετο μὲν παρὰ τῶν εἰς τοῦτο τεταγμένων τὴν ὑπόσχεσιν ἐκπληροῦν· ὁ δ' αἰτίας τινὰς πλασάμενος, τὴν ἔξοδον ἀνεβάλλετο. τῇ δ' ἐπιούσῃ μηνύεται παρὰ βασιλέως ὡς τάχιστα ἐξελθεῖν· ὁ δ' ἀπεκρίνατο μὴ πρότερον δύνασθαι, πρὶν ἂν τὰ χρήματα δοθῇ πρὸς αὐτὸν, οἷς ἂν πρός τε τὸ μισθοφορικὸν χρήσηται τῆς στρατιᾶς καὶ πρὸς τὰς τῶν πολιχνίων τῶν ἐν Θετταλίᾳ φρουράς. εἰ γὰρ τοῦτο γένοιτο, μηδεμίαν ἀναβολὴν ἔτ' εἶναι πρὸς τὸ τειχῶν ἔξω τῶν Βυζαντίων εἰς τὴν ἐπιοῦσαν ὀφθῆναι. τὰ μὲν οὖν χρήματα, C βασιλέως προστάξαντος, αὐθημερὸν παρέσχον οἱ τῶν βασιλι-

13. Post μεγάλης δὲ ED. P. addi vult ἑβδομάδος.

dicitur, hebdomadis: eo imperator contentus siluit. Eadem luce protostrator quoque Prillapum ire, et praefecturam iterum capessere iubetur. Qui obtemperaturum se pollicitus, et quo die proficisci cogitaret interrogatus, sextum eius hebdomadis nominavit. Ac cum seniore quidem imperatore sic egerunt.

18. Cum iuniore autem verba miscentes, quaeque accidissent commemorantes, comparatis necessariis, Byzantio excedere decreverunt. Monent item per litteras Syrgiannem, uti cum suo agmine die paschae, quo die egredi pepigerant, paratus prope Byzantium adsit. Ad egrediendum igitur sese instruebant. Postquam alter dies magnae hebdomadis illuxit, quo magnus domesticus exiturum sese spoponderat, acrius promissa reposcunt, quos huic curae imperator praeposuerat. Ille commentitiis quibusdam causis exitum differt. Sequenti luce, uti moras tollat et exeat, imperatur. Respondet, non ante id posse, quam pecunia sibi in stipendia mercenariorum ac praesidiariorum per oppida Thessaliae praestetur. Id si fiat, citra tergiversationem postridie extra moenia se appariturum. Pecuniam eo ipso die iussu imperatoris, quinquaginta nummum aureorum millia, quaestores numerant. Quam summam accipientes magni domestici quaestores,

fides exercitus erga imperatorem iuniorem adhuc nutaret, et si quid tale audiret, dilaberetur. Ad haec nobiles universusque exercitus responderunt, non se negare, convenienter et ex usu artis imperatoriae dicta esse omnia: late enim patere occidentem orbem, multas et inclitas sustinere urbes, copias habere haud aspernabiles, cum ductoribus fortissimis, levique momento, ut ambo affirmassent, se dediturum. Mirari tamen, quomodo magnus domesticus occidentem sub ditionem subiici facile admodum posse, Constantinopolin autem intrare cum exercitu esse difficile asseveraverit. Cum enim illud prius, ex eius quoque sententia, difficile non sit, hoc suo iudicio multis partibus tamen esse facilius. Et quoniam occidentalem expeditionem apud animum imperatoris velut omnibus suffragiis obtinuisse cernerent, ituros secundum mandata quotquot velint; non tamen aeque alacriter, sed ingratis. Si, quod cuperent, Byzantium peteretur, mira voluptate neminem non secuturum. Quare se illum orare maiorem in modum, iustae ipsorum praesentique statui opportunissimae postulationi obsequeretur. Idem duces aiebant. Imperator videns eorum Constantinopolis invadendae libidinem nihil prorsus languescere, cum cogere non posset, de benevolentia obedientiaque commendatos, qui etiam a quibus abhorrerent, studio sibi ob-

θεντο δρᾶν, τὴν εἰς τὴν Κωνσταντινούπολιν ἐφῆκε πορείαν. A. C. 1321
οἱ δὲ ἄσμενοι δεξάμενοι τὸν λόγον, καὶ μονονουχὶ Βυζαντίου
δόξαντες κεκρατηκέναι, παρεσκευάζοντο πρὸς τὴν πορείαν. ἐπεὶ C
δὲ οὐκ ἠδυνήθησαν τὴν πρὸς Θεσσαλονίκην ἑλέσθαι πεῖσαι
τὴν στρατιὰν, συνεώρων τε ἤδη τῷ πρεσβυτέρῳ βασιλεῖ ἐς
κίνδυνον τὰ πράγματα χωρήσοντα, ἅμα τῷ μεγάλῳ δομεστί-
κῳ ὁ βασιλεὺς ἐβουλεύσαντο τῷ πρεσβυτέρῳ βασιλεῖ διὰ γραμ-
μάτων κρύφα τὴν ἔφοδον αὐτῶν δηλῶσαι. ὅπερ εἰ κατάδηλον
συνηνέχθη γενέσθαι τῇ στρατιᾷ, τάραχον ἂν ἐποίησεν οὐκ
ὀλίγον, ὡς ὑπὸ τῶν σφετέρων ἀρχόντων καταπροδιδομένοις.
γράφει δὴ βασιλεὺς ὁ νέος, τοῦ μεγάλου δομεστίκου τὰ γράμ-
ματα ἐγχαράττοντος, τῷ πάππῳ τοιαῦτα· „ὦ θειότατε βασιλεῦ,
ὥσπερ πολλάκις, καὶ νῦν θεὸν ἐπιμαρτύρομαι τοῖς λεγομένοις,
ὡς οὔτ' αὐτόθι παρὼν ἐμαυτῷ τι σύνοιδα πρὸς σὴν ἔχθραν D
ἐξειργασμένῳ, οὔτ' ἐπὶ τούτοις ἀπέστην ὡς τρόπῳ παντὶ κα-
κώσων τὰ σά· ἀλλ' ἵνα μόνον τὸν ἐπηρτημένον ἐμοὶ κίνδυνον
δυνηθῶ διαφυγεῖν. νυνὶ δὲ τοῦτο μὲν ἐμοὶ περίεστιν ἐν τῷ
ἀσφαλεῖ ὄντι, σὲ δ' ἐκ τοῦ ἐναντίου παρὰ πᾶσαν ἐμὴν βού-
λησιν ὁ κίνδυνος περιέστηκεν. ἰδοὺ γὰρ, πάσῃ χρησάμενος μη-
χανῇ ὥστε τὴν στρατιὰν πρὸς τὴν ἑσπέραν τραπέσθαι πεῖσαι,
ἀδυνάτως ἔσχον. ἀνάγκη δὴ πᾶσα ὑμῖν ἐπελθεῖν. ἐγὼ μὲν
οὖν σχολαίτερον βαδιοῦμαι νοσεῖν πλαττόμενος· εἰσβαλὼν δὲ
πειράσομαι τὴν ταχίστην ἀναχωρεῖν. σοὶ δ' ἐν τοσούτῳ φρον-

10. καταπροδιδομένη coni. ED. P., sed nihil mutandum.

temperandi facere annuissent, Constantinopolin ire permisit. Vocem eius milites gratulabundi excipiunt, et Byzantium tantum non in manibus iam se habere opinantes, iter parant. Ergo quoniam ab exercitu impetrare nequivissent, ut Thessalonicam duci mallet, intelligebantque seniorem imperatorem venire in periculum, ipse et magnus domesticus clam illum per epistolam de hoc adventu admonere decernunt. Id si miles comperisset, tamquam a principibus suis proditus, quas non turbas excitasset? Eam epistolam dictante imperatore iuniore domesticus exarat in haec verba: Ut antehac saepius, sic nunc Deum dictorum testem appello, sacratissime imperator, neque cum illic degerem, facinoris conscium fuisse, tui odio admissi, neque ideo inde abiisse, ut omni ratione detrimenta tibi inveherem: sed ob id solum, ut impendens cervicibus meis discrimen effugerem; quod quidem loco securo constitutus effugi; te contra, me quamvis penitus nolente, discrimen involvit. Ecce enim, cum nihil non tentarim, ut exercitui in occidentem transitum persuaderem, nihil egi. Nos igitur contra te venire necesse est omnino. At ego morbum simulans, lentius castrametabor, et post primum incursum dabo operam, ut citissime recedam. Tibi interea palatium praesidio firmare licebit, portisque urbis quos habes tui studiosissimos

A.C. 1321 ρᾷ τε ἐξέσται ἀσφαλίσασθαι τὰ βασίλεια, καὶ ταῖς τοῦ Βυ-
P. 69 ζαντίου πύλαις τοὺς μάλιστα εὐνουστάτους σοι ἐπιστῆσαι μισθοφόρους, ἔχοντας ὁπλίτας ἱκανοὺς ταῖς τῶν ἐπιβουλευόντων ὁρμαῖς ἀντιστῆναι. κἂν τι μόνον πρὸς τὸ εἰσδέξασθαι ἡμᾶς κώλυμα εὑρεθῇ, ὡς πρὸς ἀδύνατον τὴν ἐπιχείρησιν ἀπάξω τὴν στρατιάν. δέομαι δὴ μὴ τοὺς λόγους ὑποπτεύσαντα ὡς ἐμοῦ διαφερομένου, ἀποῤῥαθυμῆσαι πρὸς τὸ τὴν ἀσφάλειαν ἐξαρτύσασθαι. πέπεισμαι γαρ αὐτὸς ἀκριβῶς ἐκ τῶν αὐτόθι, ὡς ἅμα τῷ φανῆναι εἰσδέξονται ἡμᾶς." Τοιαῦτα μὲν ὁ νέος βασιλεὺς ἐπέστελλε τῷ πάππῳ, τῶν πιστοτάτων οἰκετῶν τινι
B τοῦ μεγάλου δομεστίκου χρησάμενος διακομιστῇ. αὐτὸς δὲ ἄρας ἐξ Ὀδρυσῶν ἅμα πενταχισμυρίοις ἱππεῦσιν ἢ ὀλίγου δέουσιν, ὡς εἰκάζετο, (οὐ γὰρ ἐξῆν ἀκριβῶς τὸν ἀριθμὸν εἰδέναι, οἷα δὴ πολλῶν καὶ τῶν μὴ πρὸς στρατιὰν τεταγμένων συστρατευομένων πρὸς χάριν τῷ βασιλεῖ,) ᾔει τὴν ἐς Βυζάντιον, πυκνὰς καὶ συνεχεῖς τὰς στρατοπεδείας ποιούμενος οἷα δὴ νοσῶν.

C κβ'. Ἐν τούτοις δὲ ἀφικνεῖται πρὸς αὐτὸν καὶ παρὰ
V. 56 Σφεντισθλάβου τοῦ Μυσῶν βασιλέως, ὃς ἦν αὐτῷ κηδεστὴς ἐπὶ Θεοδώρᾳ τῇ ἀδελφῇ, πρέσβις Μαρτῖνος, τριακοσίους ἄγων ἱππέας καταφράκτους Μυσούς, πρόφασιν μὲν ὡς συμμαχήσοντας αὐτῷ ἐπικουρίας δεομένῳ διὰ τὸν πόλεμον τὸν πρὸς τὸν πάππον· ἐπηγγέλλοντό τε, ὡς εἰ δέοιτο καὶ πλείονος στρατιᾶς,

3. Interpres legit ἐπιβαλόντων, quamquam nil mutandum; intelligi enim potest de iis, qui intra urbem quid molirentur. *ED. P.* 12. Forte legendum πενταχισχιλίοις. *ED. P.* ὀλίγῳ legebatur antea.

praeficere; attributis cuique tot mercenariis militibus bene armatis, quot ad retundendam irruentium vim requirentur. Modo ingressui nostro obstet aliquid, continuo exercitum, ut ab urbe inexpugnabili revocabo. Itaque rogo te, ne verba mea, velut abs te alieni suspectans, in tutela apparanda segnior sis. Nam quo animo cives tuos esse audio, simulatque nos oculis usurparint, plane intromissuros credo. Haec nepos avo, quendam de famulis magni domestici fidelissimum adhibens tabellarium. Dehinc ex Odrysis excedens, cum quinquaginta equitum millibus, aut aliquanto paucioribus, ut coniicere licebat, (nec enim ad unguem iniri numerus poterat, quod multi non conscripti, imperatori gratificantes, una militabant,) Byzantium castris quam creberrimis, ac si male valeret, procedere porrexit.

22. Inter haec a Sphentisthlabo Moesorum rege affine suo (propter Theodoram sororem cum eo nuptam) legatus venit Martinus, cum Moesis equitibus cataphractis trecentis, in speciem quidem, ut auxilium adversus avum, si indigeret, laturus: et promittebat, si maioribus copiis opus haberet, regem libenter missurum: sed revera, ut si eum paucitate laborantem inveniret, iniectis manibus ad regem

ἑτοίμως παρέξοντος τοῦ κηδεστοῦ· τῇ δ' ἀληθείᾳ, ὡς, ἂν ἴδωσι A.C.1321 τὸν βασιλέα στρατιᾶς ἀποροῦντα, συλλαβόντας πρὸς αὐτὸν ἀπαγαγεῖν. δῆλον δὲ γέγονεν ἐκ τῶν μετὰ ταῦτα. ἰδὼν γὰρ ὁ Μαρτῖνος τὴν ἑπομένην τῷ βασιλεῖ στρατιὰν, ἀνεχώρησεν εὐθὺς ἐπ' οἴκου. ὁ βασιλεὺς δὲ τὴν ὁδὸν διανύων κατὰ μικρὸν, D τῇ πρὸ τῆς πεντηκοστῆς ἐστρατοπέδευσε παρὰ τὸν Μέλανα ποταμόν. ἐνταῦθα δὴ ἀφικνεῖται πρὸς τὸν νέον βασιλέα Εὐγενία μοναχὴ Παλαιολογίνα, ἡ βασιλέως ἀδελφῆς Μιχαὴλ, τοῦ πρώτου τῶν Παλαιολόγων, παῖς, μεγάλη δομεστίκισσα. διεπρεσβεύετο δὲ παρὰ τοῦ βασιλέως τοιαῦτα· „περὶ μὲν τῶν προγεγενημένων πρὸς ἡμᾶς διαφορῶν ἐκ τίνων ἤρξαντο λέγειν αἰτιῶν, οὐ τοῦ παρόντος εἶναι καιροῦ νομίζω· ἐφ' οἷς δὲ πρότερον ἐπέσταλκας πολλὴν χάριν ὁμολογῶν, καὶ τῆς εἰς ἐμὲ κηδεμονίας καὶ ἀγαθῆς προαιρέσεως ἐπαινῶν, ἔτι μίαν παρὰ σοῦ ταύτην ἀπαιτῶ χάριν, τὴν στρατιὰν αὐτόθι μένουσαν κατασχεῖν, ἄχρις ἂν εἰς ἓν τῶν φροντιστηρίων, ὅπουπερ ἂν ἐθέλῃς αὐτὸς, P.70 καταδὺς τὸν κίνδυνον διαφύγω· ἂν γὰρ ἔτι σε μετὰ τοῦ στρατοπέδου ἅπαραντα πρὸς ἡμᾶς βαδίζειν ἀγγελθῇ, οὐδεμία πρὸς τὸ μὴ διαφθαρήσεσθαι ἡμᾶς ἐλπίς. καίτοι γε οὐδὲν αὐτὸς ἀπέλιπον ὧν ὑπέθου τὸ μὴ οὐ καταπράξασθαι· ἐλέγχονται δ' ἅπαντα σπουδαζόμενα εἰκῇ. ἐμοῦ δ', ὥσπερ ἔφην, ἐν ἀσφαλείᾳ γενομένου τοῦ μὴ ἀποθανεῖν, αὐτὸς ἐλεύσῃ παραληψόμενος τὴν πόλιν. ποία γάρ τις ὄνησις ἐκ τοῦ ἐμὲ ἀποθανεῖν;"
Τούτοις τοῖς λόγοις ἐπὶ μᾶλλον ὁ νέος ἐπικαμφθεὶς βασιλεὺς, καίτοι καὶ πρότερον πάντα καὶ λέγειν καὶ πράττειν ὑπὲρ τοῦ

captivum perduceret. Quod ex eo mox claruit, quia Martinus exercitu imperatorem sequente conspecto, unde venerat, subito se recepit. Parvis itineribus progrediens imperator pridie pentecostes supra Melanem flumen castra posuit. Hic eum Eugenia Palaeologina monacha, e sorore Michaelis primi Palaeologi imperatoris progenita, magna domestica, convenit. Legatio haec complectebatur: De prioribus controversiis inter eos, e quibus causis natae sint, dicere, nihil ad praesens tempus pertinere. Quae nuper scripserit, ob ea avum illi magnas agere gratias, et solicitudinem istam, ac bonam voluntatem laudare. Unam insuper gratiam cupere, ut nimirum tam diu militem ibi detineat, quoad in unum aliquod monasterium a nepote nominatum, periculi declinandi se abdiderit. Nam si e castris eum porro ad urbem viam moliri nuntietur, actum esse de vita sua: tametsi nihil eorum praetermiserit, quae nepos suggesserit: sed ea omnia inani studio comparata fuisse deprehensum iri. Ubi vitam suam loco tuto mandaverit, ipse urbem possessurus ingrediatur. Quid enim ex morte sua emolumenti caperet? Hac oratione magis emollitus iunior, cum antea sponte sua dicere, et facere quidvis cupiisset, ne quid seni

A.C. 1321 *μὴ τὸν βασιλέα καὶ πάππον κακῶς παθεῖν οἴκοθεν ὡρμημένος,* B *πρὸς μὲν τὴν πρεσβείαν ποιουμένην μηδενὶ καταδήλους ἐκέλευε ποιεῖν τοὺς παρὰ βασιλέως λόγους, ὅτι μὴ μόνῳ τῷ μεγάλῳ δομεστίκῳ, αὐτὸς δ' ὡς ἂν οἴηται συμφέρειν οἰκονομήσει τοὺς λόγους. ἐκκλησίαν δὲ κελεύσας γενέσθαι, καὶ τῶν ἐν τέλει πάντων καὶ τῶν λογάδων τῆς στρατιᾶς εἰς ἓν γενομένων, παρελθὼν εἰς μέσους, ἔλεξε τοιάδε· „οὐδένα ὑμῶν οἴομαι ἀγνοεῖν ὡς, διαφορᾶς ἐμοὶ πρὸς τὸν βασιλέα καὶ πάππον γεγενημένης, πολλὰ τὰ μὲν ἐπράχθη, τὰ δὲ καὶ ἐν μελέτῃ ἔτι ἦσαν, ἐμὲ πρὸς ἔσχατον κινδύνου καθιστῶντα. δι' ἅπερ αὐτός τε ἀπέστην οὐ μᾶλλον τοῦ βασιλέως ἢ τοῦ κινδύνου, καὶ ὑμεῖς πάρεστε βοηθήσοντες ἀδικουμένῳ. νυνὶ δὲ* C *ἐμοί τε παρόντος ὃ προὐθέμην ἐξ ἀρχῆς καὶ ὑμῖν, τῆς βοηθείας ὁποίας ἐχρῆν γεγενημένης, ἄν τι περαιτέρω τούτων ζητῶμεν, ἐμοὶ μὲν τὸ ἀδικεῖν, τὸ ἀδικοῦντι δὲ συμπράττειν ὑμῖν ἂν περισταίη· προὐθέμην δὲ ἐξ ἀρχῆς, οὔτ' ἐν πολεμίου μοίρᾳ τὸν πατέρα κατασφάττειν, ἄν περ ἐξῇ, οὔτε τὴν ἀρχὴν ἀφαιρεῖσθαι, ἀλλ' ἐμαυτὸν διασώζοντα τοῦ κινδύνου, μηδὲν ἐκείνῳ* V.57 *τῆς ἀρχῆς ἕνεκα παρενοχλεῖν. τὸ μὲν οὖν τὸν κίνδυνον διαφυγεῖν θεὸς αὐτὸς συναράμενος παρέσχε, τὴν δ' εἰς τὸ ἑξῆς ἀσφάλειαν καὶ εἰρήνην, βασιλέως παρεχομένου, ἀπεωσάμεθα αὐτοὶ κακῶς. μέμνησθε γὰρ δήπου ὡς ἐν Ἀδριανοῦ τοὺς* D *ἐλθόντας ἐκ βασιλέως ἐπὶ τῇ εἰρήνῃ πρέσβεις, στασιάσαντες*

4. Malim *οἰκονομήσειν.* 13. *παρόντες* P. et post *ὑμῖν* nulla interpunctio.

noceretur, legato praecepit, ne cum quoquam, magno dumtaxat domestico excepto, legationem communicaret: se in ea curanda utilitatis rationem habiturum. Edicto igitur conventu, iamque in coetum coactis et primoribus et flore exercitus, in medium progressus, talibus eos dictis affari exorsus est: „Neminem vestrum nescire opinor, quo pacto, inter me avumque meum nato dissidio, multa partim foris committerentur, partim adhuc animo inclusa agitarentur, quae me in extremam miseriam praecipitarent. Quocirca non magis ab avo, quam a praesentibus me periculis seiunxi; et vos confluxistis, ut iniuriosius tractato opitulemini. Modo autem, quandoquidem et ego assecutus sum, quod ab initio constitui, et vos, cum auxilium, quali opus erat, tuleritis: si quid ultra desideramus, id erit, ut ego reponam iniurias, vos reponentem adiuvetis. Sed constitui inde a principio avum nec vita exuere, etiamsi liceret, nec imperio multare: verum memet conservare ipsique de principatu nullum negotium facessere. Periculum, Deo bene propitio, evasi: securitatem autem et pacem in futurum, ab imperatore oblatam, male repulimus. Tenetis enim memoria, quomodo Adrianopoli legatos ab eo de compositione missos, seditione concitata, rebus imperfectis, ne-

ἀπεπέμψατε ἀπράκτους καὶ τὸν περὶ τοῦ ζῆν κίνδυνον ἐπικρε- A.C. 1321
μάσαντες αὐτοῖς· ὃ ἐμοὶ εὐθύς τε ἐδόκει τῶν δεινοτάτων, καὶ ἐς τὴν ὑστεραίαν ἐν ἐκκλησίᾳ γενομένῳ λόγος ἐγένετο πολὺς τήν τε ἀταξίαν καὶ ἀναρχίαν ὡς κακῶν αἰτίαν αἰτιωμένῳ, καὶ περὶ τοῦ μηκέτι τολμᾷν τοιαῦτα παραγγέλλοντι πολλά. αὖθις δὲ ἐπὶ τοῖς αὐτοῖς τὴν ἐμὴν νῦν πέμψαντος θείαν, συγγνώμην τε ἐφ' οἷς ἡμάρτομεν παρεχομένου καὶ διαλλαγὰς αἰτοῦντος, οὔθ' ὅσιον οὔτ' ἀνθρώπων ἐχόντων νοῦν τὴν εἰρήνην ἀπωθεῖσθαι. τριῶν γὰρ ὄντων, ἃ πᾶσι πολέμοις πέρας ἐπάγει, τοῦ τε τὰ οἰκεῖα ἐν ἀσφαλείᾳ θέσθαι τινὰ, καὶ τοῦ τὴν τῶν πολεμούντων ἀρχὴν ὑφ' ἑαυτὸν ποιήσασθαι, καὶ τρίτου, τοῦ αὐ- P. 71
τοὺς τοὺς πολεμοῦντας ἀποκτεῖναι, τὰ δύο μὲν ἡμῖν πάρεστι μετὰ εὐκλείας, τοῦ τρίτου δὲ μήτε τυχεῖν γένοιτο, μήτ' ἐπιθυμῆσαί ποτε. τὸ μὲν γὰρ ἐν ἀσφαλείᾳ εἶναι ὁ θεός τε παρέσχετο καὶ αὐτὸς ὅρκοις πιστώσεται βασιλεύς· ὅπερ εἰ καὶ πρότερον ἡμῖν ἐξῆν, οὐδ' ἂν τὴν ἀρχὴν ὅπλα ἐκινοῦμεν. τὴν Ῥωμαίων δὲ ἡγεμονίαν καὶ ἅμα μὲν τῷ προελθεῖν εἰς φῶς ὁ πατὴρ παρέσχετο καὶ βασιλεὺς, βασιλέα χειροτονήσας· καὶ νῦν δὲ ἀσφαλῶς ἐστιν ἔχειν, πρὸς οὐδένα ἕτερον, ἢ ἐμὲ ἐκ διαδοχῆς πάντως ἐλευσομένην. πολέμιον δὲ οὔθ' ἥγημαί ποτε τὸν ἐμὸν πάππον καὶ βασιλέα, μήθ' οὕτω μανείην ὥστε ἢ νομίσαι ἢ βουλεύσασθαί τι τῶν ἀνηκέστων κατ' αὐτοῦ. οὐ μὴν ἀλλ' B
οὐδὲ ὑμᾶς οἴομαι φιλοῦντας τοιαύτῃ συμφορᾷ περιϊδεῖν ἂν

9. ἃ πᾶσι corr. ED. P. pro ἅπασι.

cem illis intentantes remiseritis. Quod cum illico facinus teterrimum iudicassem, altera luce in concione multa verba feci, confusionemque et effrenatam licentiam vestram, ut malorum istorum causas castigavi: et ne quid amplius eiuscemodi auderetis, severe imperavi. Nunc cum super eodem cognatam meam legaverit, delicti gratiam fecerit, redintegrari concordiam petiverit, neque iustorum, neque prudentium est, pacem aspernari. Tria enim cum sint, quae bellis omnibus finem imponunt: sua in tuto statuisse: hostium opes sibi subiecisse: hostes ipsos perdidisse, duo horum non sine gloria nobis contigerunt: tertium absit, ut unquam nobis adipisci, aut etiam optare contingat. Otium et securitatem Deus concessit, et imperator iureiurando eam confirmabit; quae si prius data fuisset, armis prorsus abstinuissemus. Romanum principatum simul ac in lucem susceptus sum, imperator parens meus mihi, imperatore me creato, destinavit; quem nunc tuto habere licet, hereditaria successione ad alium omnino neminem praeter me perventurum. In hostibus autem neque duxi unquam avum meum: neque adeo insaniverim, ut quippiam in eundem nefandi vel cogitem vel deliberem. Sed neque vos amicos meos aequo animo laturos opinor, tanta eum calamitate circumveniri, ut ego ab omnibus, quos sol videt mortali-

A. C. 1321 ἡδέως περιπεσόντα, ὥστ' ἀλάστορος καὶ πατροφόνου δίκας πᾶσι τοῖς ὑφ' ἥλιον ὀφείλειν. ὅτε τοίνυν τῶν καταλυόντων τοὺς πολέμους τὰ μὲν ἡμῖν περίεστι, τὸ δ' ἐν εὐτυχίας μεγίστῳ μέρει μὴ παρεῖναι καὶ προσέτι πρόσεστιν εὔκλεια τοῖς πραττομένοις, καταθέσθαι τὸν πόλεμον προσήκει. ἔτι δὲ οὐδ' ἂν εὐφρονούντων ἀνθρώπων ἔργον πράξομεν μὴ βουλόμενοι τὸν πόλεμον καταλύειν. εἰ μὲν γὰρ νῦν ἐπελθόντες παραληψόμεθα τὴν πόλιν, πλέον μὲν οὐδὲν ὧν νῦν ἔχομεν ἔχειν ἐξέσται· ἃ δ' ἔχο-
C μεν μετ' εὐκλείας ἅμα καὶ δικαιοσύνης καὶ πατρικῆς εὐχῆς, ἁρπάζειν καὶ ἀδικεῖν καὶ μονονουχὶ πατροκτονεῖν ἔχοντας δοκεῖν, ὃ παραφρονούντων ἢ φρονούντων ἂν εἴη. εἴπερ δὲ οὐ δυνησόμεθα παραλαβεῖν, πρὸς τῷ πᾶσιν ἀνθρώποις μισεῖσθαί τε καὶ διαβάλλεσθαι δικαίως, ὅτι πρὸς εἰρήνην προκαλούμενοι, ἀδικίᾳ καὶ πλεονεξίᾳ γνώμης οὐχ ὑπηκούσαμεν· καὶ πρὸς κινδύνους ἀνοήτους ἑαυτοὺς ὑποβαλοῦμεν, καὶ πολλαῖς πόλεσι καὶ χώραις αἴτιοι καταστησόμεθα κακῶν ἀνηκέστων. τούτων ἕνεκα αὐτός τε ἀσπάζομαι τὴν πρὸς βασιλέα εἰρήνην, καὶ ὑμῖν λυσιτελεῖν νομίζων συμβεβούλευκα. ἔσεσθε γὰρ ἀπειληφότες δόξαν
D ἀνδρίας ἅμα καὶ δικαιοσύνης καὶ σωφροσύνης, ὅπλοις μὲν κρατήσαντες τῶν ἀντιτεταγμένων καὶ τὰς γνώμας παραστησάμενοι, ἀμυνόμενοί τε ὑπὲρ τοῦ δικαίου καὶ οὐκ αὐτοὶ ἀδικοῦντες, καὶ τῷ μὴ ὑπὲρ τὰ μέτρια φρονεῖν μηδὲ ταῖς εὐτυχίαις φυσᾶσθαι τὴν σωφροσύνην ἐπιδεικνύμενοι." Τοιαῦτα τοῦ νέου βασιλέως

11. ἴσως· ὅλως ἀφρονούντων, vel potius ante ἢ potuit esse vocula μᾶλλον. ED. P.

bus, pro conscelerato et parricida condemner. Quando igitur eorum, quae bello sopiendo faciunt, partim quidem penes nos sunt, ad summum autem felicitatis gradum non pervenisse etiam insuper laudem factis affert, ab armis recedere nos convenit. Quod si noluerimus, imprudenter ac stulte facimus. Si enim nunc urbem adoriamur et occupemus, nihilo plus habebimus, quam nunc habemus Quae autem gloriose, iuste, cum paternis votis habemus, ea per rapinas, iniurias et tantum non per parricidium habere existimari velle, hoc vero desipere ac delirare est. Si occupare non poterimus, praeterquam quod in omnium odia calumniasque incurremus, quia ad pacem invitati, improbitate et cupidine irretiti recusaverimus, etiam in discrimina sine ullo fructu nos coniiciemus, multisque urbibus et regionibus cladem pestemque creabimus. His rationibus ego impulsus, pacem cum avo complector, eamque vobis tamquam utilem suadeo: nam a fortitudine, iustitia et moderatione commendabimini, si, cum adversarios armis subegeritis, nunc ipsi animos vestros subigatis, et pro iure propugnetis, non ipsi iniuriam inferatis: vestroque vos pede metientes, nec successibus intumescentes, modeste ac summisse vos geratis. Ubi haec pro pace disputavit imperator, ex-

ὑπὲρ τῆς εἰς βασιλέα εἰρήνης διαλεχθέντος, ὁ μέγας δομέστι- A.C. 1341
κος μετ' αὐτὸν „καὶ δίκαια καὶ συμφέροντα" εἶπε „καὶ πολ-
λῆς αἴτια δόξης ἐσόμενα ἡμῖν εἴρηκας, ὦ βασιλεῦ. διὸ οὐδὲ V. 58
ἀντιλέγειν οὐδένα τῶν πάντων, ὡς οὐχ ᾗ προσῆκεν εἴρηται,
δυνήσεσθαι νομίζω. ἐγὼ γὰρ αὐτὸς εἴ τι συνεώρων εἰρημέ-
νον τῶν μὴ δεόντων, ἀντεῖπον ἄν. ἐπεὶ δ' ἅπαντα εἴρηται κα- P. 72
λῶς καὶ δικαιοσύνης ἐχόμενα καὶ ἐμπειρίας στρατηγικῆς,
οὐδὲν ἔτι τὸ λεῖπον, ἢ εἰς πέρας ἄγειν τὰ βεβουλευμένα."
ἐπὶ τούτοις τῶν ἐν τέλει τινὲς καὶ τῆς στρατιᾶς ἐπ' αὐ-
τὸ τοῦτο πρότερον ὑπό τε βασιλέως καὶ τοῦ μεγάλου παρε-
σκευασμένοι δομεστίκου ὥστε συνειπεῖν τοῖς εἰρησομένοις, τὴν
βουλήν τε ἐπήνεσαν, καὶ τὴν εἰρήνην ὡς αἰτίαν ἐσομένην πολ-
λῶν ἀγαθῶν ἔφασαν δεῖν αἱρεῖσθαι. καὶ Συργιάννου δ' εὐθὺς
καὶ πρωτοστράτορος τοῖς λεγομένοις προσθεμένων, καὶ τὸ πλῆ-
θος ἅπαν ἐπηκολούθησε, καὶ ἐκεκύρωτο ἡ εἰρήνη. εἰ γὰρ καί
τινες ἦσαν ὑπὲρ τοῦ τὸν πρεσβύτερον βασιλέα διαφθαρῆναι
τὸν πόλεμον αἱρούμενοι, ἀλλ' ὥσπερ ὑπὸ ῥεύματος καὶ αὐτοὶ B
συναπηνέχθησαν τοῦ πλήθους.

κγ'. Τούτων οὕτω γεγενημένων, τὴν πρὸς τὴν πρεσβείαν
ἀπεσταλμένην θείαν αὐτοῦ πρὸς Βυζάντιον ἐξέπεμψε βασι-
λεύς, μηνύσας τῷ βασιλεῖ καὶ πάππῳ τοιαῦτα· „ἔδει μέν, ὦ C
κράτιστε βασιλεῦ, μηδὲν τῶν γεγενημένων μηδὲ τὴν ἀρχὴν
κινηθῆναι. ἐγὼ γάρ, ὅπερ πολλάκις εἶπον, τὸν πάντ' ἐφορῶν-
τα μαρτύρομαι ὀφθαλμόν, ὡς οὐδὲν ἐμαυτῷ σύνοιδα, πλὴν εἰ

cipiens magnus domesticus, Et aequa, inquit, et conducibilia, et gloriam non mediocrem nobis conciliatura dixisti, imperator. Quare te ita locutum ut decuit, haud quemquam inficiaturum opinor. Equidem ipse ego, si quid aliter dictum sentirem, id refellerem. Sed quoniam bene, iuste ac pro scientia imperatoria prolata sunt omnia, superest hoc unum, ut quae mentibus probata sunt, opere ipso administrentur. Posthaec nonnulli de proceribus ex exercitu, ad hoc ipsum prius ab imperatore et magno domestico subornati instructique, ut assensu firmarent audita, consilium verbis extulerunt pacemque, ut multarum commoditatum conciliatricem, suscipiendam praedicarunt. Mox Syrgianne et protostratore sententiaesuae eodem aggregantibus, tota agmina secuta sunt, et pax constabilita est. Etsi enim non deessent, qui ad exitium senioris imperatoris militare elegissent, tamen cum multitudine velut impetu quodam fluminis abripiebantur.

23. His ita gestis, consobrinam suam legatione perfunctam Constantinopolim dimisit. Quae autem avo renuntianda dedit, haec fuerunt: Oportebat, imperator optime, nihil prorsus eorum incipere quae incepta sunt. Ego siquidem, quod saepe iam dixi, testem facio illum oculum intuentem omnia, me nullius sceleris, sed levium

A. C. 1321 μὴ μικρά τινα καὶ παιδίοις πρέποντα ἡμαρτηκότι. ἐπεὶ δ' οὕτω συνεχώρησεν ὁ θεὸς τῶν ἐμῶν ἕνεκα πάντως ἀπείρων ἁμαρτημάτων, πάλιν αὐτῷ χάριτας ὁμολογῶ πολλὰς, ὅτι μὴ πρότερον κατέλυσα τὴν ζωὴν, πρὶν ἐπιτηδείου καιροῦ τυχεῖν οὕτως, ὥστε δυνηθῆναι καὶ τὸ ἄδολον τῆς γνώμης καὶ τὴν εἰς σὲ εὐπεί- D θειαν καὶ δουλότητα φανερὰν καταστῆσαι. σὺ μὲν οὖν, ὦ βασιλεῦ, τῆς σῆς μὲν ἀνεψιᾶς, ἐμῆς δὲ θείας, διαπρεσβευομένης, ᾔτησας ὅσα οἶδας. ἐγὼ δ' ἐν ἱκεσίας μέρει παρὰ τοῦ μεγάλου βασιλέως αἰτῶ καὶ θεοῦ, σὲ μὲν ἐπὶ πολλοῖς ἔτεσιν ἐν ζῶσιν εἶναι, καὶ τὴν Ῥωμαίων ἀρχὴν ἰθύνειν, ἐμὲ δὲ οἷα δοῦλον σὸν καὶ υἱὸν, ᾗ κελεύεις αὐτὸς, τὸ προσταττόμενον ἐκπληροῦν· τοῦ χρόνου δὴ προϊόντος, ἃ φίλον ἐστὶ θεῷ, τοιαῦτ' οἰκονομηθῆναι περὶ ἡμᾶς. εἰ μὲν οὖν πρότερος αὐτὸς ἀποστῶ τοῦ ζῆν, ἐπὶ σοὶ τὴν ἀρχὴν κεῖσθαι πᾶσαν, ὥσθ' ἃ σοι δοκεῖ συμφέρειν ποιεῖν· εἰ δ' ἄρα σύ γε πρὸς τὰς αἰωνίους μετακληθήσῃ μονὰς, ἐμοὶ πάλιν τὴν ἡγεμονίαν Ῥωμαίων κα- P. 13 ταλειφθῆναι. ταῦτα μὲν οὖν ὅποι τῷ θεῷ φίλον ἀγέσθω· νυνὶ δὲ ἀνάγκης τε καὶ αἰδοῦς μεριζομένης, ἴσχυσεν ἡ ἀνάγκη, καί τι τῶν μὴ προσηκόντων καὶ ἀπαιδεύτων καὶ λέγειν καὶ πράττειν βιαζομένη. δέον γὰρ καὶ ἡμᾶς αὐτοὺς καὶ πόλεις καὶ χρήματα καὶ ὁμοῦ πάντα σοι ἐγχειρίζειν, δυεῖν ἕνεκα αἰτιῶν ἑτέρως ἠναγκάσμεθα ποιεῖν. ἓν μὲν, ὅτι τὴν μὲν ἐμὴν εἰς τὸ τά σοι φίλα πράττειν προαίρεσιν καὶ τὴν περί σε τιμήν V. 59 τε καὶ αἰδῶ θεός τε οἶδεν ὁ τὰ κεκρυμμένα εἰδὼς, καὶ αὐτὸς,

dumtaxat puciliumque delictorum mihi esse conscium. Quia vero propter innumerabilia peccata mea Deus hoc permisit, rursum ei etiam atque etiam gratias ago, quod non ante vitam finivi, quam tempus idoneum nanciscerer, quo et candorem animi mei, et obediendi studium, ac subiectionem meam tibi declarare possem. Tu igitur, legata ad me amitina tua eademque cognata mea, petivisti quae nosti. Atqui ego a magno imperatore Deo suppliciter contendo, ut in longos annos vitam extendas, imperium Romanum gubernes, et ego instar servi et filii imperata tua exsequar: procedente autem tempore, quae illi placuerint, de nobis constituat: et, si prius obeam, ut in te totum recumbat imperium; quo, quae factu utilia censueris, ea praestes: sin tu ad mansiones illas sempiternas fueris evocatus, ut mihi denuo principatus Romanus relinquatur. Sed ista quidem, ut Deo placitum erit, ita se habeant. Nunc necessitate reverentiaque dissidentibus, necessitas vicit et indecore imperiteque dicere facereque compulit. Cum namque et nos ipsos, et civitates, et pecunias et simul omnia in manus tuas tradere decuisset, duabus de causis secus agere coacti sumus. Una, quod meam tibi gratificandi voluntatem, observantiam, pudorem erga te Deus novit, cui occulta patent, et ipse quoties occasio tulit, evidentibus argumentis haec ostendi.

τῶν πραγμάτων παρασχόντων, ἐναργῆ τὴν ἀπόδειξιν ἐποιη- A.C. 1321 σάμην. πέποιθα μὲν οὖν, ὡς καὶ αὐτὸς διατεθήσῃ τὸν ἴσον τρόπον περὶ ἐμὲ, καὶ τὴν πατρικὴν εὐμένειαν καὶ τὴν φυσι- B κὴν στοργὴν ἄδολον ἐμοὶ τηρήσεις καὶ καθαράν· οὔπω δὲ τὴν ἀπόδειξιν βεβαίαν τῶν πραγμάτων παρασχομένων, οὐδεὶς ἂν καταμέμψαιτο δειλίᾳ κατεχόμενον. δεύτερον δ', ὃ καὶ ἰσχυρότερον τοῦ προτέρου, ἐπειδὴ τοὺς σὺν ἐμοὶ πάντας, τοὺς μὲν ὑπὸ δειλίας, τοὺς δ' ὑπὸ κακοβουλίας, ἔστι δ' οὓς καὶ διὰ τὸ τοῖς κακοῖς χαίρειν, ἑώρων τὸν πόλεμον αἱρουμένους, εἰρήνης δὲ μὴ μέχρις ἄκρων ὤτων ἀνεχομένους, ἠναγκάσθην τι μικρὸν καὶ τοῦ ὄντος καλοῦ καὶ δικαίου παραλιπεῖν, ὡς ἂν ποιήσω πᾶσιν ἀνεκτὴν τὴν εἰρήνην. ἔστι δὲ τοῦτο, τὸ, ἐμὲ μὲν ἐκ Σηλυβρίας ἄχρι καὶ Χριστουπόλεως τῶν μεταξὺ χωρῶν τε καὶ πόλεων καὶ στρατιᾶς, ἔτι δὲ καὶ δημοσίων φόρων τὴν διοί- C κησιν ἔχειν· σὲ δὲ, βασιλεῦ, αὐτῆς τε τῆς Κωνσταντίνου μέχρι Σηλυβρίας καὶ τῶν κατὰ τὴν ἕω τοῖς Ῥωμαίοις ὑπηκόων πόλεων, ἔτι δὲ καὶ νήσων πασῶν καὶ τῶν ἀπὸ Χριστουπόλεως Μακεδονικῶν τε καὶ ἑσπερίων ἐπαρχιῶν ἄχρις Ἐπιδάμνου καὶ Δαλματίας, τῶν ἄκρων ὅρων τῆς Ῥωμαίων ἡγεμονίας. ἐλπίζω δὲ τοῦ χρόνου προϊόντος ἐμέ τε αὐτὸν καὶ ἃ δοκῶ νυνὶ σφετερίζεσθαι ὑπὸ τὴν σὴν ἐξουσίαν παραδώσειν ἀγαγὼν, ἐπειδὴ καὶ νῦν οὐκ ἐκ προαιρέσεως, ἀλλ' ἀνάγκῃ συνωθούμενος, προῆγμαι ποιεῖν." Τοιαῦτα πρὸς τὸν βασιλέα βασιλεὺς ὁ νέ- D ος μηνύσας, ἀπέστειλε καὶ ὅρκους ἐν δυσὶ βιβλίοις ἐγγεγραμ-

Confisus quidem sum, te pari in me animo fore, paternamque propensionem et naturalem illam caritatem erga me sinceram incorruptamque servaturum. Sed cum rerum conditio istaec constanter demonstrandi facultatem tibi nondum obtulerit, nolim idcirco alicuius diffidentiae a quoquam reprehendi. Altera, in qua plus momenti est ac ponderis; postquam de exercitu meo alios timore quodam, alios perversitate, alios, quod alienis incommodis gaudeant, bello se credere animadverti, pacis vero mentionem auribus aversari, ut omnibus eam facerem tolerabilem, ab iusto et honesto paululum declinare necesse habui. Est autem hoc, ut ego a Selybria usque Christopolin locorum interiacentium, oppidorum, militarium copiarum, vectigalium administrationem obtineam: tu a Constantinopoli omnia usque Selybriam, et urbes orientis, quae quidem Romanis parent, praeterea insulas omnes, et a Christopoli Macedonicas atque occidentales provincias usque Epidamnum et Dalmatiam, quae sunt Romani imperii metae ultimae, possideas. In spe sum, me aliquando et memet ipsum et quae nunc mihi vindicare videor, in arbitrium potestatemque tuam traditurum: quandoquidem et istud non sponte, sed necessitati cedens facio. Huiuscemodi responsum iunior seniori imperatori misit, simulque libellos duos, in quibus inscripta iura-

A.C. 1321 μένους, ἐξ ἑκατέρου πρὸς τὸν ἕτερον βασιλέα τὸν μερισμὸν περιέχοντας ὧν ἄρξουσι πόλεων, καὶ τοῖς ὀμωμοσμένοις ἐμμενεῖν ἑκάτερον ἰσχυριζομένους, ὡς ἂν, εἰ ἀρεστὰ δοκοίη ταῦτα κἀκείνῳ, τοῖς ἱεροῖς εὐαγγελίοις τοὺς ὅρκους πιστοὺς ποιήσας καὶ ὑπογραφαῖς τῆς οἰκείας χειρὸς ἐρυθραῖς, πέμψῃ πρὸς αὐτὸν, αὖθις τὰ ἴσα κἀκείνου δράσοντος. ἐπεὶ δὲ ἔδει καὶ τῶν ἐκ τοῦ νέου βασιλέως τινὰ παρεῖναι, τοὺς ἐγγράφους ὅρκους ἀποκομίσοντα, ὁ παρακοιμώμενος Ἀπόκαυχος ἀποστέλλεται παρὰ τοῦ μεγάλου δομεστίκου, τοῦ Συργιάννου πρὸς P. 74 τοῦτο πείσαντος. τῆς μέντοι βασιλέως ἀνεψιᾶς πρὸς βασιλέα εἰς Βυζάντιον ἀφιγμένης, καὶ τούς τε λόγους τοῦ ἐγγόνου καὶ βασιλέως, ἔτι δὲ καὶ τὴν εἰρήνην καὶ ἐφ' οἷς ἐγένετο ἀπαγγειλάσης, πρῶτα μὲν ἔκπληξις εἶχε τὸν βασιλέα, καὶ σχεδὸν ἠπίστει τοῖς λεγομένοις. ἐπεὶ δὲ ἐπείθετο ἀληθῆ εἶναι, ἡδέως τε ἐδέξατο τὴν εἰρήνην, καὶ τῷ ἐγγόνῳ χάριτας ὡμολόγει πολλάς· συναγαγὼν δ' ἐν βασιλείοις εὐθὺς τοὺς ἐν τῇ Κωνσταντίνου εὑρεθέντας ἀρχιερέας, τούς τε ὅρκους ἐπετέλει, καὶ τὸν πρότερον ἐκφωνηθέντα κατὰ τοῦ νέου βασιλέως καὶ τῶν συνόντων διέλυσεν ἀφορισμὸν, βασιλέα πάλιν τὸν ἔγγονον κελεύσας καὶ εἶναι καὶ ὀνομάζεσθαι. μέλλων δ' αὖθις τὴν αὐτὴν ἀνεψιὰν αὐτοῦ πρὸς βασιλέα τὸν νέον πέμπειν ὡς B τοὺς παρ' ἐκείνου ληψομένην ὅρκους, ἀνιώμενος ὅτι μὴ τῶν εὖ γεγονότων τις, ἀλλ' Ἀπόκαυχος ἐπὶ τὸ τοὺς ὅρκους παραλαβεῖν ἀπέσταλτο, ἔφη πρὸς αὐτήν· „Τῆς μὲν εἰς ἐμὲ αἰδοῦς

12. εἰρήνην καὶ ἐφ' οἷς scripsi pro εἰρ. τὴν ἐφ' οἷς.

menta, et urbes, quas alter alteri per partitionem attribueret, continentia, et utrumque iurata praestiturum affirmantia: ut si eadem illi probarentur, adhibitis sacris evangeliis et miniata manus suae subscriptione fide sacramento conciliata, sibi eosdem idem facturo remitteret. Ceterum quia de amicis iunioris imperatoris oportebat esse, qui conscripta iuramenta deportaret, suasu Syrgiannis a magno domestico cubiculi sacri praepositus Apocauchus deligitur. Ubi Byzantium reversa Palaeologina imperatori dicta nepotis et pacem cum conditionibus admissam exposuit, ille primum sic obstupuit, ut quae dicebantur vix crederet. Tamen ut fidem adiunxit, libenter pacem accepit et nepoti gratias non vulgares habuit, statimque episcopis, qui Constantinopoli tum inveniebantur, in palatium accitis, iusiurandum dedit; et nuper in nepotem eiusque factionem pronuntiatam devotionis sententiam retractans, rursus imperatorem et esse et nominari iussit. Eandem porro amitinam iterum ad illum eius adiurandi missurus, dolens non aliquem honestiore loco natum, sed Apocauchum ad iuramentum deferendum venisse, sic eam compellat: Quod nepos meus adeo me veneratur et colit, meaque capsa

καὶ προμηθείας τε καὶ τιμῆς, πολλῶν ἀμοιβὰς ἀγαθῶν εὔχο- A.C. 1321
μαι τῷ βασιλεῖ καὶ ἐμῷ ἐγγόνῳ παρὰ θεοῦ, οὐ μόνον κατὰ
τὸν τῇδε βίον, ἀλλὰ καὶ κατ' ἐκεῖνον τὸν ἀτελεύτητον. ἔτι δέ
μοι καὶ θαυμάζειν ἔπεισι τό, τε μέτριον αὐτῷ τοῦ ἤθους καὶ
τὴν εὐθύτητα τοῦ τρόπου καὶ τὸ πρὸς τὰ καλὰ βεβηκός, ὅτι
νέος ὢν καὶ βασιλεὺς καὶ παρὰ πολὺ τῶν ἀντιπάλων κεκρα- V. 60
τηκώς, ἐξ ὧν εἰκὸς ἦν πρὸς φιλοτιμίαν ἐπαρθῆναι καὶ φυση-
θῆναι καὶ ἢ ἀγνωμονῆσαι περὶ ἡμᾶς, ἤ, τό γε δεύτερον, C
ἅπερ ἠτούμεθα αὐτοὶ ποιήσαντα φανερά, εἶτα ἅπερ ἤθελεν
αὐτὸς χαρίσασθαι, ἵνα θαυμάζοιτο παρὰ πάντων· ὁ δ' ἐποί-
ησε τοιοῦτον οὐδέν, ἀλλὰ τοὺς μὲν ἐμοὺς λόγους διετήρησεν
ἐν ἀδήλῳ, οὐδενὸς ἐγνωκότος ἑτέρου πλὴν τοῦ μεγάλου δομε-
στίκου μόνου· αὐτὸς δὲ τοὺς λόγους συνετῶς ἄγαν καὶ κο-
σμίως οἰκονομήσας, διπλῆν ἡμῖν κατέθετο τὴν χάριν, οὐ
μόνον τό, τῆς Ῥωμαίων ἡγεμονίας πάσης ἤδη πρὸς αὐτὸν κλι-
νούσης, μέρος μέν τι παρακατασχεῖν, τῆς λοιπῆς δ' ἁπάσης
ἡμῖν παραχωρῆσαι, ἀλλὰ καὶ τῷ μηδ' οὕτως εἰς στενὸν κομι-
δῇ τὰ ἡμέτερα ἐληλακότα ἐκπομπεῦσαι θελῆσαι. ἐξ ὧν ἐμὲ D
πεπεῖσθαι σαφῶς συμβαίνει, ὡς οὐδ' ἴχνος καταφρονήσεως
ἐπὶ νοῦν ἦλθεν αὐτῷ ἐνδείξασθαι εἰς ἐμέ, ἀλλὰ τὴν προτέραν
αἰδῶ καὶ εὐλάβειαν ἀποσώζει. ἐκεῖνο δὲ οὐχ ἥκιστα λυπεῖ,
ὅτι μὴ πρὸς τὴν παράληψιν τῶν ὅρκων, πολλῶν τε καὶ ἀγα-
θῶν καὶ τῶν καθ' αἷμα προσηκόντων αὐτῷ συνόντων, τούτων
μὲν ἀπέσταλκεν οὐδένα, τὸν δὲ Ἀπόκαυχον, ἄσημον μὲν ὄντα
καὶ ἐξ ἀσήμων, καὶ οὔπω χθὲς καὶ πρῴην τοῖς τῶν δημοσίων

tam est sollicitus, multa ei vicissim bona non in hac tantum, verum etiam in illa immortali vita a Deo comprecor. Adhaec moderatum eius ingenium probosque mores atque in omni honestate progressus admiror; quod iuvenis et imperator multoque adversariis superior, unde probabile fiebat, arrogantia elatum tumidumque, aut ingratum in nos futurum, aut certe quae nos petebamus evulgatis, deinde quae ipsi collibuissent largiturum, ut sibi plauderetur ab omnibus: nihil horum perpetravit; sed petitionem meam uni magno domestico aperiens, prudenterque ac modeste admodum respondens, duplicem nobis gratiam persolvit; non solum quod Romano imperio iam toto in eum inclinante, partem retinet, reliquum omne nobis cedit; verum etiam, quod rebus nostris tam vehementer laborantibus, nullo fastu insolescit. Ex quo penitus ita sentio, nunquam ei venisse in mentem, vel particulam despicientiae nostri prae se ferre: sed reverentiam ac pietatem antiquam erga nos custodire. Illud tamen maxime cruciat animum, quod cum apud se plures et probos et sanguinis necessitudine coniunctos haberet, per quos iuramentum a nobis reciperet, horum nullum, sed Apocauchum, obscurum ex obscuris natum misit, qui nuperrime exactionum coactoribus scriptum

A. C. 1321 φόρων πράκταις ὑπογραμματεύοντα. καίτοι τὸ δεινότερον ἀφεῖλον, ὡς δή τι θαυμαστὸν λέγων. ὁ γὰρ αὐτὸς ἐμὲ πολλαῖς ὑποσχέσεσιν ἐξαπατήσας, τῶν δημοσίων ἁλῶν ἔφορος ἀπεδείχθη. εἶτα τῶν μὲν ὑποσχέσεων ἐκπεπλήρωκεν οὐδὲν P. 75 ὁμοῦ δὲ πᾶσαν τὴν ἐκ τῶν ἁλῶν πρόσοδον καταφαγὼν, καὶ διὰ τοῦτ' ἐκ πολλῶν ὀλίγα ζητοῦντος ἐμοῦ λαβεῖν, τῷ καιρῷ χρησάμενος, πρὸς τὸν ἐμὸν ἔγγονον ᾤχετο ἀποδράς. τίς οὖν τοῦτον ἰδὼν οὕτω τιμώμενον παρ' αὐτῷ, ὥστε καὶ ἐπὶ τοῖς τοῖς εὐγενεστάτοις προσήκουσιν ἔργοις αὐτῷ χρῆσθαι, οὐκ ἂν ἐξεπίτηδες νομίσαι εἰς ἀνίαν ἐμοὶ παρὰ βασιλέως τοῦ ἐγγόνου συνεσκευάσθαι; εἰ γὰρ καὶ τῷ ὄντι μὴ παρ' ἐκείνου τοιαύτῃ πέπρακται γνώμῃ, ἀλλ' οἱ πολλοὶ οὕτω γε νομιοῦσιν." Ἀποκριναμένης δὲ καὶ αὐτῆς, οὐδ' ἂν αὐτῇ δοκεῖν καταφρονητικῶς παρὰ βασιλέως τοῦ νέου τὸν Ἀπόκαυχον ἀπεστάλθαι· „πολλὰς τῆς εἰς σὲ, βασιλεῦ, αἰδοῦς τε καὶ εὐλαβείας δεδω-B κότος τὰς ἀποδείξεις," ὁ βασιλεὺς τόν τε πρωτασηκρῆτις Βαρδαλὴν καὶ τὸν Καλλικρηνίτην ἅμα σὺν αὐτῇ πρὸς τὸν ἔγγονον ἀποστέλλει. ἀφικομένων δὲ πρὸς αὐτὸν, πρὸς μὲν τοὺς περὶ τοῦ Ἀποκαύχου λόγους ὡς ἐπύθετο τοῦ βασιλέως, „μὴ οὕτω μανείην" ὁ νέος εἴρηκε βασιλεὺς „ὡς ἢ μικρὸν ἢ μέγα ἐπὶ λύπῃ ἢ καταφρονήσει τοῦ ἐμοῦ ποιῆσαι κυρίου καὶ βασιλέως. τὸ γὰρ ὅλως πρὸς αὐτὸν ἁμαρτεῖν ἑκόντα, τῆς ἴσης ἄξιόν ἐστιν αἰτίας παρ' ἐμοὶ κριτῇ, ἄν τε μεῖζον ἄν τ' ἔλαττον ἁμάρτημα ᾖ. Ἀπόκαυχος δὲ οὐχ ὡς πρέσβις, οὐδὲ τῆς εἰρήνης βεβαιωτὴς, (ταῦτα γὰρ τῇ ἐμῇ θείᾳ προσῆκεν,) ἀλλ' ὡς γραμ-

faciebat. Quamquam quasi quiddam singulare dicerem, quod absurdius est omisi. Idem enim Apocauchus cum multis me promissis circumduxisset, mea auctoritate rei salariae praefectus est. Deinde promissa posthabens, cum simul omnes e sale reditus devorasset, et ego idcirco de multis pauca requirerem, occasione usus, ad nepotem meum profugit. Quis igitur hunc hominem tantopere ab illo honoratum cernens, ut in negotiis nobilissimis hominibus deferendis eius opera utatur, non id de industria a nepote ad dolorem mihi inurendum esse comparatum existimet? Et ut istuc hac mente non fecerit, vulgus tamen id arbitrabitur. Respondente Palaeologina, non sibi videri Apocauchum a nepote contemptus gratia legatum: quandoquidem eius tot erga ipsum antea reverentiae et ingenui timoris documenta exstent; imperator protosecretarium Bardalen et Callicreniten cum ea ad nepotem mittit. Qui ubi senis super Apocaucho sermonem audivit, Procul a me sit ista insania, inquit, ut vel parvum vel magnum quippiam ad molestiam contemptumve domini mei et imperatoris designem: in quem scientem peccare, magna omnino culpa tenetur, me iudice, etiamsi peccatum non magnum fuerit. Apocauchus non ut legatus, neque ut pacis confirmator, (haec enim

ματοκομιστὴς ἀπεστάλη μόνον. ἴσμεν δ', ὅτι καὶ μεγάλων ἕνεκα καὶ ἀναγκαιοτάτων πέμποντές τινι γράμματα, καὶ τοῖς φαυλοτάτοις τῶν οἰκετῶν χρώμεθα πρὸς μετακομιδήν. ὅμως εἴ καί τινα ἔχει μέμψιν, παρὰ τοῦ μεγάλου δομεστίκου τὰς εὐθύνας ἀπαιτεῖν, οὐ παρ' ἐμοῦ, προσήκει τὸν βασιλέα· παρ' αὐτοῦ γὰρ ἀπέσταλτο." τοὺς ὅρκους δὲ βεβαιώσας καὶ τοῖς πρέσβεσιν ἐγχειρίσας, χαίροντας ἐξαπέστειλεν. A. C. 1321 C

κδ'. Αὐτὸς δὲ μετὰ τὴν πεντηκοστήν, Ἰουνίου μηνὸς ἱσταμένου, ἀνέζευξεν εἰς Ἀδριανούπολιν· πέμψας δὲ εἰς τὴν Κωνσταντίνου, καὶ τὴν γυναῖκα αὐτοῦ Εἰρήνην ἤγαγε πρὸς ἑαυτόν· ἧς καὶ μετὰ τὴν πρὸς βασιλέα ἄφιξιν παιδίον ἄῤῥεν τεκούσης, μετὰ μῆνας ὀκτὼ τὸ παιδίον ἐτεθνήκει. ὁ βασιλεὺς δὲ τὰς ὑπ' αὐτὸν πόλεις περιϊών, καὶ τῶν αὐτῷ συνόντων τοὺς ἐπιφανεστέρους τιμαῖς τε καὶ δωρεαῖς καὶ ἐπαρχιῶν καὶ πόλεων ἐπιτροπαῖς, τοὺς δ' ἄλλους χρήμασι καὶ ἐτησίοις θεραπεύσας προσόδοις, διέτριψε τὸ θέρος. ἤδη δὲ τοῦ θέρους τελευτῶντος, κατὰ τὰς ἀρχὰς μάλιστα τοῦ Αὐγούστου μηνός, οἱ πρὸς τῇ Κωνσταντίνου τοῦ βασιλέως φίλοι δηλοῦσι διὰ γραμμάτων αὐτῷ, ὡς „ὁ Συργιάννης συμβάσεις πρὸς τὸν σὸν πάππον θέμενος, ἀφίξεται πρὸς αὐτὸν ὅσον οὔπω." βασιλεῖ δ' ἅμα καὶ μεγάλῳ δομεστίκῳ τὰ γράμματα ἀναγνοῦσιν ἐδόκει λυσιτελεῖν πρὸς μὲν τὸ παρὸν ἐν ἀποῤῥήτῳ τὰ μηνυθέντα τηρεῖν· πέμψαντας δὲ πυνθάνεσθαι παρὰ τῶν φίλων, εἰ ὅλως ἀληθῆ τὰ περὶ Συργιάννη μηνυθέντα. σχέτλιον γὰρ ᾤετο καὶ βαρὺ πρὶν ἀκριβῶς τἀληθὲς ἐκμαθεῖν πρᾶξαί τι τῶν οὐ δεόν- V. 61 D P. 76

cognatae meae officia erant,) sed tantummodo ut tabellarius venit. Et constat, nos etiam de magnis rebus maximeque necessariis ad alios scribentes, tabellariis uti solere famulorum abiectissimis. Nihilo minus si quid reprehensionis res habet, non a me, sed a magno domestico par est ut imperator rationem exigat; ab eo quippe missus fuerat. Post iuramento confirmato et legatis tradito, laetos dimisit.

24. Secundum pentecosten, ineunte Iunio, cum exercitu Adrianopolin regressus, Irenen uxorem Constantinopoli adducendam ad se curat. Illa post adventum suum prolem masculam parit, quae post octo menses obiit. Imperator urbes suas invisens, et suorum nobiliores honoribus, muneribus, provinciarum oppidorumque praefecturis, alios pecuniis et annuis pensionibus sibi demerens, in his aestatem consumit: qua praecipiti, initio Augusti mensis, qui erant Constantinopoli amici, per litteras eum docent, Syrgiannem avo foederatum, brevi ad illum profecturum. Epistola perlecta, imperatori et magno domestico visum est faciendum, ut perscripta silentio in praesens tegerent: mitterent autem amicos illos percunctatum, veraene essent, quae de Syrgianne significassent. Veritate enim nondum ex-

A. C. 1321 των ἢ φθέγξασθαι. πέμψας οὖν εὐθὺς ἐπυνθάνετο. οἱ δ' ἔφασαν
B πάνυ τε ἐξητακέναι καὶ σὺν ἀκριβείᾳ μαθεῖν, ὡς μεγάλα βασιλεύς τε καὶ Συργιάννης ἀλλήλοις ἐπαγγειλάμενοι ἐποιήσαντο τὰς συνθήκας· διὸ καὶ σφόδρα περιαλγήσαντες μεμηνυκέναι· „σοὶ δὲ μελήσει τὰ λυσιτελοῦντα καὶ βουλεύεσθαι καὶ πράττειν σαυτῷ." τοιαῦτα περὶ Συργιάννη πυθόμενος ὁ βασιλεὺς, κατ' ἰδίαν μόνον παραλαβὼν „ἠκηκόειν" ἔφη πρὸς αὐτὸν „περὶ σοῦ, ὡς συμβάσεις θέμενος πρὸς τὸν ἐμὸν πάππον καὶ βασιλέα, μέλλεις μεθίστασθαι πρὸς αὐτόν. εἴτε δὲ αὐτὸς τοὺς λόγους ἐποιήσω πρῶτος, ἐλπίσας τι πλεῖον εὑρήσειν, εἴτ' ἐκεῖθεν πολλαῖς ὑποσχέσεσιν ἀπατηθεὶς ἐπείσθης, εἰδέναι σαφῶς οὐκ ἔχω. εἰ μὲν οὖν οὐκ ἀληθῆ τὰ εἰρημένα, αὐτοί τε οἱ εἰπόντες δίκαιοι κατηγορεῖσθαι, ἐγώ τε ἄξιος οὐκ ἐπαίνου τοῖς συκοφάνταις πιστεύσας. εἰ δ', ὅπερ ἔφην, ἢ αὐτός τι πλεονεκτήσειν
C ἐλπίσας, ἢ ἐκεῖθεν πεισθεὶς ὑπήχθης πρὸς τοῦτο, εἰ μὲν ἐθελήσεις τῶν τοιούτων ἀποστῆναι λογισμῶν, ἐμοὶ βουλευομένῳ πεισθεὶς, καὶ τὴν εἰς ἐμὲ πίστιν καὶ φιλίαν ὥσπερ καὶ πρότερον ἄδολον καὶ καθαρὰν τηρεῖν, τῆς αὐτῆς ἧσπερ καὶ πρότερον ἀπολαύσεις παρ' ἐμοὶ καὶ φιλίας καὶ εὐμενείας, οὐδὲν τῶν τοιούτων ὑπολογιζομένῳ ὥσπερ οὐδ' ἂν εἰ μὴ τὴν ἀρχὴν ἐγεγόνει, ἐπεὶ οὐδ' ἑτέρῳ τινὶ πλὴν ἐμοὶ καὶ τῷ μεγάλῳ δομεστίκῳ μόνῳ τὰ τοιαῦτα ἦλθεν εἰς ἀκοάς. εἰ δ' ὡς ἀγνώμονά τινα καὶ πονηρὸν ἐμὲ ἀποτρέπῃ, καὶ τὸ συνεῖναι καὶ

8. συμβιβάσεις coni. ED. P., frustra.

plorate cognita, agere aut loqui quod minus conveniret, grave et inhumanum iudicabant. Illi responderunt, diligenter se inquisivisse, liquidoque didicisse, imperatorem avum et Syrgiannem mira mutuum pollicitos, foedus pepigisse. Id se ex animo dolentes, significatum voluisse: videret quo pacto semet consilio et opera iuvaret. His de Syrgianne intellectis, solum in secretum abducens nepos, sic ait: Renuntiatum est mihi, te societate pacta cum avo meo, ad ipsum transiturum. Tune prior te in eandem insinuaris, sperans maius aliquid inventurum, an ab eo multis pollicitationibus in fraudem illectus sis, haud satis scio. Si vana sunt quae audivi, et qui nuntiarunt merito accusari debent, et ego minime laudandus sum, qui sycophantis fidem commodaverim. Si, ut dicebam, aut plus te consecuturum arbitratus, aut indidem persuasus huc devenisti, et his cogitationibus monitu meo excussis, fidem mihi amoremque pristinum sinceriter ac puriter praestare volueris, aeque ut ante benevolum me et amicum tibi faxo experiare: nec praeterita, perinde ac si nulla fuissent, reputabo; quandoquidem praeter meas magnique domestici, nullius aures tetigerunt. Si vero ut iniquum et nequam me fugis, mecumque vivere ac versari intolerandum putas: sed ab avo divina quaedam bona te adepturum credens, ad illum

συνδιατρίβειν οὐκ ἀνεκτὸν ἡγῇ, ἀλλ' ὑπερφυῆ τινα καὶ μεγάλα A.C. 1321 παρὰ τοῦ ἐμοῦ πάππου καὶ βασιλέως οἰόμενος εὑρήσειν, ὅλῃ D προθέσει προσχωρῆσαι αὐτῷ 'προείλου, ἀνιῶμαι μὲν ἐπὶ τῇ διαστάσει τῇ σῇ, φίλου καὶ συνήθους ἀποστερούμενος· βίαν δὲ οὐκ ἐπάξω, οὐδ' ἄκοντα κατασχεῖν ἐθελήσω, ἐπεὶ οὐδὲ τὴν ἀρχὴν οὔτε πολέμου νόμῳ, οὔτ' ἄλλῃ τινὶ βίᾳ πρὸς τὸ ἐμοὶ δουλεύειν ὑπηγαγόμην, ἀλλ' ἑκοντὶ προσεχώρησας αὐτός, ἑλό- V. 62 μενος ἐμοὶ συνεῖναι καὶ συγκινδυνεύειν, καὶ πᾶν ὁτιοῦν ὑπὲρ ἐμοῦ καὶ ὑφίστασθαι καὶ πράττειν ἐπαγγειλάμενος. ὃ δὴ καὶ καλῶς ποιῶν, ἀληθὲς ἀπέφηνας ἐπὶ τῶν ἔργων. οὐ μὴν οὐδ' αὐτὸς ἀχάριστος οὐδ' ἀμνήμων ἐφάνην τῶν ἀγαθῶν, ἀλλὰ θεοῦ τῇ περὶ τοὺς φίλους προθυμίᾳ καὶ δύναμιν παρασχομένου, τούς τε ἄλλους καὶ σέ, ὥσπερ ἔδει, τιμαῖς τε καὶ δωρεαῖς ἀξίαις τῶν πόνων ἠμειψάμην καὶ τῆς προθυμίας τῆς εἰς P. 77 ἐμέ. ἐπεὶ οὖν ἑκοντὶ προσῆλθες, οὐκ ἀγαθὸν λαθραίως ἀναχωρεῖν, ἀλλ' εἰς φανερὸν συνταξάμενον ἀπιέναι. οἴομαι μὲν οὖν οὐδὲ τὸν ἐμὸν πάππον καὶ βασιλέα πρὸς πόλεμον ἑτοιμαζόμενον, ἐπὶ κακώσει τῶν ἐμῶν πραγμάτων σε προσλαμβάνεσθαι βούλεσθαι, ἀλλὰ τὴν μὲν εἰς ἐμὲ εἰρήνην καὶ τὰς σπονδὰς ὑγιαινούσας τηρεῖν ἐφίεσθαι δ' ἁπλῶς οὕτω καὶ σὲ τελεῖν ὑπ' αὐτόν. καίτοι μοι καὶ τοῦτο λίαν ἔπεισι θαυμάζειν, ὅπως, αὐτῶν τῶν πραγμάτων τῆς εἰς αὐτὸν εὐνοίας ἐμοῦ καὶ εὐπειθείας ἐναργεῖς παρασχομένων τὰς ἀποδείξεις, ὅδε, ὅπερ οὐκ ἄν ποτε ἤλπισα, οὐ φιλοῦντος ἔργον οὐδὲν ἐνδείκνυται εἰς ἐμέ. εἰ δ' ἄρα καὶ πολεμεῖν ἐμοὶ προῄρηται, θεῷ μὲν μελή-

te adiungere deliberatissimum habes, doleo ista discessione tua, cum me amico et familiari privatum videam; vim tamen non intentabo, neque invitum retinebo, quando neque a principio vel lege bellica, vel alia quadam violentia, ut mihi servires, te compuli: verum ultro me secutus, mihi adhaerescere, mecum caput obiectare periculis, meaque causa quidvis facturum passurumque promisisti, idque re ipsa etiam praeclare demonstrasti. Verumtamen nec ego ingratus meritorumque immemor fui. Nam cum Deus ardenti voluntati meae in amicos etiam facultatem tribuisset, cum alios, tum te quoque, ut decebat, donis honoribusque ob laborem ac studium erga me tuum remuneratus sum. Et quoniam volens ac libens mecum te coniunxisti, turpe est clanculum, ac non potius aperte vale dicentem recedere. Neque tamen avum meum bello accinctum, te ad vexandas fortunas meas asciscere; sed pacem ac foedus inviolatum servare et te subesse sibi sine dolo malo velle opinor. Quamquam et hoc mirari satis nequeo, cum factis ipsis benevolae mentis et obedientiae significationes ita luculentas dederim, qui tandem ille, quod nunquam speravi fore, nullo indicio mihi se amicum ostendat. Quod si forte etiam armis

A.C. 1321 σει περὶ ἡμῶν. ἀναμιμνήσκω δέ σε καὶ ὧν αὐτὸς ἐφθέγξω B λόγων, ἡμῶν περὶ τοῦ τί δεῖ πράττειν ἐν Βυζαντίῳ βουλευομένων. σοῦ γὰρ καὶ πρωτοστράτορος περὶ τοῦ βασιλέως ὅσα καὶ αὐτὸς οἶσθα εἰπόντων, ἐμοῦ δὲ τἀναντία βουλευσαμένου, θαυμάσας αὐτὸς „πέποιθα σαφῶς" ἔφης „ἐπὶ θεῷ, ὡς σοῦ τοῦτον τὸν τρόπον περὶ τὸν πάππον καὶ βασιλέα διακειμένου, αὐτὸς ὁ θεὸς πολεμήσει ὑπὲρ ἡμῶν, ἡμᾶς δὲ ἀμερίμνους ποιήσει." σκέψαι τοίνυν ὃ μέλλεις δρᾷν· σοὶ γὰρ ὁ λόγος εἴρηται οὑτοσί." Τοιαῦτα τοῦ βασιλέως εἰπόντος, ἐνίστατο μὲν ὁ Συργιάννης σεσυκοφαντῆσθαι φάσκων, καὶ ὧν κατηγόρηται μηδὲν ἀληθὲς εἶναι· τῷ δὲ μὴ βεβαίας παρέχεσθαι μηδ' ἐναργεῖς C τὰς ἀποδείξεις ὑπὲρ ὧν κατηγορεῖτο, ὑποψίαν οὐ μικρὰν τῷ στοχάζεσθαι τὰ πράγματα παρείχετο δυναμένῳ ἐκ τῶν λόγων, ὡς πονηρὰ σύνοιδεν ἑαυτῷ. τοῦ μέντοι βασιλέως τοὺς αὐτοὺς λόγους πάλιν ἀναλαβόντος, καὶ θάρσους ἐμπλήσαντος, ὡς οὐδὲν ἧττον ἢ πρότερον εὐμενῶς διακείσεται πρὸς αὐτὸν, ἀπῆλθεν. ἐκ μέντοι Βυζαντίου παρὰ τῶν τοῦ νέου βασιλέως ἀγγελίαι ὁσημέραι ἀφικνοῦντο φίλων, τά τε περὶ Συργιάννην πείθουσαι ὡς εἴη ἀληθῆ, καὶ ὅτι βασιλεὺς ὁ πρεσβύτερος τὰ πρὸς τὸν πόλεμον ἐξαρτύεται πάντα, ὡς ἅμα τῷ Συργιάννην ἀφικέσθαι ἀναῤῥαγησομένου. ἄρτι δὲ τοῦ χειμῶνος ἀρχομέ- D νου, Ὀκτωβρίου μηνὸς πέμπτῃ ἱσταμένου, πάλιν ὁ βασιλεὺς ἰδιαζόντως ἔφη πρὸς Συργιάννην „οὐκ οἴομαί σε ὧν πρὸ χρόνου μικροῦ πρός σε διειλέχθην ἐπιλελῆσθαι. ἐκ τότε δ'

mecum decertare apud animum proposuit, nos Deo cordi erimus. Recordare verborum tuorum, cum Byzantii de statu rerum consultaremus. Cum enim tu et protostrator super avo quae meministi elocuti essetis, me longe aliud sentiente, tu hunc animum meum suspiciens, fidere Deo te dicebas, qui, me tam clementer in avum affecto, pro nobis pugnaturus nosque omni cura et sollicitudine liberaturus esset. Quare quid agas dispice; tua quippe causa haec dicta sunt. Simul finem loquendi dedit imperator, Syrgiannes adversari ac se per calumniam delatum totamque accusationem esse commentitiam affirmare. Attamen quod asseverationis huius neque solidas, neque claras probationes adducebat, eum conscientiae labem in animo habere bonus rerum aestimator non leviter suspicari poterat. At Imperatore eadem iterante, ac spem maximam iniiciente, non minus quam antehac sibi carum fore, e conspectu abiit. Byzantio autem quotidiani ab amicis veniebant nuntii, Syrgiannem proditorem esse, et quamprimum ille affuisset, avum in bellum, quod omnimodis iam parasset, erupturum. Hieme appetente, ante diem tertium Nonas Octobres Syrgiannem iunior imperator separatim denuo sic est affatus: In memoria tibi esse autumo, quae nuper tecum egi. Ex eo usque hodie in dies singulos mihi nuntiatur, te

ἄχρι καὶ νῦν ὁσημέραι μοι ἀγγέλλεται περὶ σοῦ, ὡς ἀποστη- A.C. 1321
ναι πρὸς τὸν ἐμὸν πάππον παρασκευάζῃ· οὐ μὴν ἀλλ' ὅτι καὶ
αὐτὸς τὰ πρὸς πόλεμον ἐξαρτύεται, ὡς ἅμα τῷ σὲ παραγενέ-
σθαι πρὸς ἐμὲ πολεμήσων. ὅσοι δ' ἐπιτηδείως ἔχουσιν ἐμοὶ,
καὶ εἶρξαί σε παραινοῦσιν, ὡς ἅμα τῷ σὲ εἰρχθῆναι καὶ τοῦ
πολέμου παυσομένου. ἐγὼ δ' ἃ πρότερον εἰρήκειν καὶ αὖθις
ἐρῶ· ὡς εἰ μὲν τοῖς ἐμοῖς λόγοις πεισθεὶς, τοῦ τοιαῦτα καὶ
βουλεύεσθαι καὶ δρᾷν ἀποστῇς, καλῶς ἂν ἔχοι· εἰ δ' ἀδυνά-
τως ἔχεις μεταβουλεύσασθαι, ἃ βούλει πρᾶττε. ἐγὼ γὰρ οὐ
μόνον οὐχ εἶρξαί σε προθυμοῦμαι, καίτοι πάνυ ῥᾳδίως ἔχων,
ὡς καὶ αὐτὸς φαίης ἂν, ἀλλ' οὐδὲ τῆς ἀρχῆς παραλύσω. P. 78
τούτου δ' ἕνεκά σοι ταῦτα προλέγω, ὡς ἂν εἰδείης ἀπελθὼν,
ὡς οὐ λαθὼν, ἀλλὰ φωραθεὶς ἃ προείλου παρώφθης δρᾷν."
ἐπὶ τούτοις ὁ Συγιάννης συκοφαντεῖσθαι πάλιν ἰσχυρισάμε-
νος, καὶ μηδὲν τοιοῦτον ἑαυτῷ συνειδέναι, τοῦ βασιλέως ἐπι-
τρέψαντος, πρὸς ἃς ἐπετρόπευε τῆς Θρᾴκης πόλεις ἀπῆλθε.
δύο δ' ἐξ αὐτῶν, τὸν Ἄπρων καὶ τὴν Γαρέλλαν, φρουραῖς κα- V. 63
τασχὼν, καὶ τἆλλα ἀσφαλισάμενος ὥστ' ἔχειν πρὸς πολιορ-
κίαν ἀντέχειν, ἀπέστη πρὸς τὸν πρεσβύτερον βασιλέα Νοεμ-
βρίου μηνός. ἅμα δὲ τῷ τοῦτον ἐπιβῆναι Βυζαντίου, καὶ ὁ
τῶν βασιλέων πόλεμος φανερῶς αὖθις ἀνεῤῥιπίζετο. ὁ νέος
γὰρ βασιλεὺς τὴν ὑποτεταγμένην αὐτῷ στρατιὰν ἅπασαν ἐν
βραχεῖ συναθροίσας, τοιοῖσδε πρὸς αὐτοὺς ἐχρήσατο λόγοις· B
„τὸ τῆς εἰρήνης καλὸν καὶ λυσιτελὲς οὐ μόνον τοῖς ἀρχομέ-

defectionem ad avum parturire: nec id tantum, sed ipsum praeterea bellum instruere, quo me, simul ac tu veneris, lacessat. Quotquot vero mihi bene cupiunt, ut te coërceam hortantur: sic enim bellum quieturum; at tu quae antea ex me audivisti, iterum audies. Si, inquam, monitis meis obtemperans, ab his meditandis et agendis abstinueris, bene certe: sin aliam mentem induere non est ut possis, fac quae libido fert: ego enim non modo coërcere te non aveo, tametsi parvo id negotio queam, ut tute confitebere: sed ne praefecturam quidem tibi adimo; ut intelligas non me inscio, sed potius negligente, ea te egisse, quae tibi ante deliberata sunt. Hic Syrgiannes rursum, falso in se tantum crimen conferri, ac nullius esse sibi conscium affirmans, libente imperatore, ad urbes Thraciae, quarum praefectum agebat, discessit, ac duas, Apros videlicet et Garellam, praesidiis impositis, ceteroque apparatu ita communiens, ut obsidionem tolerare valerent, mense Novembri Byzantium venit, moxque bellum inter imperatores de integro et manifesto ardere coepit. Iunior enim brevi copiis suis in unum coactis, sic ad eas concionatus est: Pacis honestas et utilitas non iis tantum, qui reguntur, sed rectoribus etiam ipsis; sicuti et belli calamitates vobis quoque

A.C. 1321 νοις, ἀλλὰ καὶ τοῖς ἄρχουσιν, ὥσπερ αὖ πάλιν τὰ ἐκ τοῦ πολέμου κακὰ καὶ ὑμῖν μὲν πᾶσι καθέστηκε φανερά· ἐγὼ δὲ τῶν ἐμοὶ προσόντων ἰδίᾳ πάντων ἐτιμησάμην ἂν ὥστε μὴ λυθῆναι τὴν εἰρήνην· ἐπεὶ δ' ὁ ἐμὸς πάππος καὶ βασιλεὺς, ὅπερ οὐδ' ἄν ποτε ἐπείσθην πρὶν γενέσθαι, λύσας τὰς πρὸς ἡμᾶς σπονδὰς, πρὸς πόλεμον ἐχώρησε φανερῶς, οὐδεμίαν αἰτίαν ἢ λαβὴν ἡμῶν πρὸς τὸ λῦσαι ταύτας παρασχομένων, ἀλλὰ καὶ ἀκόντων νῦν ὑπ' ἀνάγκης πρὸς τὸν πόλεμον χωρούντων, καὶ ταῖς ψήφοις ἁπάσαις τὴν εἰρήνην αἱρουμένων, οὐδὲν C εἶναί μοι τὸ λεῖπον δοκεῖ, ἢ θεὸν τὸν ἐν ταῖς σπονδαῖς ὅρκιον ἐπικαλεσαμένους κατὰ τῶν ἀδικούντων χωρεῖν, οὐ μᾶλλον τοῦ αὐτοὺς κακοῦν, ἢ τοῦ μὴ αὐτοὶ κακῶς παθεῖν πρόνοιαν ποιουμένους. τὸ γὰρ εἰς τὴν ἡμετέραν περιμένειν ἀμυνομένους ἐπιόντας, οὐκ ἀνανδρίας μόνον, ἀλλὰ καὶ ἀσυνεσίας οὐ πάνυ πόῤῥω δόξειεν ἄν. ἐλπίζω δὲ οὐδὲ θεὸν αὐτὸν, ὃν ἡμεῖς εὐορκοῦμεν, ἡμᾶς ἐγκαταλιπεῖν ἂν, ἀλλὰ συμπαρέσεσθαί τε καὶ ὑπὲρ ἡμῶν ἀμυνεῖσθαι." Τούτων οὕτως ὑπὸ βασιλέως εἰρημένων, ἡ στρατιὰ πάντες ὥσπερ ἀπὸ γλώττης μιᾶς „χάριτας" ἔφησαν „ὁμολογοῦμεν τῷ θεῷ πάντων καὶ βασιλεῖ, D ὅτι οὐκ ἀδίκῳ τινὶ καὶ πλεονεκτικῷ τὸν τρόπον ἑπόμεθα δεσπότῃ, ἀλλὰ μᾶλλον καὶ ἃ πάντες ἂν αὐτῷ συμφαῖεν εἶναι δίκαια ὑπὲρ τῆς πρὸς ὁμοφύλους εἰρήνης προϊεμένῳ. δίκαιος δ' ὢν ὁ θεὸς καὶ δικαιοσύνας ἠγαπηκὼς, ᾗ φησιν ὁ προφήτης, οὔτε σὲ πρὸς τὴν ἀδικίαν ἀντικαθιστάμενον, οὔθ' ἡμᾶς ὑπὲρ τοῦ

23. Psal. 10.

omnibus notae sunt. Ego vero quae privatim possideo, eorum omnium iacturam pacis retinendae gratia haud recusem. Postquam autem avus meus, quod nunquam credidissem, spreto foedere, nullam nobis huius perfidiae causam sive ansam praebentibus ad apertum bellum prosiluit, et nos inviti necessitateque adacti ad arma imus, et omnibus potius suffragiis pacem eligimus, nihil restat aliud, quam ut Deo teste iurisiurandi invocato, periuros invadamus, provideamusque, quomodo non magis ipsis malum demus, quam ut ne ipsi malum aliquod accipiamus. Nam eo usque procrastinare, dum in loca nostra irruant, quasi tum demum vim propulsaturi, id parum abesse non dico ab ignavia, sed etiam ab insipientia videatur. Spe bona sum, Deum ipsum, per quem conceptum sacramentum sancte colimus, affuturum ac pro nobis depugnaturum. Dixit; et velut uno ore totus exercitus, Gratias agimus, exclamat, Deo universorum imperatori, cum non iniusto et avaro militamus domino: sed ei, qui quae omnes iure illum tenere fateantur, propter pacem civilem pro nihilo putet. Cum autem Deus iustus sit et, ut Vates ait, iustitias dilexit, neque te iniustitiae obsistentem, neque nos pro iustitia bellantes despiciet.

δικαίου περιόψεται στρατευομένους. ἡμῶν τοίνυν ἁπάντων A.C. 1321 ὑπὲρ σοῦ κἂν ἐξῇ πολλάκις ἀποθανεῖν ἑτοίμων ὄντων, μηκέτι μέλλωμεν μηδ' ἀναβαλλώμεθα τὸν καιρὸν, ἀλλ' ἐχώμεθα ἔργου θεῷ θαῤῥοῦντες." ἐπὶ τούτοις ὁ βασιλεὺς τῆς εὐνοίας ἕνεκα καὶ τῆς προθυμίας τῆς εἰς αὐτὸν τὰ εἰκότα εὐχαριστήσας, τὸν μὲν κοινὸν διέλυσε σύλλογον, ἰδίᾳ δ' ἅμα δομεστίκῳ τῷ μεγάλῳ καὶ πρωτοστράτορι βουλευσάμενοι περὶ τῶν αὐτῶν, ἐπεὶ καὶ αὐτοῖς ἐδόκει καλῶς ἔχειν τὰ εἰρημένα καὶ οὐδενὸς ἐνδεῖν ἔτι, ἐπεψηφίσαντο καὶ αὐτοί. εἰς τὴν ὑστεραίαν δὲ ὁ P. 79 μὲν πρωτοστράτωρ πρὸς τὴν Ἀδριανοῦ πόλιν ἐχώρει, Ἄνναν τὴν αὐτοῦ θυγατέρα τῷ Ἀσάνῃ Μανουὴλ τῆς τοῦ μεγάλου δομεστίκου γαμετῆς ἀδελφῷ πρὸς γάμον συνάψων.

κέ. Βασιλεὺς δὲ πρὸς τὴν ἐκστρατείαν παρασκευάζεσθαι παραγγείλας τὴν στρατιὰν, ἡτοιμάζετο καὶ αὐτός. τά τε ἄλλα δὲ εὖ θέμενος καὶ ἐν τῷ Διδυμοτείχῳ τήν τε γαμετὴν αὐτοῦ καὶ τὴν Παλαιολογίναν Θεοδώραν, τὴν αὐτοῦ μὲν θείαν, μητέρα B δὲ τοῦ μεγάλου δομεστίκου, ἀντὶ φρουρᾶς ἁπάσης καταλιπὼν, (ἦν γὰρ δὴ καὶ πρὸς διοίκησιν ἔμπειρος πολιτικῶν πραγμάτων, καὶ φρονήσεως ἐῤῥωμενεστέρας ἢ κατὰ φύσιν γυναικείαν τυχοῦσα,) καὶ πᾶσι τοῖς πόλεων ἄρχουσι καὶ διοικηταῖς τῶν πραγμάτων αὐτῇ πείθεσθαι πᾶν ὅτι ἂν κελεύῃ προστά- V. 64 ξας καὶ τῶν περὶ αὐτῶν φροντίδων ἀπολύσας ἑαυτὸν, ἐπεὶ καὶ ἡ στρατιὰ ἡμέραις ὀκτὼ παρεσκεύαστο ὧν ἐδεῖτο, ἄρας ἐκεῖθεν, ἦλθεν ἄχρι Τζουρουλόης. στρατοπεδευσάμενος δ' ἐκεῖ

24. Zonarae, Nicetae, ut al. Τζουρουλὸς dicitur. *ED. P.*

Itaque nobis omnibus pro te, si fieri possit, etiam saepius mori non recusaturis, ne cunctemur diutius, neu tempus teramus, sed Deo nixi, rem aggrediamur. Imperator de tam benevolis animis et incitatis studiis, ut decebat, gratias egit concionemque dimisit: ac seorsum cum magno domestico et protostratore collata sententia, cum et ipsis oratio militum placuisset nihilque desiderari videretur, eam confirmarunt. Die sequenti protostrator Adrianopolim petiit, Annam filiam cum Manuele Asane, fratre uxoris magni domestici, nuptiis coniuncturus.

25. Imperator, iussis militibus ad expeditionem se parare, semet quoque ad eam comparabat, tum reliquis recte compositis, tum in oppido Didymoticho coniuge sua et Theodora Palaeologina, sua quidem cognata, magni autem domestici matre, loco omnis praesidii ac tutelae relictis. Erat siquidem perita Palaeologina gubernandae reipublicae et solidiore prudentia, quam cadat in naturam muliebrem. Eius mandatis omnibus, et urbium magistratus omnes, et rerum administratores parerent cum edixisset, et se curis exonerasset, practereaque exercitus per octiduum rebus necessariis se instruxis-

A.C. 1321 ἔμεινεν ἡμέρας τινάς, τοῦτο μὲν, ὅτι καὶ χειμὼν ἐξαίσιος ἐπεγένετο, ἐπεὶ καὶ χειμῶνος ἦν ὥρα, (κατὰ μῆνα γὰρ ἐστρατο- C πεδεύοντο Δεκέμβριον,) τοῦτο δ', ἵνα καὶ τὸ λεῖπον τῆς στρατιᾶς ἀθροισθῇ· τὸ δ' ἔτι τούτων αἰτιώτερον, ὅτι τῆς κατὰ Θρᾴκην Ἡρακλείας τοῦ νέου βασιλέως πρὸς τὸν πρεσβύτερον ἀποστάσης, ὁ Συργιάννης τὴν Βυζαντίηθεν στρατιὰν παραλαβὼν, ἐνήδρευεν ἐν αὐτῇ. ἔδοξεν οὖν αὐτῆς πρῶτον ἀποπειρᾶσαι. χρόνου δὲ αὐτοῦ τινος τριβομένου, ἔδοξε τοῖς ἐν τέλει πᾶσι καὶ τοῖς ἡγεμόσι τῆς στρατιᾶς συνελθοῦσι, πρεσβείαν ὡς βασιλέα τὸν πρεσβύτερον ἀποστεῖλαι ἐξαιτήσουσαν εἰρήνην· ὃ καὶ τοῦ νέου βασιλέως πυθομένου, ἐπεὶ κατὰ γνώμην αὐτῷ ἦν, πέμπουσί τινα τῶν τῆς στρατιᾶς Καλοχαιρέτην ὠνομασμένον, D τὰ γράμματα ἐγχειρίσαντες· ἐπεὶ διὰ γραμμάτων ἦν ἡ πρεσβεία, αὐτὸς δὲ μόνον διακομιστοῦ τάξιν ἐπεῖχεν. ἐδήλου δὲ τὰ γράμματα τοιαῦτα· „Κράτιστε βασιλεῦ, ἡμεῖς ἄνωθεν ἐκ προγόνων ὄντες Ῥωμαῖοι, καὶ τὴν εὐπραγίαν τῶν Ῥωμαίων οἰκείαν νομίζομεν εὐδαιμονίαν, καὶ τὴν κακοπραγίαν ὡσαύτως ἐν ἰδίᾳ τιθέμεθα δυστυχίᾳ. οὗ δὴ ἕνεκα καὶ τοὺς βασιλέας ἡμῶν ὑμᾶς εὐνοεῖν ἀλλήλοις, ἀλλὰ μὴ πολεμίους εἶναι, ποιούμεθα περὶ πλείστου, ὅπερ ἐστὶν ἀληθὲς ἐννοοῦντες, ὡς ὑμῶν μὲν φιλίως πρὸς ἀλλήλους διακειμένων, καὶ τὰ τῆς ἀρχῆς αὔξάνειν, ἢ, τό γε δεύτερον, μὴ ἐλασσοῦσθαι εἰκός· πολεμίων δὲ ἀλλήλοις ὄντων, οὐ μόνον ὑπὸ τῶν προσοίκων βαρβάρων, ἀλλὰ καὶ ὑφ' ὑμῶν αὐτῶν τὴν ὑμετέραν ἡγεμονίαν καταλυθή-

set, Tzurulum inde profectus, castra fecit et dies aliquot ibi mansit: simul propter frigorum acerbitatem, (hiems enim erat, et mensis December,) simul ut et cetera pars exercitus interea conveniret; quodque maioris utique momenti erat, ut quia Heraclea Thraciae civitas fide rupta ad seniorem defecisset et Syrgiannes cum copiis Byzantio acceptis eam insideret, eius recuperandae periculum prius fieret. Nonnullo tempore illic consumpto, optimates ac duces omnes coëuntes, legationem ad seniorem de pace decreverunt. Re cognita, cum et nepos eo propenderet, gregarium quendam, Calochaereten nomine, cum litteris mittunt: per litteras enim legatio conficiebatur; ipse tabellarii tantummodo locum tenebat. Earum litterarum haec fuit sententia: Nos, imperator optime, inde usque a maioribus Romani, et felicitatem Romanorum beatitatem nostram et miseriam eorundem infortunium nostrum esse opinamur. Quamobrem vos imperatores nostros non ut hostes discordare, sed ut amicos concordare maximopere cupimus: vere cogitantes, concordiam vestram imperii incrementum, aut certe, ut verisimile est, nullum eiusdem detrimentum esse: contra inimicitiis vestris non modo a barbaris finitimis, verum etiam a vobis ipsis principatum vestrum destructum atque eversum iri. Aliquanto igitur antehac suborta dissensione, et

σθαι. πρὸ χρόνου μὲν οὖν τινος τῆς διαφορᾶς κινηθείσης, A.C. 1321
καὶ τοῦ νέου βασιλέως ἐπιστρατεύσαντός σοι, ἅμα τε ἐμνήσθης P. 80
εἰρήνης, καὶ ὁ σὸς ἔγγονος, ὥσπερ ἂν αὐτὸς ὢν ὁ αἰτῶν, καί-
τοι δοκῶν ἐν τῷ πολέμῳ πλεονεκτεῖν, προσεδέξατο ἀσμένως, καὶ
διελέλυτο εὐθύς, ὥσπερ ἂν εἰ μηδὲ τὴν ἀρχὴν ὁ πόλεμος συν-
έστη. ὃ δὴ ἡμῖν τε καὶ τῷ ὑμῶν ὑπηκόῳ παντὶ ἡδονῆς αἴτιον
καὶ εὐθυμίας κατέστη, εὐτυχίας τοῖς Ῥωμαίοις ἀρχὴν τὴν
ἡμέραν ἐκείνην λογισαμένοις. νυνὶ δὲ ὁρῶντές σε τὸν μᾶλλον
ὄντα δίκαιον, εἴ τι καὶ προπετῶς παρὰ τοῦ ἐγγόνου τοῦ σοῦ
ἐπράττετο οἷα νέου, τὸν πόλεμον καταστέλλειν, ἐξ οὐδεμιᾶς
αἰτίας προφανοῦς τάς τε σπονδὰς λελυκότα καὶ πολεμοῦντα
φανερῶς, ἀθυμοῦμέν τε, ὡς εἰκός, καὶ συμφορῶν ἀρχὴν ἡγού- B
μεθα τὴν λύσιν τῶν σπονδῶν. οὗ δὴ ἕνεκα καὶ δεόμεθά σου,
βασιλεῦ, πρὸς αὐτοῦ τοῦ τῶν ὅρκων ἐφόρου θεοῦ, τοῦ καὶ ὄν-
τος εἰρήνης καὶ καλουμένου, τὸν πόλεμον καταθεῖναι, καὶ μὴ
περιϊδεῖν τὸ ὑπήκοον διὰ τὴν ὑμετέραν φιλονεικίαν ἀνηκέστοις
κακοῖς περιπεσόν. εἰ μὲν οὖν πεισθεὶς τοῖς ἡμετέροις λόγοις
τὴν εἰρήνην ἀντὶ τοῦ πολέμου μᾶλλον ἀσπάσῃ καὶ τὴν πρὸς
τὸν ἔγγονον τὸν σὸν ὁμόνοιαν καὶ κοινωνίαν, καὶ αὐτοὶ προθύ-
μους παρέξομεν ἑαυτοὺς καὶ τὰς ψυχὰς αὐτάς, εἰ οἷόν τε,
ὑπὲρ τῶν σοί τε καὶ τῷ ἐγγόνῳ τῷ σῷ συμφερόντων ῥᾳδίως
προϊεμένους. ἂν δ', ὃ μὴ γένοιτο, πονηροῦ τινος βασκήναντος
δαίμονος, τὴν ἡμετέραν μὲν ἀπώσῃ πρεσβείαν, τοῖς δ' ἐνά-

6. Pro ἡμῖν legebatur ὑμῖν et 14. οὗ pro τοῦ ante καί.

nepote in te arma moliente, cum primum pacis mentionem fecisti, illico is, non secus quam si ipse pacem peteret, quamvis armorum potentia antecelleret, petitioni libenter locum dedit, reconciliatus est statim ac si bellum conflatum prorsus nunquam fuisset: id quod nobis vestroque imperio contentis omnibus, diem illum Romanae felicitati auspicatissimum reputantibus, singulari laetitiae fuit. At nunc, cum videamus te, quem aequum erat, si quid etiam temere atque inconsiderate a nepote ob fervorem aetatis gereretur, bellum sedare, nulla de causa manifesta fracto foedere, bellum propalam inferre, animo, ut par est, concidimus, et violationem istam foederis calamitatum exordium fore arbitramur. Quae cum ita sint, te, imperator, per illum ipsum iuramentorum praesidem, qui est et dicitur Deus pacis, obsecramus, uti arma deponas; neve subiectos populos propter discordiam vestram malis teterrimis affligi patiare. Si tu nobis obsecundans, bello repudiato, pacem et cum nepote concordiam communionemque iniveris, vicissim pro utroque vestrum, si occasio fuerit, impigre nos ipsos trademus, et animas nostras haud gravate letho offeremus. Sin, quod Deus averruncet, malo daemone invidente, quae petimus aspernatus, improbis impellentibus et in af-

A.C. 1321 γουσι πονηροῖς καὶ χαίρουσι τοῖς κακοῖς πρὸς τὸν πόλεμον
πεισθῇς, τὸν πάντ' ἐφορῶντα θεὸν καὶ τοῖς πραττομένοις πᾶ-
σιν ἐπάγοντα δίκην ὄμνυμέν σοι, ὡς ἢ πεσούμεθα μαχόμενοι
πάντες, ἢ ποιήσομεν καταφανὲς ἔργοις αὐτοῖς, ὡς δίκαιοι ἦμεν
V. 65 περὶ εἰρήνης πρεσβεύοντες εἰσακούεσθαι. τότε γὰρ αὐτὸς πρε-
σβεύσεις πρὸς ἡμᾶς, ὅτε εἰ μηδὲ τὴν ἀρχὴν ἐκίνεις πρὸς ἡμᾶς
τὸν πόλεμον βέλτιον κρινεῖς. ἔτι δὲ μὴν μήτ' οἴκοθεν αὐτὸς,
D μήτε παρ' ἑτέρων ἀκούων πεισθῇς, ὡς ἢ δώροις καὶ ὑποσχέ-
σεσιν ἢ ἐκπλήξει τε καὶ δειλίᾳ ἢ ἑτέρῳ τινὶ τρόπῳ ἢ περι-
νοίᾳ τινὰς ἡμῶν παρασπάσαι καὶ τοῦ νέου βασιλέως ἀποστῆ-
σαι δυνήσῃ. αὐτοὶ γὰρ ἡμεῖς ἀρὰς ἠρασάμεθα καθ' ἑαυτῶν
τὰς παλαμναιοτάτας, ἦ μὴν ἐμμενεῖν τοῖς ὀμωμοσμένοις ἄχρι
θανάτου καὶ μὴ ἀποστήσεσθαι τοῦ νέου βασιλέως, ἢ τὸν
τοῦτο δράσοντα ἐνέχεσθαι ταῖς ἀραῖς. ὡς οὖν οὕτω γνώμης
ἡμῶν ἐχόντων, καὶ αὐτόν σε καὶ βούλεσθαι καὶ πράττειν τὰ
δέοντα παρακαλοῦμεν καὶ μὴ ταῖς μὴ οὔσαις ὑπονοίαις ἐξαπα-
τηθέντα πρᾶξαί τι τῶν ἐν ὑστέρῳ μετάμελον παρασχησόν-
των." Τοιαῦτα πρὸς βασιλέα τὸν πρεσβύτερον οἱ τῆς συγ-
P. 81 κλήτου πάντες καὶ οἱ τῆς στρατιᾶς ἡγεμόνες ἐγγράφως δια-
πρεσβευσάμενοι, εἶτα καὶ ὑπογραφαῖς οἰκείαις ἵν' ᾖ πιστὸν
ἐπιβεβαιώσαντες τὸ γράμμα, καὶ ἐγχειρίσαντες τῷ εἰρημένῳ
Καλοχαιρέτῃ, πέμπουσιν εἰς Βυζάντιον πρὸς βασιλέα. ἀφικο-
μένου πρὸς τὰ βασίλεια δ' αὐτοῦ, θροῦς ἤρθη παρὰ πάντων
καὶ βοὴ συμμιγής, ὡς Παλαιολόγος ὁ τοῦ βασιλέως ἔγγονος

flicta aliorum fortuna exsultantibus aurem commodans, ad arma descenderis, per omnia contemplantem et actiones hominum diiudicantem Deum iuratum esto, nos aut in proelio omnes pugnando occubituros, aut factis ipsis declaraturos, dignos fuisse, qui pacem rogitantes exaudiremur. Tum tu ipse ad nos legatos mittes, quando praestitisse iudicabis, si bello a principio abstinuisses. At hoc neque per te ipse, neque aliis narrantibus animum inducas credere, aut donis ac promissis, aut terrore ac timore, aut callida fraude, aut alia quadam via quosdam de nobis posse te a nepote tuo ad tuas partes pellicere. Malam enim pestem capitibus nostris imprecati sumus, ni, quae iuravimus, usque ad extremum spiritum servemus, et ab iuniore imperatore stemus, ac ut qui secus aget imprecationibus obligatus teneatur. Itaque cum hi sint nostri sensus, precamur, ut ipse quoque tum consulendo, tum faciendo praestes, quae officio tuo respondent: et ne inani suspicione delusus committas, cuius te in futurum poeniteat. Haec per epistolam a seniore imperatore procerum senatus omnis et duces petiverunt; quoque maior fides fieret, manu sua quisque subscripserunt, eamque Calochaeretae, quem diximus, Byzantium ferendam tradiderunt. Eo aulam introgresso, tumultus et dissonus clamor exsistere ab aulicis omnibus:

(οὐ γὰρ ἠξίουν αὖθις αὐτὸν βασιλέα καλεῖν,) πρὸς βασιλέα A.C. 1321 πέμψας πρεσβείαν, συγγνώμης δεῖται τυχεῖν, ἀλλ᾽ οὐκ ἂν τύχοι, εἰ μὴ αὐτὸς ἑαυτὸν ἀποδείξας δεσμώτην, πρὸς τοὺς πόδας ῥίψειε βασιλέως· οὕτω γὰρ ἂν μόλις τυχεῖν. ὁ βασιλεὺς δ᾽ ἥτις ἦν ἡ αἰτία πυθόμενος τοῦ θορύβου, τοῖς μὲν ἀτάκτοις καὶ B κεκραγόσιν ἐπέταττε σιγᾶν, τῷ δὲ Καλοχαιρέτῃ μηνύει, ὡς ἀναγκαίων τινῶν πέρι ἀσχολουμένῳ, ἐπεὶ μὴ καιρὸν εἶναι συντυχεῖν αὐτῷ, τὰ τοῦ ἐγγόνου γράμματα ἀποστεῖλαι. ὁ δ᾽ ἀπεκρίνατο, ἑτέρῳ μηδενὶ ἂν τὰ γράμματα ἐγχειρίσαι εἰ μὴ αὐτῷ βασιλεῖ· οὕτω γὰρ εἶναι προστεταγμένον αὐτῷ.

κϛʹ. Ἠσχολεῖτο δ᾽ ὁ βασιλεὺς κατ᾽ ἐκεῖνο καιροῦ, ὅπως τὸν μὲν υἱὸν αὐτοῦ Κωνσταντῖνον τὸν δεσπότην τριήρεσι μακραῖς πρὸς ἑσπέραν ἐκπέμψῃ, Θεσσαλονίκης καὶ τῶν ἄλλων C ἑσπερίων πόλεων ἐπιτροπεύσοντα, βασιλίδα δὲ τὴν Μιχαὴλ μὲν τοῦ βασιλέως γαμετὴν, Ἀνδρονίκου δὲ τοῦ νέου μητέρα, ἐκεῖθεν εἰς Βυζάντιον ἀναγάγῃ. ὃ δὲ καὶ γεγονὸς κατὰ τὸ ἐπίταγμα βασιλέως, ἐλύπησεν οὐ μετρίως τὸν υἱὸν αὐτῆς Ἀνδρόνικον τὸν βασιλέα, βίᾳ τὴν μητέρα ἑλκυσθεῖσαν ἀκηκοότα. ὡς γὰρ ἡ βασιλὶς τὴν αἰτίαν ἐπύθετο, δι᾽ ἣν ὁ δεσπότης ἀφῖκτο, καὶ ἡ κυρία παρῆν, ἐν ᾗ πρὸς τὸν πλοῦν ἔδει καλεῖσθαι, εἰσελθοῦσα τὸν ἱερὸν καὶ τῇ τῆς θεομήτορος εἰκόνι προσφῦσα, οὐδ᾽ ἂν εἴ τι γένοιτο μεθήσειν ἔφασκεν. ὁ δεσπότης δὲ ἐλθὼν, πρῶτα μὲν λόγοις ἐπεχείρει πείθειν· ὡς D

Palaeologum nepotem (iterum enim dedignabantur imperatorem nominare) per legatum ab avo veniam petere, quam non sit consecuturus, nisi semet vinctum sistens, ad pedes se imperatoris proiiciat: quinetiam hoc modo vix consecuturum. Imperator, causa strepitus percepta, turbantibus et clamantibus silentium indicit. Tum mittit, qui Calochaeretae significet, quoniam sibi necessariis negotiis impedito otium ad collocutionem non suppeditet, velle nepotis litteras videre. Ille nulli mortalium eas praeterquam ipsi imperatori, quemadmodum in mandatis haberet, in manus redditurum refert.

26. Per id tempus imperator in eam curam et cogitationem incumbebat, ut filium Constantinum despotam navibus longis in occidentem mitteret, praetorem Thessalonicae reliquarumque urbium; et ut is imperatricem, Michaelis imperatoris coniugem, minoris Andronici matrem, Thessalonica Constantinopolin reducendam curaret. Qua re pro desiderio senis administrata, Andronicus mirifice indoluit: quippe qui parentem suam fuisse vi abstractam audierat. Nam perspecto quo gratia despota venisset, et praesente iam praestituto die, quo navim conscendere deberet, ad templum confugiens, et Deiparae simulacro affusa, etiamsi quid se fieret, non id dimissuram asserebat. At despota accedens, primum bonis verbis ut discedat efficere nititur: ubi frustra fuit, manus in eam violentas iniicit. Cum

A.C. 1321 δ' οὐκ ἔπειθεν, ἐβιάζετο καὶ χερσίν. ὡς δ' ἤνυε καὶ οὕτως οὐδὲν, τῷ μεγάλῳ παπίᾳ Παλαιολόγῳ καὶ τῷ πρωταλλαγάτορι Σεναχηρεὶμ καὶ Ἰωάννῃ Ζαρίδῃ τὸν ἑλκυσμὸν ἐπέτρεπε τῆς βασιλίδος. οἳ δὴ καὶ βίᾳ τῆς εἰκόνος ἀποσπάσαντες εἰς θάλασσάν τε καταγαγόντες, ἐπέτρεψαν τοῖς τριηράρχαις ἀχθησομένην ὡς βασιλέα. ἐδόκει μὲν οὖν τῷ τῆς βασιλίδος
V.66 υἱῷ βασιλεῖ τῷ νέῳ καὶ τοῦτο δεινὸν, τὸ καὶ αὐτὸν δεσπότην χεῖρα βιαίαν ἐπενεγκεῖν τῇ μητρί. εἰ γὰρ καὶ ἀδελφοῦ γαμετὴ, ἀλλὰ τῷ βασιλικῷ νόμῳ καὶ δεσπότις ἦν αὐτοῦ· τὸ δὲ καὶ ἑτέροις ἐπιτρέψαι τὸ ἔργον οὐδενὸς ἐνομίσθη δεύτερον εἰς ὕβρεως ὑπερβολήν. ἀλλὰ ταῦτα μὲν ὕστερον. βασιλεὺς δ'
P.82 ὁ πρεσβύτερος ὡς ἀπηλλάγη τῶν περὶ τῆς ἑσπέρας φροντίδων, τὸν Καλοχαιρέτην μεταπεμψάμενος, ἐζήτει τε τὰ γράμματα τοῦ ἐγγόνου καὶ εἴ τι διὰ στόματος ἔχει λέγειν, ἐκέλευεν ἀπαγγέλλειν. ὁ δ' ἔλεγε μήτε γράμματα μήτε λόγους τοῦ νέου βασιλέως κομίζειν, ἀλλὰ τῶν αὐτῷ συνόντων συγκλητικῶν καὶ τῶν ἄλλων ἡγεμόνων τῆς στρατιᾶς· ἐπεδίδου δὲ ἅμα καὶ τὸ βιβλίον. διελθὼν δὲ ὁ βασιλεὺς τὰ ἐγγεγραμμένα, καὶ ἅμα καὶ τὰς ὑπογραφὰς ἰδὼν, „ἐκεῖνοι μὲν" εἶπεν „ἀπειλοῦσιν ἐμοὶ ὅσα δὴ βούλονται, ἐγὼ δ' ἀνθ' ὧν τολμῶσι δίκας τίσουσί φημι τὰς ἐσχάτας." „οὐκ ἀπειλοῦσιν," εἶπεν „ὦ βασιλεῦ,"
B ὁ Καλοχαιρέτης „ἀλλὰ δέονται πρῶτον· ἂν δ' ἐφ' οἷς ἱκετεύουσι μὴ εἰσακούωνται, τὰ μέλλοντα συμβήσεσθαι ἀπαγγέλλου-

2. Al. παππίας dicitur. *ED. P.* MS. interpr. πρωταλογάτωρ, qui erat praefectus alogii, sed hic noster constanter ubique habet πρωταλλαγάτωρ; qui nullus alius est, quam is quem hodie vocamus *General des postes. ED. P.* 3. Ita MS. pro Σενναχηρίμ. *ED. P.*

sic quoque actum ageret, magno papiae Palaeologo, protallagatori Senacherim et Ioanni Zaridae negotium dat. Illi per vim abstractam ad littus deducunt, trierarchis ad imperatorem deportandam credunt. Visum hoc etiam iuniori imperatori immane facinus, despotam ipsum manus attulisse matri suae, eidemque uxori fratris eius, et imperiali lege etiam dominae ipsius. Quod autem aliis insuper avellendam commisisset, id vero longe contumeliosissime factum censuit. Sed haec postea evenerunt. Perfunctus sollicitudine de occidente senior, Calochaereten accersit; nepotis litteras requirit; si quid coram velit, loquendi copiam dat. Ille se nec litteras, nec verba nepotis afferre; sed qui cum eo essent, nobilium ac ducum exercitus. Quo dicto libellum porrexit. Eo perlecto visisque subscriptionibus: Isti, inquit, minas mihi proponunt pro arbitratu: at ego ipsos, si quid tentaverint, poenas acerbissimas persoluturos aio. Immo, occurrit Calochaeretes, minas non proponunt; sed primum rogant: si precibus nihil obtinuerint, consecutura denuntiant. Quod ad me at-

σι. καὶ ἐγὼ δὲ αὐτὸς καὶ δέομαί σου καὶ συμβουλεύω, κράτι- A.C. 1321 στε βασιλεῦ, μὴ περιϊδεῖν αὐτῶν τὴν ἱκετείαν· ἀλλ' ἀσπάσασθαι τὴν εἰρήνην, οὐ μόνον τῷ ὑπηκόῳ λυσιτελοῦσαν, ἀλλὰ καὶ σοὶ, καὶ μὴ παρὰ πάντων κακῶς ἀκούειν τὰ μέγιστα συναιρομένην. ὅτε γὰρ ὁ σὸς ἔγγονος βασιλεὺς ὁ νέος σου τὸ πρῶτον ἀποστὰς εἰς Ἀδριανούπολιν ἀφῖκτο, οἱ μὲν αὐτῷ τὰς αἰτίας ἀνετίθεσαν τῆς ἀποστασίας, ἕτεροι δὲ σοί· καὶ ἦν τοῖς ἀνθρώποις ἀμφίβολος ἡ περὶ τούτων γνῶσις. ὡς δ' ἐπιστρατεύσαντος ἐκείνου, σύ τε ἐμνήσθης εἰρήνης, ἐκεῖνός τε ἄσμενος προσεδέχετο μηδὲν μελλήσας, καὶ ἐγεγέννηντο αἱ σπονδαὶ, πάντες μὲν ἐπῄνεσαν ὑμᾶς τῆς τε εὐβουλίας καὶ τῆς πρὸς τὰ βελτίω μεταβολῆς· ἑορτῆς δὲ ἡμέραν ἦγον τὴν ἡμέραν ἐκείνην, τῶν ἐκ τοῦ ἐμφυλίου κακῶν πολέμου νομίσαντες ἀπηλλά- C χθαι. νῦν δ' ὅτε βασιλεὺς ὁ σὸς ἔγγονος τὴν ἀποτεταγμένην αὐτῷ τῆς ἀρχῆς μοῖραν περιϊὼν, τήν τε στρατιὰν ἠξίωσε προνοίας οὐ τῆς τυχούσης, καὶ τὰ πεπονηκότα τῷ χρόνῳ τείχη τῶν πόλεων ἐπέταξεν ἀνακτᾶσθαι, καὶ τῆς πολιτικῆς εὐνομίας καὶ τῆς ὅλης τῶν πραγμάτων ἐπιδόσεως, ὅσον ἐξῆν, ἐπεμελήθη, αὖθις ἐξαίφνης ὁ πόλεμος ἀνεῤῥάγη, μηδεμίαν μήτ' ἐκείνου μήτε τῶν συνόντων αἰτίαν παρασχομένων. ὥστ' ἐκείνῳ μὲν συμβήσεται καὶ ἐπὶ τοῖς προτέροις αἰτίας πάσης ἀπολελύσθαι, καὶ τῶν νῦν ἕνεκα ἐπαινεῖσθαι ὡς ἀμυνομένῳ καὶ D οὐ κατάρχοντι πολέμου, καὶ τὴν παρὰ πάντων εὔνοιαν καρ-

tinet, ego quoque hortari te obtestarique non dubito, imperator optime, uti eorum supplicationem ne despicias, pacemque non populis modo tuis, verum tibimet nihilo minus profuturam, et nomen tuum apud omnes a dedecore et infamia plurimum defensuram ambabus amplectaris. Etenim ubi nepos te deserto Adrianópolin venit, pars huius defectionis causas in illum, pars in te conferebant: nec certa cognitione res tenebatur. Post cum arma contra te sumpsisset, tuque pacem obtulisses, et ille citra cunctationem accepisset, foedusque sancitum esset, omnes consilii vestri prudentiam et conversas ad meliora voluntates collaudantes, diem illum festum exegerunt, sese malis omnibus ex civili bello emergentibus levatos existimantes. Nunc vero, quando nepos imperii sui partem lustravit, exercitui perdiligenter providit, moenia oppidorum vetustate laborantia ac fatiscentia refici et instaurari iussit, ad firmandam rei publicae disciplinam, ad universam eius amplificationem atque incrementum, quantum in se fuit, operae contulit, rursus et repente bellum, nulla, vel ipsius, vel ipsi studentium, culpa exsuscitatum est. Quare is qua superiora, omni crimine absolvetur: qua recentiora, laudem adipiscetur, ut qui bellum non prior inferat, sed illatum repellat; omniumque sibi animos conciliabit, qui cum iniuriose tractato una dolebunt: tu contra universorum sententiis ut et antea, sic nunc pro iniurioso

A. C. 1321 ποῦσθαι ὡς ἀδικουμένῳ συναλγούντων· σὲ δ' ἁπάσαις ψήφοις καὶ νῦν καὶ πρότερον ἁλίσκεσθαι ἀδικοῦντα. ἐννόησον οὖν ἡλίκη τῶν συμβησομένων κακῶν καὶ πρὸς θεοῦ τίσις καὶ πρὸς ἀνθρώπων ἕψεται μέμψις. διὸ δὴ καὶ αὖθίς σου δέομαι, βασιλεῦ, καὶ τῶν ὑπηκόων ἔλεον σχόντα καὶ τοῦ βασιλέως τε καὶ παιδὸς καὶ αὐτοῦ δὲ σοῦ, οὕτω παρὰ Ῥωμαίοις πᾶσιν ἐπαινουμένου καὶ ὥς τινος τῶν κρειττόνων θαυμαζομένου, τὸν πόλεμον καταλῦσαι, προσδεξάμενον τὴν εἰρήνην· καὶ μὴ πε- P. 83 ριϊδεῖν τὸ μὲν ὑπήκοον ὑπὸ τοῦ πολέμου διαφθαρὲν, τὸν δὲ σὸν ἔγγονον καὶ βασιλέα ἢ νικήσαντα πάσης ἥττης αἰσχίω νικῆσαι νίκην, (πατέρα γὰρ νικήσει,) ἢ ἡττηθέντα ἀδίκως τε ὁμοῦ καὶ παρὰ πατρὸς ἀποθανεῖν, τό, τε σὸν ὄνομα τὸ παρὰ πάντων ᾀδόμενον σὺν εὐφημίᾳ, διαβαλλόμενον ἐξ ἀντιστρόφου." Τοιαῦτα εἰπὼν ὁ Καλοχαιρέτης, καὶ πρὸς τὰς ἐκ βασιλέως καὶ τῶν παρόντων πεύσεις καὶ ἀντιθέσεις συνετῶς ἄγαν τὰς ἀποκρίσεις ἀνθυπενεγκὼν, τελευταῖον ἑαυτὸν πρὸς V. 67 τοὺς βασιλέως κατακλίνας πόδας, ἐδεῖτο μεθ' ὅσης σπουδῆς μὴ ἀπώσασθαι τὴν εἰρήνην, μηδὲ τὸν ἐξ ἀρχῆς ἀνθρωποκτόνον καὶ φθονερὸν, ἀλλὰ τὸν εἰρηνοποιὸν Χριστὸν, τὸν τὰ διεστῶτα συνάψαντα, σχεῖν τὸ πλέον. ἀναστήσας δὲ αὐτὸν ὁ B βασιλεὺς καὶ εὐχαριστεῖν εἰπὼν, „ὅτι ἐλθὼν ἐδίδαξας ἡμᾶς ἀρκούντως", τοῖς ἀπεσταλκόσιν ἐκέλευεν ἀπαγγέλλειν, ὡς ἀσύνετα διαπρεσβευομένοις οὐδ' αὐτὸς ἂν ἀπόκρισιν δοίη· ἀποκρινεῖται δ' αὖθις, ἂν καὶ αὐτοὶ πρεσβεύσωνται συνετῶς.

18. Ioann. 8. *ED. P.* 19. Ephes. 2. *Idem.*

condemnabere. Tecum igitur expende, quanta te propter exorituras calamitates et apud Deum poena et apud homines insectatio maneat. Quocirca iterum oro, imperator, miserere subiectorum: miserere filii tui, ac denique tui ipsius, cuius apud Romanos tanta est laus, quemque ut aliquem de coelo delapsum intuentur: et pacem complexus, bello nuntium remitte; neve populos tuos inde manaturis cladibus ad exitium vocari, neve nepotem tuum aut victorem turpius vincere, quam si victus esset (patrem enim suum vincet) aut victum iniuste simul et a patre interfici, tuumque nomen passim cum faustis acclamationibus decantatum, ex adverso in invidiam adduci sinas. Haec cum disseruisset Calochaeretes, et ad imperatoris atque astantium interrogata obiectionesque sapienter respondisset, tandem pedibus imperatoris provolutus, omni contentione rogare coepit, ne pacem reiiceret, neu illum ab initio homicidam et invidum illum, sed Christum pacificatorem, qui fecit utraque unum, potiores ferre vellet. Hominem levat imperator, et gratias agit, quod eos satis de officio docuisset, iubetque iis, quorum missu advenerat, renuntiare, quia stulta legatione usi essent, non se responsum dare: daturum, si prudenti uterentur. Sic Calochaeretes fru-

οὕτω μὲν ὁ Καλοχαιρέτης ἄπρακτος ἀπῆλθεν ἐκ Βυζαντίου. A.C. 1321
ὁ δέ γε βασιλεὺς ὁ νέος ἄρας ἐκ Τζουρουλόης εἰς Ἡράκλειαν, ἀφίκετο τὴν τῆς Θρᾴκης, καὶ Συργιάννην ἐκεῖ κατακλείσας ἅμα τῷ ἐκ Βυζαντίου στρατῷ, ἐπολιόρκησεν ἐφ' ἡμέρᾳ μιᾷ. κἀκεῖθεν αὖθις ἀναναστὰς, ἐστρατοπέδευσε περὶ Δάνειον, ἐς τὴν ὑστεραίαν δ' εἴχετο τῆς φερούσης πρὸς τὸ Βυζάντιον. καὶ γενομένῳ κατὰ τὸ Ῥήγιον ὁ Καλοχαιρέτης ἐνέτυχεν ἀπαγγέλλων ὡς ἄπρακτος ἐπανήκει. C

κζ'. Στρατοπεδευσαμένῳ δὲ αὐτοῦ ἔδοξε δέον εἶναι καὶ αὐτὸν πρὸς τὸν βασιλέα καὶ πάππον ἀποστεῖλαι πρεσβείαν περὶ εἰρήνης. πέμπει δὴ τὸν μέγαν κονοσταῦλον Ἰωάννην Παλαιολόγον, τὸν πρωτοστράτορος ἀδελφὸν, καὶ Ἰωάννην τὸν Ἀπλησφάρην, γράψας τῷ πάππῳ καὶ βασιλεῖ τοιαῦτα· „τῶν ἐμοὶ συνόντων συγκλητικῶν καὶ τῶν ἄλλων ἡγεμόνων τῆς στρατιᾶς D
κἀμοῦ συνειδότος, πρός σε περὶ εἰρήνης διαπρεσβευσαμένων καὶ μὴ τυχόντων, νυνὶ καὶ αὐτὸς σὺν αὐτοῖς αὖθις περὶ τῶν αὐτῶν πρεσβεύομεν, ὦ βασιλεῦ, καὶ δεόμεθά σου πάντες κοινῇ μὴ ὥς τι τῶν ἀτίμων ἀποῤῥιφῆναι, ἀλλ' εὐμενείας καὶ συγγνώμης τοῦ σοῦ κράτους τυχεῖν, ἐφιεμένους πάνυ σοῦ καὶ εἶναι δούλους καὶ ὀνομάζεσθαι, καὶ τὴν εἰρήνην ἀντὶ πολλῶν ἀγαθῶν ἄλλων ἐν εὐεργεσίας αἰτουμένους μέρει." τούτους μὲν οὖν ἀπέστειλεν ὡς βασιλέα, ἐν ἡμέραις ὀκτὼ κελεύσας ἐπανελθεῖν, ἀρκεῖν πρὸς τὸ βασιλέα βουλεύσασθαι περὶ τῆς εἰρήνης τὸ διάστημα νομίσας τοῦ χρόνου· αὐτὸς δ' ἔμεινεν ἐν Ῥηγίῳ· δύο P. 84

5. Al. *Δαόνιον*; ita Nicetas. Thraciae urbs est. *ED. P.*

stra discessit. Iunior imperator Zurulo motis castris, Heracleam Thraciae processit, ubi Syrgiannem cum praesidio Byzantino concludens, diem unum in obsidione posuit. Inde recedens, prope Danium castrametatus est, et sequenti luce Constantinopolin tendere perrexit. Rhegii Calochaeretes ei obvius nihil se effecisse narrat.

27. Castris ibi locatis, subit animum nepotis, suarum quoque partium esse, legationem ad avum mittere. Deligit itaque Ioannem Palaeologum magnum contostaulum, protostratoris fratrem, et Ioannem Aplespharen, quibus epistolam committit haec continentem: Quandoquidem quos mecum habeo nobiles atque illustres et ductores ordinum, me conscio, de pace ad te miserunt, nec impetrarunt, ego ipse nunc, illis pariter volentibus, rursum eandem peto; et te oramus communiter, ne nos ut despicabiles refutes: verum maiestatis tuae gratia et venia impertias: cuius servi plane et esse, et nominari optamus, pacem prae multis aliis bonis in beneficii loco abs te flagitantes. Ergo hos ad imperatorem legavit, diebus octo redire iussus: tantum intervallum avo ad capiendum de pace consilium ratus sufficere: ipse interea Rhegii exspectabat. Duode-

A.C. 1321 δὲ ἡμερῶν παρεληλυθυιῶν πρὸς ταῖς δέκα, ὡς οἱ πρέσβεις
οὐκ ἐπανῆκον, ἄρας ἐκ Ῥηγίου, ἦλθεν ἐγγὺς τῶν Βυζαντίου
τειχῶν ὅσον μὴ βάλλεσθαι τοξείαις τοὺς στρατιώτας. πέμψας
δ' ἐγγὺς τῶν ἑπομένων τινὰς, λέγειν ἐκέλευε τοῖς ἐπὶ τοῦ
τείχους ἀπαγγέλλειν τῷ βασιλεῖ, ὡς „ὁ σὸς ἔγγονος, ἐπεὶ κατὰ
τὴν προθεσμίαν οὐχ ἧκον οἱ πρέσβεις, ἐλθὼν αὐτὸς συγγνώμης
δεῖται τυχεῖν." οἱ δὲ μηδ' ἄκροις ὠσὶ παραδεξάμενοι τοὺς
λόγους, βάλλοντες ἀπὸ τοῦ τείχους ἠνάγκασαν φυγεῖν. βασι-
λεὺς δ' ὁ νέος αὐτόθι διακαρτερήσας μέχρι κλινούσης ἡμέρας,
ὀλίγον ἀναζεύξας ἐστρατοπέδευσεν ἐγγὺς Κοσμιδίου ἐν τοῖς
Λυμπιδαρίου, καὶ τρεῖς μὲν ἔμεινεν ἡμέρας ἐκεῖ. χειμώνων
B δ' ἐξαισίων καὶ ὄμβρων ἐπιγενομένων, ὡς καὶ δύο τῶν στρα-
τιωτῶν ὑπὸ ψύχους ἀποθανεῖν ἐν τῷ στρατοπέδῳ, ἐπεὶ περί
τε εἰρήνης ἠλπίζετο μηδὲν ἔτι, ὅ, τε χειμὼν ἐπέκειτο σφο-
δρῶς, καὶ ἡ στρατιὰ τῶν πρὸς τὴν χρείαν ἠπόρει, οὐκ ἐπιτρε-
πόμενοι πρὸς τοῦ νέου βασιλέως τὴν χώραν κακοῦν, (ἦσαν δὲ
τάγματα τεσσαράκοντα,) ἀναστρέψας ἦλθεν εἰς Διδυμότειχον,
καὶ διέλυσε τὴν στρατιάν. ἔτι δὲ ἐστρατοπεδευμένου πρὸς
V.68 Βυζαντίῳ, Βοησίλας ὁ τοῦ Μυσῶν βασιλέως ἀδελφὸς, τοῦ
νέου βασιλέως ἀποστὰς, πρὸς τὸν πρεσβύτερον ηὐτομόλησεν.
ὁ νέος δὲ βασιλεὺς μετὰ τὴν εἰς Διδυμότειχον ἄφιξιν ἐνόσησε
ῥῖγος καθημερινὸν ἐν ἡμέραις τεσσαράκοντα ἐφεξῆς· τούτου δὲ
C πεπαυμένου, αἵματος ἄπιστόν τι χρῆμα διὰ τῶν μυκτήρων
ἐῤῥύη ἐν ἡμέραις δυοκαίδεκα συνεχῶς. λωφήσαντος δὲ καὶ

10. Alii vocant *Κοσμήδιον*. ED. P. Vid. Ducangii CP. Christ. L. IV. p. 182.

cim diebus elapsis, legatis minime redeuntibus, Rhegio prope Byzantii muros, ut fere intra teli iactum esset, accessit. Deinde aliquot de suis mittit, qui de muro propugnaturis dicerent, nuntiatum irent imperatori, nepotem eius, quoniam ad diem praefixam legati non rediissent, adesse ipsum veniam rogitantem. Qui ne summis quidem auribus eorum verba excipientes, tela superne deiiciunt, et eos fugere cogunt. Iunior imperator cum ibidem constitisset, quoad dies iam occumberet, paulum retrocedens, iuxta Cosmidium in Lympidario castra fecit, ac triduum illic haesit. Immodicis porro imbribus cum intolerando frigore supervenientibus, adeo ut duo milites algore obrigescerent, cum spes pacis evanesceret, et hiems se vehementer intenderet, exercitusque populatione prohibitus commeatu egeret, (et censebatur cohortibus quadraginta,) converso itinere Didymotichum veniens, militem dimisit. Adhuc prope Byzantium erat, cum Boësilas Moesorum regis frater ab ipso ad avum transfugit. Didymotichi quotidiana febri diebus quadragenis iactatus est. Qua depulsa, diebus duodecim continuis incredibilis copia sanguinis de naribus profluxit. Eo affectu profligato, quartana cum mensibus

τούτου τοῦ κακοῦ, αὖθις ἐῤῥίγωσε τεταρταῖον ἐν ἑνὶ καὶ A.C. 1321 δέκα μησίν. ἀπὸ δὲ τοῦ τοιούτου κακοῦ τά τε σπλάγχνα καὶ ὁ σπλὴν κακῶς διατεθέντα, ἄχρι καὶ τελευτῆς αὐτοῦ τῆς κακώσεως οὐκ ἴσχυσαν ἀπαλλαγῆναι· ἀλλὰ πόνοις καὶ καθημερινοῖς γυμνασίοις μεθώδευε τὸ κακὸν ὅπως ἀναπνεῖν ἐφῆ. ὁ δέ γε πρεσβύτερος βασιλεὺς, καίτοι θαυμαζόμενος ἐπὶ συνέσει, καὶ δεινὸς δοκῶν ἐκ τῶν πραγμάτων συνεῖναι τὸ δέον, ὁρῶν τὸν ἔγγονον πλήθει τε στρατιᾶς καὶ προθυμίᾳ καὶ ἀνδρίᾳ τῇ πρὸς τὰς μάχας ὑπερέχοντα πολλῷ τῶν αὐτοῦ, καὶ D δίκαιος ὢν προσδέξασθαι τὴν εἰρήνην, ἐπεὶ καὶ μετὰ καλοῦ τοῦ σχήματος ἐγίνετο, δεομένων ἐκείνων· ὁ δὲ, ἐπιπολὺ μὲν ἠξίωσεν ἀποκρίσεως οὐδεμιᾶς τοὺς ἐπὶ τῇ εἰρήνῃ ἀφιγμένους πρέσβεις, χρόνου δὲ παρῳχηκότος πολλοῦ, ἀπέπεμψεν ἀπράκτους. ἐνῆγε δὲ αὐτὸν πρὸς τὸ μᾶλλον τὸν πόλεμον αἱρεῖσθαι μάλιστα μὲν καὶ ἡ τοῦ Συργιάννη ἄφιξις πρὸς αὐτὸν, μέγα τι καὶ ἀξιόλογον ὄντος προσδοκίμου πράττειν· οὐχ ἥκιστα δὲ καὶ τὰ νεωτερισθέντα ἐν τῇ Ῥοδόπῃ. ὁ γὰρ Παλαιολόγος Ἀνδρόνικος ὁ μέγας στρατοπεδάρχης παρὰ βασιλέως τοῦ νέου τῶν κατὰ τὴν Ῥοδόπην ἐπαρχιῶν Στενιμάχου καὶ Τζεπαίνης πόλεων καὶ τῶν ἄλλων φρουρίων οὐκ ὀλίγων ὄντων, καὶ τῆς ἐν αὐτοῖς στρατιᾶς πολλῆς τε καὶ μαχιμωτάτης οὔσης ἡγεμὼν ἀποσταλεὶς, τοὺς μὲν δώροις καὶ ὑποσχέσεσι πείσας, ἔστι δ' οὓς καὶ βιασάμενος, τῷ πρεσβυτέρῳ προσεποίησε βασιλεῖ. ὃ P. 85 δὴ οὐ φαύλας ἐνεποίησεν αὐτῷ ἐλπίδας τοῦ περιγενήσεσθαι ἐν τῷ πολέμῳ. ἐν ᾧδε ὁ νέος βασιλεὺς ἐν τῷ Διδυμοτείχῳ

11. δεομένου ἐκείνου male coni. ED. P.

undecim divexavit. Post istuc malum ex intestinis et splene, quoad vixit, laboravit. Verumtamen aliquid operis faciendo, et assiduis exercitationibus consequebatur, ut spiritum ducere posset. At enim senior imperator, quamquam excellenti prudentia ornatus, et quid tali tempore agendum esset, scire posse videretur, cum nepotem numero copiarum, alacritate, virtuteque multum superare cerneret, ac proinde pacem accipere merito debuisset (idque bono colore, quia rogatus esset videlicet,) diu legatos nullo responso dignatus, tandem re infecta ab se dimisit. Bellandi autem cupiditatem Syrgiannis accessio augebat, a quo singularia quaedam et memorabilia exspectabat: potissimum vero quae in Rhodopes provinciis novabantur. Etenim Andronicus Palaeologus magnus stratopedarcha a iuniore imperatore missus, ut Stenimachi et Zepaenes urbium et castellorum non paucorum, quique in iis erant multorum fortissimorumque militum praesidem ac ducem ageret, alios donis ac promissis permulsos, alios vi et minis coactos, ad senioris auctoritatem fidemque traduxerat. Quod illi spem victoriae non exi-

A. C. 1321 δίηγε, τοῦ αὐτοῦ χειμῶνος ὁ Συργιάννης ἐξ Ἡρακλείας εἰς Βυζάντιον ἐλθὼν, καὶ τὴν στρατιὰν πᾶσαν παραλαβὼν, εἰς τὰς ἐπὶ Θρᾴκης ὑπηκόους τῷ νέῳ βασιλεῖ πόλεις ἐξῆλθε. καὶ πρῶτον μὲν εἰς Ἄπρω καὶ τὴν Γαρέλλαν, μὴ ἀποστῶσι δεδοικὼς πρὸς βασιλέα τὸν νέον, φρουρὰν ἀπέστειλε πεζὴν ἅμα καὶ ἱππικὴν, ὡς ἂν ἀντέχοιεν πρὸς τὰς ἐκ Διδυμοτείχου ἐφόδους. ἔπειτα εἰς Ῥαιδεστὸν ἐλθὼν, κατέσχεν αὐτὴν πείσας τοὺς φρουρούς· ἦν γὰρ περὶ τὰ τοιαῦτα δεινός. ἐκεῖθεν δὲ
B Βιζύην καταδραμὼν καὶ ληϊσάμενος τὰ περὶ αὐτὴν, ἦλθεν εἰς Σεργέντζιον, καὶ κατέσχε καὶ αὐτὸ προσχωρῆσαν. εἶτα εἰς Βυζάντιον ἐλθὼν καὶ διατρίψας ἡμέρας τινὰς, ἐξελθὼν αὖθις ἅμα τῇ στρατιᾷ, ἀπῆλθεν εἰς Σηλυβρίαν. μὴ προσδεξαμένων δὲ τῶν Σηλυβριανῶν, φρούριόν τι Σηλυβρίας ἐγγὺς, Σάκκους ὀνομαζόμενον, τῶν κατοικούντων γεωργῶν παραδόντων, κατέσχε· στρατιὰν δὲ ἐκεῖσε καταλιπὼν ὥστε τὰ Σηλυβριανῶν ἐπεκδρομαῖς κακοῦν, εἰς Βυζάντιον ἐπανῆλθεν. ἐκάκωσε δὲ Σηλυβριανοὺς ὁ ἐκ τῶν Σάκκων πόλεμος ἐς τὰ μάλιστα λαθραίαις τε καὶ φανεραῖς ἐφόδοις. καὶ ὁ χειμὼν ἐν τού-
A. C. 1322 τοις ἐτελεύτα πέμπτης ἰνδικτιῶνος. ἄρτι δ' ἔαρος ἀρχομένου,
C περὶ τὰς ἀρχὰς Μαρτίου μηνὸς, γράμματα παρὰ τοῦ νέου πέμπονται βασιλέως πρὸς τὰς ὑπ' αὐτὸν ἐπαρχίας, κελεύοντα τὴν στρατιὰν εἰς Διδυμότειχον ἄχρι πεντεκαιδεκάτης αὐτοῦ παρεῖναι. καὶ πάντες ἐν ᾗ παρῆσαν ἐπετάχθησαν ἡμέρᾳ.

κη΄. Ἀπορῶν δὲ χρημάτων, οἷς ἂν θεραπεύσειε τὸ μισθο-

guam iniecit. Nepos Didymotichi in hibernis erat, cum Syrgiannes Heraclea Byzantium excurrens et quidquid ibi inveniret militum assumens, Thraciae oppida, quae se iuniori subdiderant, invasit. Ac primum quidem Apros et Garellam (veritus ne illius amicitiam sequerentur) equitatum peditatumque misit, qui excursionibus e Didymoticho resisterent. Postea Rhaedestum adortus, corrupto praesidio (ut erat harum artium callidus) eam occupavit. Hinc Bizyensem agrum depopulatus, Sergentzium contendit, oppidumque per deditionem recepit. Post Byzantium abiit: ubi diebus aliquot exactis, Selybriam infestum agmen duxit. Selybrianis portas claudentibus, vicinum urbi oppidum, Saccos appellatum et ab aratoribus habitatum, ipsis dedentibus accepit: relictaque ibi manu, quae Selybrianos incursando premeret, quod illi maxime, tam occulte quam aperte, fecerunt, Byzantium rediit. Interim hiems exivit, Indictione quinta. Vere iam incipiente, principio Martii a iuniore imperatore per ditionis eius provincias litterae mittuntur, quibus milites ad diem decimum quintum Didymotichum evocantur. Omnes die praefinita affuere.

28. Cum deficeretur argento imperator, quo conductitium mili-

φορικὸν ὁ βασιλεύς· (τὰ γὰρ δημόσια οὐκ ἐπράχθησαν, ἅμα A.C. 1322
μὲν διὰ τὴν ἐκ τοῦ πολέμου ταραχὴν, ἅμα δ' ὅτι καὶ οἱ γεωρ- V.69
γοὶ, ἐξ ὧν μάλιστα οἱ φόροι πράττονται, τῶν ἰδίων ἀνέστη- D
σαν κωμῶν, τῶν τε παρὰ τοῦ πρεσβυτέρου βασιλέως στρατιω-
τῶν ληϊζομένων, καὶ τῶν παρὰ τοῦ νέου πρὸς φυλακὴν ἐκ-
πεμπομένων ἀγόντων τὰ αὐτῶν καὶ φερόντων πλεονεξίᾳ στρα-
τιωτικῇ, καὶ οὐδὲν ἄμεινον διατιθέντων τῶν πολεμίων,) ἠνιᾶτο
καὶ κατετρίβετο φροντίσιν, ὅθεν ἂν εὐπορήσειε χρημάτων σκο-
πῶν. ὁρῶν δὲ αὐτὸν ὁ μέγας δομέστικος σύννουν, τὴν δὲ αἰτί-
αν ἀγνοῶν, ἤρετο ἀνθ' ὅτου φροντίζοι. τοῦ δὲ τὴν ἀπορίαν
τῶν χρημάτων εἰπόντος διὰ τὸ μὴ τὰ δημόσια εἰσπεπρᾶχθαι,
καὶ τὴν εἰς τὴν στρατιὰν ἀπαραίτητον τῶν ἀναλωμάτων χρεί-
αν „ἀλλ' ἔγωγε" ὁ μέγας δομέστικος εἶπε" τὴν τοιαύτην ἀπο- P.86
ρίαν τῶν χρημάτων σαφῶς εἰδὼς, ἅμα τῷ σὲ τὰ γράμματα ἐκ-
πεπομφέναι ἀθροίζεσθαι κελεύοντα τὴν στρατιὰν, καὶ χρήμα-
τα ἐκ τῶν ἰδίων συνεπορισάμην ἀρκέσοντα πρὸς τὴν χρείαν·
καὶ οὐδέν ἐστιν ἐνδέον ἔτι, ἢ τῶν στρατιωτῶν ἕκαστον τὸν
ἀποτεταγμένον ἀριθμὸν τῆς μισθοφορᾶς ἐρχόμενον λαμβάνειν.
ὃ δὴ καὶ γενήσεται εἰς δευτέραν ἢ καὶ τρίτην ἡμέραν, καὶ
τούτου γε ἕνεκα φρόντιζε μηδέν." ὁ βασιλεὺς δὲ „τῆς μὲν εἰς
ἐμέ σου" εἴρηκεν „ἀγάπης ἕνεκα οὐδὲν χρὴ λέγειν, ὅσα τις ἂν
εἴποι πάντων ἐλαττόνων ἐσομένων. δυσχεραίνω δ' οὐ μετρίως
καὶ πρὸς τοῦτο, ὅσα τε τῶν ἰδίων ἐξ ὅτου πρὸς Ἀδριανούπολιν
ἤλθομεν, εἰς τὰς κοινὰς χρείας ἐξαναλώσας σκοπῶν, καὶ ἃ νῦν

tem demereretur: (pensiones enim publicae exactae non erant, partim propter tumultus bellicos, partim quia et agrestium, qui plurimum pendere consueverunt, alii suis sedibus pulsi, alii a militibus senioris direpti erant: et quos iunior ad custodiam miserat, militari avaritia res eorum ferebant agebantque, a quibus nihilo mitius, quam ab hostibus tractabantur,) moerorem capiebat, et sollicitudine exedebatur, circumspiciens, unde sumptum nancisceretur. Meditabundum ac tristem intuens magnus domesticus et causae nescius, quid eum angat sciscitatur. Inopia pecuniae, inquit, propterea quod vectigalia coacta non sunt, et quam deprecari non licet, stipendiorum persolvendorum necessitas. Atqui ego, excipit magnus domesticus, huius inopiae probe conscius, simul ac litteras ad evocandum exercitum misisti, pecuniam necessariam de meis comparavi, et amplius nihil opus est, quam ut miles unusquisque veniat, destinatamque mercedem tollat: id quod vel cras, vel perendie fieri poterit. Quare hac de causa ne te excrucies. Tum imperator: Quid tandem satis de tuo in me amore dici potest? Aegre autem mihi est valde ob hoc quoque, quod quantum de facultatibus tuis inde ab adventu nostro Adrianopolin ad communem usum impenderis, et quas nunc impendes multas aureorum myriadas, considero. Idcirco non secus

A.C. 1322 ἐξαναλώσεις οὐκ ὀλίγας ἐσόμενα χρυσίου μυριάδας, ὡς καὶ
B αὐτὸς οἶδα σαφῶς. διὸ καὶ τῆς ἀπορίας οὐχ ἧσσον τῶν χρη-
μάτων τὸ ἐν τοσούτοις σε χρήμασι ζημιοῦσθαι καθικνεῖταί
μου τῆς ψυχῆς.” παροῦσα δὲ αὐτοῖς διαλεγομένοις καὶ ἡ
τοῦ μεγάλου δομεστίκου μήτηρ ἡ Παλαιολογίνα Θεοδώρα
„ἀλλ᾽ ἔγωγε” εἶπεν „οὐ ζημίαν ἥγημαι τὸ ἀναλίσκειν ἐν τοῖς
τοιούτοις, ἀλλὰ πάντων κερδῶν λυσιτελέστατόν τε ἅμα καὶ σω-
φρονέστατον. εἰ γὰρ λύτρον ψυχῆς ἀνδρὸς ὁ ἴδιος πλοῦτος, ἄν
θ᾽ ὑπὲρ τῶν ἰδίων τις ἁμαρτημάτων, ἄν θ᾽ ὑπὲρ τοῦ ζῆν ἀνα-
λώσῃ, οὐ ζημίαν τὴν δαπάνην, ἀλλὰ κέρδος ἡγεῖσθαι χρή·
ἄλλως τε καὶ τῶν ἱερῶν διδασκόντων λογίων, ὡς, ὅπου ὁ θη-
C σαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν, παρὰ σοί, βα-
σιλεῦ, ἐπειδὴ σὺ θησαυρὸς αὐτοῦ, καὶ ἡ καρδία τοῦ μεγάλου
δομεστίκου ἔσται. τούτου δὲ ὄντος ἀληθοῦς, τῶν ἄλλων πάν-
των χρημάτων ὡς οὐδενῶν καταφρονήσει. καὶ χωρὶς δὲ τουτω-
νί, ἂν φειδόμενοι τῶν χρημάτων κινδυνεύσητε περὶ τὸ ζῆν, οὐκ
εὔδηλον, ὅτι, θανόντων ὑμῶν ἀτίμως, παρ᾽ ἄλλοις ἔσται τὰ
χρήματα, ἴσως δὲ καὶ πολεμιωτάτοις; φείδεσθε τοιγαροῦν
μήτε σωμάτων μήτε χρημάτων, ἄχρις ἂν τὸν κινηθέντα πό-
λεμον ἢ λυσιτελεῖ διάθησθε ὑμῖν.
D κθ'. Ἐπὶ τούτοις αὐτῇ χάριτας ὁμολογήσας ὁ βασιλεύς,
V. 70 ἐξελθὼν ἐβουλεύετο μετὰ τῶν ἐν τέλει, εἰ χρὴ πρότερον ἐπὶ
Ἄπρω καὶ Γαρέλλαν, ἢ ἐπὶ τὰς ἀφεστηκυίας ποῤῥωτέρω τῶν

11. Matth. 6. *ED. P.*

quam ipsa pecuniae difficultas, pungit ac vellicat animum meum, te tantum rei nummariae dispendium mea causa perpeti. Huic colloquio Theodora Palaeologina, magni domestici mater, praesens intererat, quae sic orsa est: Equidem ego talibus in rebus sumptum impendere nullum dispendium, immo vero omnium quaestuum quaestuosissimum atque prudentissimum iudico. Si enim pretium redemtionis animae hominis sunt ipsius divitiae, sive quis pro peccatis suis, sive pro vita sua quippiam erogaverit, haud in damnis illa erogatio, sed in lucris deputanda est. Adhoc, cum divinae scripturae doceant, ubi thesaurus vester sit, ibi cor vestrum esse, apud te imperator, quoniam tu thesaurus magni domestici es, etiam cor eius erit. Quod cum ita sit, ceteram pecuniam ut rem nihili contemnet. Sed haec mittamus. Si nummis parcentes, in vitae discrimen incidatis, an non clarum est, vobis cum dedecore mortuis, vestras ad alios et forsitan ad inimicissimos translatum iri pecunias? Proinde ne vel corporibus, vel pecuniae parcitote, quoad bellum hoc ad emolumentum vestrum accommodaveritis.

29. Gratiis matronae actis, egreditur imperator, et cum primoribus in consilium venit, priusne Apros et Garellam, an exercitum ad ulteriores civitates desertrices adducat: quod hae minus nocerent,

πόλεων ἐλθεῖν· ὡς τῶν μὲν ἀπωτέρω τὴν μὲν βλάβην ἥσσονα πα- A.C. 1322 ρεχομένων, εὐαλωτοτέρων δέ· τῶν δὲ μετὰ τοῦ μᾶλλον βλάπτειν καὶ καρτερωτάτων ἀπό τε τῆς τῶν τειχῶν κατασκευῆς καὶ τῆς ἐγκαθιδρυμένης δυνάμεως οὐσῶν. ἐδόκει δὴ ἐπὶ Ἄπρω ἐλθεῖν πρῶτον. καὶ ἄραντες ἐκ Διδυμοτείχου, ἐπεὶ πάντα παρεσκεύαστο, καὶ πρὸς τὸ μισθοφορικὸν τὸ χρυσίον διενεμήθη, ἦλθον P. 87 ἐπὶ Ἄπρω. στρατοπεδευσαμένων δὲ ἐκεῖ, πέμψας ὁ βασιλεὺς ἠσπάζετο τοὺς ἐπὶ τῶν τειχῶν, καὶ πρὸς τὸ μάχης χωρὶς αὐτῷ ἐπεχείρει παραδιδόναι τὸ πόλισμα πείθειν, οὔτε ἡμαρτηκέναι φάσκων αὐτοὺς οὐδὲν, οὔτε αὐτὸν ὀργίζεσθαι πρὸς αὐτοὺς, ἀλλὰ τὴν αἰτίαν τῆς ἀποστασίας ἐπὶ τὸν βίᾳ κατασχόντα, οὐκ ἐπ' αὐτοὺς εἶναι τοὺς ἠναγκασμένους. διόπερ καὶ εἰ προσχωρήσαιεν ἀμαχεὶ, πολλαῖς εὐεργεσίαις ἀμείβεσθαι εἶναι δίκαιος. οἱ δ' ἐπὶ τοῦ τείχους εὐθὺς οὐδ' ὅλους ἀναμείναντες ἀκοῦσαι τοὺς παρὰ βασιλέως λόγους, κακῶς τε ἔφασκον ἥκειν αὐτὸν, καὶ τοὺς ἀπάτης γέμοντας τουτουσὶ λόγους οὐκ ἐκείνοις, οὔτε δεδοικόσιν οὔτε πρὸς ἀπάτην οὖσιν εὐκόλοις, ἀλλ' B ἑτέροις μᾶλλον προσήκειν λέγειν· αὐτοὶ δὲ τῷ τε πεπιστευκότι τὴν πίστιν τηρήσειν, καὶ τὸ φρούριον φυλάξειν ἀσφαλῶς. ὁ βασιλεὺς δ' αὖθις πέμψας ἑτέρους, μὴ τὸ κακῶς παθεῖν συνεβούλευεν ἑλέσθαι μᾶλλον ἐξ ἀβουλίας, ἐνὸν ἔξω τε κινδύνων εἶναι καὶ παθεῖν εὖ. τῶν δὲ ὑβριστικῶς ἀποκριναμένων, καὶ λίθοις καὶ βέλεσι τοὺς ἀπεσταλμένους βαλόντων, ἕτερόν τε μηδένα πρὸς αὐτοὺς ἥκειν παραγγειλάντων, ὡς αὐτὸν ἀποκτενούντων, ἐπεὶ μὴ λόγοις ἑώρα πείθειν δυνατὸς ὢν ὁ βασιλεύς,

et capi facilius possent, illae et plus nocerent, et cum structura moenium, tum militari intus praesidio essent validissimae. Stetit sententia, prius Apros aggrediendos. Paratis omnibus et pecunia in stipendia numerata, Didymoticho illuc movent: ubi castris communitis, caduceatorem mittit imperator, qui pro muris stantes salutet, et ad urbem sine dimicatione dedendam impellat, dicatque, non eos deliquisse quidquam, nec imperatorem ipsis irasci: sed culpam defectionis penes eum esse, qui deficere coëgisset, non penes illos, qui coacti fuissent. Quamobrem si, positis armis, ad fidem officiumque redirent, multa beneficia promerituros. At enim qui in muris erant, ne totum quidem, quod dicebatur, audire sustinentes, maligne ipsum venire succlamabant, et cantilenam istanc non sibi, qui omni essent expertes metu nec dolis deludi facile possent, sed aliis potius debere occinere: se creditori suo fidem et oppidum tuto servaturos. Iterato mittuntur alii, qui suadeant, ne consilio malo pravoque maleficia quam beneficia, cum possint, experiri malint. Quibus contumeliose respondentibus, lapidibusque et iaculis caduceatores appetentibus, ac de cetero quemquam ad se mitti vetantibus, nisi eum occisum vel-

A.C. 1322 κλίμακας ἐκέλευσεν ἑτοιμασθῆναι, ἐς τὴν ὑστεραίαν ἐσομένης
C τειχομαχίας. δρῶντες δὲ οἱ ἀπὸ τοῦ τείχους τὰς κλίμακας κα-
τασκευαζομένας, ὡς ἀνηνύτοις ἐπιχειρούντων κατεγέλων, οὐ
μόνον τῇ ἀσφαλείᾳ τῶν τειχῶν, ἀλλὰ καὶ τῷ πλήθει τῶν στρα-
τιωτῶν οἰόμενοι περιγενήσεσθαι τοῦ πολέμου. ἦσαν γὰρ οἵ τε
ἐκ Βυζαντίου κατὰ συμμαχίαν ἀφιγμένοι, ἱππεῖς μὲν εἴκοσι
καὶ διακόσιοι, καὶ πεζοὶ τοξόται τούτων εἴκοσιν ἐλάσσους ἀγα-
θοὶ τοξεύειν, ὁπλῖται τε οἱ ἐκ μηχανῶν ἀφιέντες βέλη τριά-
κοντα, ἐξ ὧν εἷς ἐπὶ τῷ εὐστόχως τῶν ἄλλων μᾶλλον διαβεβό-
ητο βάλλειν· ἐγχώριοί τε ἱππεῖς ἑκατὸν ὡπλισμένοι, τοξόται
D τε οὐκ ὀλίγοι καὶ σφενδονῆται, οὐ μόνον ἐγχώριοι, ἀλλὰ καὶ
τῶν περιοίκων πλεῖστοι διὰ τὸν πόλεμον συνελθόντες· καὶ γυ-
μνητεία πολλή. οἷς ἐθάῤῥουν, εἰ μήτι ἄλλο, τὸ γοῦν ἁλῶναι
ῥᾳδίως διαφυγεῖν. ἅμα δὲ πρωῒ εἰς τὴν ὑστεραίαν οἵ τε ἔξω-
θεν καὶ οἱ ἀπὸ τῶν τειχῶν παρετάττοντο πρὸς μάχην. καὶ γε-
νομένης καρτερωτάτης τειχομαχίας, μέχρι μὲν ἑβδόμης ὥρας
ἀντέσχον οἱ ἀπὸ τῶν τειχῶν ἀμυνόμενοι προθύμως· ἔπειτα οἱ
τοῦ νέου βασιλέως ἀνδρίᾳ τε καὶ τόλμῃ τῶν ἀντιτεταγμένων
ὑπερσχόντες καὶ τὰς κλίμακας τοῖς τείχεσι προσερείσαντες,
τὸ πόλισμα εἷλον καὶ διήρπασαν αὐτό. δείσας δὲ ὁ βασιλεὺς,
V. 71 μὴ, πάντων χρημάτων διαφθαρέντων, ἀνάστατος γένηται ὁ
Ἄπρως, ἐκέλευσε τοὺς καρποὺς μὴ διαφθείρειν, ὅπως ἔχον-
τες ἀφορμὰς οἱ Ἄπριοι τοῦ ζῆν, μὴ ἐκλίπωσι τὸ ἄστυ. ἀπέ-
θανον μέντοι ἐν τῇ τειχομαχίᾳ πλὴν ἑνὸς ὁπλίτου τῶν ἐκ Βυ-

lent; quia se verbis nihil proficere videbat imperator, scalas ad moenia postridie conscendenda parari iussit. Quod cum cernerent, qui in moenibus stabant, hostium conatum ut inanem irridebant, murorum excelsitate ac firmitate propugnatorumque multitudine se inexpugnabiles fore confidentes. Nam auxiliares Byzantio equites erant duceni et viceni, pedites sagittarii duceni iique peritissimi: gravis armaturae, qui e machinis tela torquebant triginta: e quibus unus a dexteritate destinata feriendi prae aliis celebrabatur. Equites indigenae cataphracti centum, sagittarii non pauci, et funditores non indigenae modo, sed etiam e finitimis locis quamplurimi, quos bellum exciverat, et levis armaturae multi, quibus omnibus, si nihil aliud, certe ne caperentur se facile consecuturos sperabant. Postridie albente coelo quique foris quique intus in moenibus erant, ad pugnam instruebantur. Et cum usque ad horam septimam acerrima fieret oppugnatio, oppidani se strenue tuebantur. Ad extremum imperatorii fortitudine et audacia adversariis superiores, scalis applicitis oppidulum capiunt ac diripiunt. Ibi timens imperator, ne rebus omnibus disperditis, Aprus ad solitudinem redigeretur, frugibus cavit: ut habentes vitae subsidium Aprii ne diffugerent. In ea oppugnatione ex neutra acie quisquam praeter unum Byzantinum

ζαντίου ἐξ ἑκατέρων μερῶν οὐδεὶς, καὶ τούτου μετὰ τὴν μά- A.C. 1321
χην ὑπὸ Λατίνου τινὸς ἀποκτανθέντος, ὅτι αὐτός τε καὶ πλεί- P. 88
ους ἕτεροι ἐτραυματίσθησαν ὑπ᾽ αὐτοῦ· τραυματίαι δ᾽ ἐγέ-
νοντο καὶ ἑκατέρωθεν οὐκ ὀλίγοι. τούς τε ἐκ Βυζαντίου ἱπ-
πέας τε καὶ πεζοὺς δήσαντες οἱ στρατιῶται εἶχον· εἰς τρίτην
δὲ ἡμέραν τοὺς αἰχμαλώτους στρατιώτας ὁ βασιλεὺς κελεύσας
αὐτῷ παραστῆναι, διείλεκται οὕτως· „οὔτε συνετῶς οὔτε συμ-
φερόντως πεπράχατε ὑμῖν αὐτοῖς ὑφ᾽ ἡμῶν προσαγορευόμενοι
φιλίως, εἰς λοιδορίας αὐτοὶ τραπόμενοι καὶ ὕβρεις. τὸ μὲν
γὰρ μὴ καταπλήττεσθαι τοὺς ἐπιόντας ἀλλ᾽ ἐγκαρτερεῖν ἀμυ-
νομένους, ἀνδρίας ἄν τις τιθείη· τὸ δὲ ὑβρίζειν τε καὶ κομ- B
πάζειν ἀπὸ τῶν τειχῶν, καὶ θράσους καὶ παρανοίας. διὸ καὶ
συμβουλεύσαιμι ἂν ὑμῖν, εἴγε πείθησθε, ἀνδρίᾳ μὲν καὶ τόλμῃ
καὶ χειρὸς ἔργοις ἀνθίστασθαι τοῖς πολεμοῦσι, λόγοις δὲ σω-
φρονεῖν. οὐ γὰρ ἡ ἀπὸ τῶν λόγων ἀκολασία, ἡ διὰ τῶν ἔργων
δὲ ἐμπειρία καταπλήττει τοὺς ἐπιόντας. δοριαλώτους μὲν οὖν
γενομένους ὑμᾶς, ᾗ βουλοίμεθα ἔξεστι χρῆσθαι νόμῳ πολέ-
μου· ἐγὼ δὲ οὐκ ἐπὶ κακῷ τῶν Ῥωμαίων στρατεύων, ἀφίημι
ἐλευθέρους. εἰ μὲν οὖν ὑπ᾽ ἐμοὶ στρατεύεσθαι βούλεσθε, προ-
νοίας τε ἀξιώσω τῆς προσηκούσης, καὶ τοῖς οἰκειοτάτοις ἐντά-
ξω· εἰ δ᾽ οἴκαδε ἀπελθεῖν, καὶ οὕτως εὖ ποιήσας ἀποπέμψω."
Προσκυνήσαντες δὲ οἱ στρατιῶται καὶ τῆς εὐεργεσίας χάριν C
εὐφημήσαντες πολλὰ, καιρὸν ἐξῄτησαν εἰς διάσκεψιν. διασκε-
ψάμενοι δὲ, τῶν ἱππέων μὲν ἔμειναν ὀλίγοι, τῶν πλειόνων

armaturae gravis desideratus est, et eum a Latino quodam secundum pugnam interemptum, quippe a quo ipse cum aliis multis esset vulneratus; utrimque tamen vulnerati non pauci. Victores Byzantinis equitibus iuxta ac peditibus vincula iniecerunt. Tertio die captivis militibus in medium produci iussis, imperator ad eos huiuscemodi verba locutus est: Neque prudenter, neque e re vestra factum, quod a nobis amice appellati, convitia et iniurias reposuistis. Nam hoste instante non percelli, sed constanti animo se defendere, hoc virtuti: alios autem maledictis incessere et crepare magniloqua de moenibus, confidentiae et amentiae adscribitur. Quare si me audiatis, fortiter audendo et manu prompta hostem reprimetis, verbis moderabimini: quando non verborum petulantia, sed ipse factorum sensus invadentem terrificat. Iam in vos captivos statuere lege bellica licet. Verum ego, qui meis armis officere Romanis minime quaero, vos libertate dono. Si sub signis meis militare vultis, mihi, ut decet, curae eritis, et vos inter familiarissimos recipiam: sin domum redire, etiam sic benigne dimittam. Milites imperatorem venerati eiusque meritum multis laudibus prosecuti, spatium ad deliberandum petiverunt. Re deliberata, pauci equites manserunt: pedites ferme omnes sub eo merere instituerunt: quos annuo de-

A.C. 1322 ἀπελθόντων· οἱ πεζοὶ δὲ πλὴν ὀλίγων ἅπαντες εἵλοντο δουλεύειν τῷ βασιλεῖ. οἷς καὶ μισθὸν ἐτήσιον τάξας, ἐνέγραψε τοῖς οἰκέταις· τοὺς δ' ἀπελθόντας ἐφωδίασε χρυσίῳ. ὁρῶν δὲ τὸν ἄλλον ὅμιλον τῶν Ἀπρίων, ἄνδρας ὁμοῦ καὶ γυναῖκας καὶ παῖδας γυμνοὺς καὶ ἀπόρους περιϊόντας καὶ ὀλοφυρομένους τὴν ἀποστέρησιν τῶν ὄντων, τοὺς λογάδας τῆς στρατιᾶς πάν- D τας καὶ τοὺς ἐν τέλει συναγαγὼν, „δίκαιόν ἐστιν" ἔφη „πολλοῖς καὶ μεγάλοις σήμερον εὐηργετηκότος ἡμᾶς τοῦ θεοῦ, καὶ αὐτοὺς ἀξίους τῆς εὐεργεσίας φανῆναι. τὸ γὰρ μήτε τὴν ἐγκαθεστῶσαν πολλήν τε καὶ ἀξιόμαχον οὖσαν στρατιὰν, μήτε τὴν ἀσφάλειαν καὶ τὸ ὕψος τῶν τειχῶν, μήτ' ἄλλο μηδὲν ἐμπόδιον ἡμῖν γενέσθαι πρὸς τὸ μὴ τοὺς αὐθάδεις τουτουσὶ τιμωρήσασθαι καὶ ὑβριστὰς, οὐκ ἄλλου τινὸς ἢ τῆς τοῦ κρείττονος εὐεργεσίας ἄν τις λογίζοιτο δικαίως· τὸ δ' αὖθις ἐν οὕτω καρτερᾷ τειχομαχίᾳ καὶ ἁλώσει πόλεως μήτε ἡμῶν τινὰς, ὅπερ ἦν εἰκὸς, ἀποθανεῖν, μήτε τῶν ἑαλωκότων ἀποκτείναντας ὁμοφύλοις αἵμασι χρανθῆναι, τῆς πολλῆς περὶ ἡμᾶς προνοίας καὶ κηδεμονίας τοῦ θεοῦ. χρὴ τοιγαροῦν καὶ ἡμᾶς νικήσαν- P. 89 τας ἐπικαμφθῆναι ταῖς συμφοραῖς τῶν ἀτυχησάντων, (πρὸς μὲν γὰρ τοὺς βαρβάρους ἄχρι παντὸς πολεμεῖν δεῖ· πρὸς δὲ τοὺς ὁμοφύλους ἄχρι τοῦ κρείττονος,) καὶ μεταδοῦναι ἕκαστον ἐκ τῶν λαφύρων καθ' ὅσον ἂν αἱροῖτο τοῖς αἰχμαλώτοις. τρία γὰρ τὰ μέγιστα κερδανεῖτε· θεόν τε ἵλεων ἑαυτοῖς προπαρασκευασάμενοι, τὸν εἰς τοὺς ἀτυχοῦντας ἔλεον οἰκειούμενον καὶ

creto stipendio, in album suorum retulit, et discedentibus aliis aurum in viaticum contulit. Cum autem conspiceret Apriorum turbam viros simul ac mulieres, item pueros paene nudos, omnium egenos ambulantes, seque bonis suis despoliatos lamentantes, ducibus et nobilibus advocatis: Iustum est, inquit, cum hodierno die tot et tam insignibus a Deo beneficiis ornati simus, ut iisdem digni videamur. Etenim quod neque tam magna et nostro Marti conferenda manus intus, neque tam alta ac tuta moenia, neque aliud quidquam impedimento nobis fuit, quo minus arrogantes istos et protervos ulcisceremur, nullius nisi divini numinis liberalitati iure tribuendum est. Rursus in tam infesta oppugnatione et urbis occupatione nostrum neque quemquam, ut consentaneum erat, cecidisse, neque per caedem ullius captivorum civili sanguine pollutum esse, egregiam erga nos Dei providentiam curamque significat. Itaque et nos victores miserorum calamitatibus ad misericordiam inflecti oportet, (contra barbaros sane bello internecino pugnandum: contra populares autem usque dum vincas,) et pars de praeda captivis a quolibet, quantam voluerit, restituenda est. Tria enim bona maxima hinc vobis lucro apponentur; Deum propitium habebitis, qui in afflictos navatam misericordiam, tamquam sibi praestitam, repu-

τῇδέ τε πολλαπλασίοσι καὶ ἀπαλλάξαντας τοῦ βίου ἐπαγγελλό- A. C. 1322 μενον ἀμείβεσθαι· καὶ τὴν ἡμετέραν εὐμένειαν προσκτώμενοι, περὶ πλείστου ποιουμένου τὴν εὐεργεσίαν τῶν αἰχμαλώτων· V. 72 καὶ τρίτον ὑμῖν ἑαυτοῖς ἀνδρίας ἅμα καὶ μεγαλοψυχίας δόξαν περιποιούμενοι, ἀνδρίᾳ νικήσαντες τοὺς ἀντιτεταγμένους, ἐλευ- B θερίᾳ δὲ γνώμης καὶ μεγαλοψυχίᾳ οὐχ ὡς πολεμίοις, ἀλλ' ὡς ὁμοφύλοις καὶ ἀτυχοῦσι τὴν δυνατὴν πρόνοιαν εἰσενεγκόντες." τοιαῦτα παραινέσαντος τοῦ βασιλέως, οὕτω διετέθησαν ἡ στρατιὰ, ὡς πάντας μὲν ἐκ τῶν λαφύρων μεταδοῦναι τοῖς Ἀπρίοις· ὅσοι δὲ καὶ πρὸς τὸ ἀγαθοεργεῖν ἐφιλοτιμοῦντο, τοὺς δεσπότας ἀνερευνήσαντες τῶν παρ' αὐτοῖς λαφύρων, ἀπέδοσαν πάντα, μηδενὸς ἀποστερήσαντες.

λ'. Ἓξ δὲ ἡμέραις μετὰ τὴν ἅλωσιν ἐνστρατοπεδευ- C σάμενοι Ἄπρῳ, τῇ ἑβδόμῃ ἄραντες ἐστρατοπέδευσαν ἐν Γαρέλλῃ. οἱ ταύτην δὲ οἰκοῦντες, εἴτε καὶ εὐνοϊκῶς διακείμενοι πρὸς τὸν νέον βασιλέα, εἴτε καὶ παρὰ τῶν Ἀπρίων διδαχθέντες σωφρονεῖν, ἅμα τῷ προσκληθῆναι προσεχώρησαν τῷ νέῳ βασιλεῖ καὶ παρέδοσαν ἑαυτοὺς ἀμαχεί. πολλαῖς δὲ ἀμειψάμενος αὐτοὺς ὁ βασιλεὺς εὐεργεσίαις, ἄρας ἐκεῖθεν, ἦλθεν εἰς Ῥαιδεστόν. προσχωρησάντων δὲ καὶ Ῥαιδεστη- D νῶν, ἐπεὶ καὶ πρὸς αὐτοὺς τὴν εἰς τὸ εὐποιεῖν ἐπεδείξατο φιλοτιμίαν, ἦλθεν εἰς Σεργέντζιον· προσχωρήσαντος δὲ καὶ αὐτοῦ, τὴν πρὸς Σηλυβρίαν ᾔει, Σηλυβριανοὺς ὧν ἕνεκα τῆς εἰς αὐτὸν εὐνοίας παρὰ τῆς ἐκ Βυζαντίου στρατιᾶς ἐζημίωνται τοῦ χειμῶνος τὴν χώραν κατατρεχόντων, εὐεργεσίαις

tat atque in hac vita longe pluribus et post obitum remunerari promittit; deinde nostram quoque amicitiam assequemini, quibus nihil est antiquius, quam de captivis bene mereri; postremo fortitudinis et magnanimitatis gloriam vobis ipsi parietis: illius, quoniam hostes debellastis: huius, quoniam ingenua et excelsa mente non ut hostes male multastis; sed tamquam civibus et cognatis, quam licuit, curam adhibuistis. Hac cohortatione adeo permotus est miles, ut nemo non aliquid de praeda redderet. Qui vero benefacere gloriosum sibi ducebant, inquisitis dominis quidquid adepti fuissent spoliorum, nihil sibi retinentes, fideliter restituebant.

30. Diebus omnino sex ab oppido recepto Apri commoratus, septimo ad Garellam castra posuit. Cives sive quod ceteroqui imperatorem diligerent, sive quod Apriorum malo docti saperent, simul atque invitati sunt, in eius fidem pacifice transierunt. Quibus ample gratiis relatis, Rhaedestum perrexit. Dedentibus se perinde Rhaedestenis, declarato illis quoque ardenti benefaciendi studio, Sergentzium progressus est. Quo etiam se tradente, iter Selybriam convertit, Selybrianis propter fidem erga se a militibus Byzantinis, per hiemem fines eorum incursantibus, detrimentis affectis, gratias

A.C. 1322 καὶ εὐχαριστίαις ἀμειψόμενος. ἐγγὺς δὲ Σηλυβρίας γενομένοις ἔδοξε καταβάντας τῶν ἵππων διαναπαύσασθαι μικρόν. στρατοπεδεύονται δὴ παρὰ τῷ φρουρίῳ Σάκκων, πολεμίῳ μὲν ὄντι διὰ τὸ Συργιάννῃ μὲν προσχωρῆσαι, καὶ τοὺς ἐκ Βυζαντίου στρατιώτας ἐπὶ τῷ Σηλυβριανοὺς ὑπερδέχεσθαι κατατρέχειν· P. 90 καταφρονουμένῳ δὲ ἄλλως διά τε τὴν ὀλιγότητα καὶ ἀπειρίαν τῶν ἐνοικούντων, (ἀγρόται γὰρ ἦσαν πάντες γηπόνοι,) καὶ τὴν φαυλότητα τῶν τειχῶν. οἱ δ' ἐν αὐτῷ τῷ φρουρίῳ ἐγκεκλεισμένοι, ὥσπερ ἀγνοήσαντες ἑαυτοὺς καὶ τῶν περικειμένων ὡς οὐδενῶν καταφρονοῦντες, ὕβριζόν τε ἀπὸ τοῦ τείχους καὶ πολλὰς κατέχεον λοιδορίας καὶ βασιλέως καὶ τῶν συνόντων. γελάσας δὲ ἐφ' οἷς ὑβρίζετο ὁ βασιλεὺς, εἰ οἶνος εἴη πολὺς παρ' αὐτοῖς, ἐπυνθάνετο τῶν παρόντων· τῶν δὲ οὐδ' ἀρκούντως εὐπορεῖν ὕδατος ἀποκριναμένων, „οὐκοῦν" ἔφη „τῶν μελαγχο- B λᾶν ποιουσῶν ἐνεπλήσθησαν βοτανῶν." κελεύσας δὲ αὐτοῖς τινα παραινέσαι καὶ σωφρονεῖν καὶ σιγᾷν, αὐτὸς ἅμα τοῖς ἄρχουσι πρὸς ἐπίσκεψιν ἐξῄεσαν τῶν σκοπῶν. οἱ δὲ δυστυχεῖς ἐκεῖνοι Σάκκιοι οὐδὲν μᾶλλον ὑφίεσαν τῶν ὕβρεων καὶ τῶν φωνῶν, ἀλλ' ἐχρῶντο πάσῃ δυνάμει. τὸ δὲ τῶν στρατιωτῶν οἰκετικὸν πρὸς τὴν ὑπερβολὴν τῶν ὕβρεων ἀχθεσθέντες, αὐτοῖς ἠξίουν τοὺς δεσπότας ἐπιτρέψαι τὸ ἔργον. ἐπιτρεψάντων δὲ αὐτῶν, ἐπιδραμόντες εἷλον αὐτοβοεὶ, πανταχόθεν ὑπερβάντες τὸ τεῖχος, (ἦν γὰρ εὐάλωτον,) τοῖς προστυχοῦσι χρησάμενοι ξύλοις

acturus et beneficia remensurus. Urbi appropinquantibus, placuit ab equis descendere, et super herba viridi paululum requiscere. Iuxta castellum igitur Saccos castrametantur, hostile quidem, (nam a Syrgianne stabat, Byzantinumque militem ad Selybrianos per eruptionem vexandos susceperat,) cetera contemnendum, quod ipsum per se exiguum: quod incolae rudes ac imperiti, (omnes siquidem erant rustici,) quod muri humiles ac demissi. Qui igitur intus se incluserant, uti semet ignorantes quique sibi imminebant contemnentes ut nullius pretii, de muro cum insolentia voces contumeliosas identidem contra imperatorem eiusque copias effundebant. Qui renidens ad convitia, ab astantibus quaerebat, multumne apud eos vini esset; illis respondentibus, ne aquae quidem satis: Itaque, subiecit, herbis insaniam generantibus se ingurgitarunt. Tum eos admoneri iubet, uti se modeste gerant et linguas contineant; et cum principibus exercitus ad metas speculandas digreditur. At infelices illi Saccii nihilo magis de protervitate et maledictis remittere: sed omnem in iis facultatem experiri. Iniuriarum magnitudine offensa gravius militum servitia dominos rogant, uti ipsis negotium vindicandi committant. Impetrant, et primo impetu, truncis ac trabibus obviis loco scalarum usi, muros, quod facile fuit, occupant et ad diripiendos indigenas discurrunt. Forte in casa quadam ignis

ἀντὶ κλιμάκων, καὶ πρὸς διαρπαγὴν ἐτράποντο τῶν ἔνδον. A. C. 1322
εἴσω δὲ μιᾶς οἰκίας ἀνημμένου πυρὸς, ἀνελθόντων ἐπ' αὐτὴν V. 73
πολλῶν, κατέπεσε τὸ τέγος ἐπὶ τοῦ πυρός· ἐκ χόρτων δὲ ξηρῶν
οὔσης ἐστεγασμένης, φλὸξ ἀνήφθη παραχρῆμα λαμπρὰ, εὐ-
θὺς δὲ προσεπελάβετο καὶ τῶν ἄλλων· ἦσαν γὰρ ὁμοίως αὐτῇ
κατεσκευασμέναι. πύλης δὲ οὔσης τῷ φρουρίῳ μιᾶς, ἐπεὶ καὶ
αὐτὴ διὰ τὸν φόβον παρὰ τῶν ἐνοικούντων ἀπῳκοδομήθη, ἄλ-
λως θ' ὅτι καὶ ἡ πρώτως ἀναφθεῖσα οἰκία παρ' αὐτῇ ἦν, οἱ
μὲν τῶν εἰσελθόντων, ἅμα δὲ καὶ τῶν ἐποίκων τοῦ χωρίου ὡς
εἶχον ἐπὶ τὸ τεῖχος ἀνελθόντες, ἐξέπιπτον ῥίπτοντες ἑαυτοὺς
ἡμιφλεγεῖς· οἱ δὲ ἅμα τοῖς κατοικοῦσι τὸ χωρίον ἀνθρώποις
τε καὶ κτήνεσιν ὑπὸ τοῦ πυρὸς ἐναπειλημμένοι, οὐκ ἔχοντες ὅ, D
τι χρήσωνται, πρὸς ὀλοφυρμοὺς ἐτράποντο καὶ οἰμωγάς. καὶ
ἦν δακρύων ἄξιον τὸ γινόμενον, ἀνθρώπων ὁμοῦ καὶ βοσκημά-
των ἐπὶ τῇ καύσει βοώντων τε καὶ ὀλοφυρομένων. ἡ στρατιὰ
δὲ πᾶσα καὶ βασιλεὺς αὐτὸς ἅμα τοῖς ἐν τέλει τῶν ἄλλων ἀμε-
λήσαντες, περιέστησαν τὸ φρούριον προθυμούμενοι βοηθεῖν,
μὴ δυνάμενοι δὲ, (πάντων γὰρ ἤδη ἐπελάβετο τὸ πῦρ,) εἰς θρή-
νους ὑπὸ συμπαθείας ἐτράπησαν καὶ αὐτοί. ἀνάλωνται δὲ ὑπὸ
τοῦ πυρὸς ἀπὸ μὲν τῶν ἔξωθεν εἰσελθόντων ἕξ· γυναῖκες δὲ καὶ
παῖδες καὶ οἱ ἔξωροι τῶν τὸ χωρίον κατοικούντων τρεῖς καὶ
εἴκοσι καὶ ἑκατόν· καὶ βοσκήματα καὶ ἡ ἄλλη περιουσία ὅσα P. 91
ἦν. ἐλύπησε μὲν οὖν οὐ μετρίως τὸ τοιοῦτον πάθημα τὸν βα-
σιλέα· ἀναστὰς δὲ ἐκεῖθεν ἦλθεν εἰς Σηλυβρίαν· καὶ ὧν ἕνεκα

luculentus ardebat: quam cum multi conscendissent, tectum ex cespite arefacto contextum in focum decidit: quo casu de subito exsuperantibus flammis, ad contiguas aedes similem in modum aedificatas incendium pervasit. Unica erat oppidulo porta, qua propter metum obstructa, et quia domus primo incensa prope erat, nonnulli, qui irruperant, et quidam de colonis ipsis, cum murum quam celerrime poterant, ascendissent, inde se semiustulati praecipites foras dabant. Alii simul cum incolis et iumentis ab ignibus intercepti, nescientes quo se converterent, in gemitus et lamentabiles voces prorumpebant. Et erat profecto res digna lacrimis, acerbitate ustionis hominibus et pecudibus confuse vociferantibus. Totus exercitus ipseque imperator cum ducibus, ceteris posthabitis, oppidulum circumsistebant, ad succurrendum parati. Quod cum nequirent, (iam siquidem ignis omnia aedificia depascebatur,) ipsi quoque prae commiseratione fletum non tenebant. Flammis absumpti sunt de iis, qui deforis per murum se ingesserant, sex: ex habitatoribus autem feminae, pueri et grandiores natu tres et viginti supra centum: insuper animantes et reliqua res familiaris quantacumque. Non mediocriter hoc alieno infortunio moestus imperator, Selybriam ire instituit, ubi transactis quorum causa venerat, Chariopolin remea-

A.C. 1322 ἦλθε διαπραξάμενος ἐκεῖ, ἐπανέζευξεν εἰς Χαριούπολιν, καὶ διέλυσε τὴν στρατιὰν πλὴν χιλίων, οὓς ἐπέταξεν αὐτῷ συνεῖναι, ἐν ἡμέραις ῥηταῖς κελεύσας πάλιν ἀκλήτους πρὸς αὐτὸν ἐπανελθεῖν. ὁ μέντοι τῶν κατὰ τὴν Ῥοδόπην ἐπαρχιῶν στρατηγὸς Παλαιολόγος ὁ μέγας στρατοπεδάρχης τὰς ὑπ' αὐτὸν πάσας πόλεις καὶ τὴν στρατιὰν, ὥσπερ ἔφημεν, ἀπὸ τοῦ νέου
B βασιλέως πρὸς τὸν πρεσβύτερον ἀποστήσας, πάντων μὲν ἴσχυσε καὶ τὰς γνώμας παραστήσασθαι καὶ τῷ πρεσβυτέρῳ βασιλεῖ πεῖσαι προσέχειν· ἕνα δὲ τῶν ἀπὸ τοῦ Δακικοῦ γένους νομάδα Συρμπάνον ὠνομασμένον τῶν ὄντων ἀποστερήσας, ὅτι τῷ νέῳ προσέκειτο βασιλεῖ, πολλαῖς τε αἰκίαις ὑποβαλὼν, δύο τε τῶν ὀδόντων ἐκριζώσας καὶ τὴν παρειὰν κατακαύσας σιδήρῳ, ὡς οὐκ ἴσχυσεν ἀποστῆσαι τοῦ νέου βασιλέως, καθείρξας εἶχεν ὑπὸ κλοιοῖς. οὗτος δὴ τοῦ δεσμωτηρίου τότε διαδρὰς, καὶ πολλοὺς ἑτέρους προσεταιρισάμενος νομάδας ψιλοὺς, καὶ τῇ παρὰ τοῦ νέου βασιλέως ἐνταυθοῖ πεμφθείσῃ τῷ Παλαιο-
C λόγῳ πολεμεῖν συμμίξας στρατιᾷ, ἐπέθετο τοῖς ἐν τῇ Ῥοδόπῃ. ὁρῶντες δὲ οἱ ἐν ταῖς πόλεσι τούς τε ἀγρότας ἐκπολεμωθέντας αὐτοῖς ὁμοῦ πάντας καὶ τὴν στρατιὰν ἐπικειμένην, καὶ δείσαντες μὴ καὶ τῶν ἔνδον ἀπόλωνται στασιασάντων, μεταβαλόντες προσέθεντο τῷ νέῳ βασιλεῖ. καὶ δήσαντες τὸν στρατηγὸν εἶχον ἐν φρουρᾷ, ἄχρις ἂν ὁ βασιλεὺς πυθόμενος περὶ αὐτοῦ ψῆφον ἐνέγκῃ. αὐτοὶ δ' ἅμα Συρμπάνῳ ἧκον ὡς βασιλέα, οἱ μὲν ἀποληψόμενοι γέρα τῆς εἰς αὐτὸν ἐννοίας· ὅσοι

vit missionemque dedit exercitui, mille apud se retentis: mandans uti praefinitis diebus, quamquam non arcessiti, rursus adessent. Verum magnus stratopedarcha Palaeologus, Rhodopes praefecturarum dux, creditas sibi urbes omnes exercitumque, ut supra demonstravimus, a iuniore ad seniorem imperatorem avertere et ad huius obsequium inclinare potuit: unum autem quendam genere Dacum, pecuarium, Syrmpanum nomine, fortunis exutum, quod nepoti faveret, postquam saepe illum fustuario multavit, duos etiam dentes radicitus excussit maxillamque ferro candenti inurendam curavit, nec eum tamen a fide transversum agere valuit, cum manicis in custodiam dedit. Inde cum aliquando effugisset aliosque pastores, armis militaribus nudos, magno sibi numero ascivisset, et copiis ad Palaeologum coërcendum eo missis se immiscuisset, in Rhodopeios ferebatur. Qui erant in oppidis, cernentes agrestes universos contra se conspiratos et instantem imperatori exercitum, timentesque ne intestina seditione excitata pessum irent, commutata sententia ad eum se contulerunt vinctumque ducem in custodia tamdiu habuerunt, quoad, re intellecta, imperator de eo certum statueret: ipsi cum Syrmpano ad illum profecti sunt; pars ut praestitae benevolentiae praemium adipisceretur: quotquot autem a seniore prius fecerant, ut

δ' ἦσαν πρότερον τῷ πρεσβυτέρῳ προστεθειμένοι βασιλεῖ, ἐξαι- A.C. 1322
τήσοντες συγγνώμην. ὁ βασιλεὺς δὲ τῶν μὲν ἀφεστηκότων κα-
θαψάμενος μετρίως ὡς ἀγνωμόνων περὶ αὐτὸν εὖ δράσαντα
φανέντων, παραγγείλας τε μὴ εὐχερεῖς ἔτι πρὸς τὰς ἀποστα- D
σίας καὶ τὰς παραβάσεις τῶν ὅρκων εἶναι, αὐτός τε ἀμνη-
στήσειν ὧν αὐτοῖς ἡμάρτηται εἰπὼν, ἠξίωσε συγγνώμης· μετὰ V. 74
μικρὸν δὲ καὶ εὖ ποιήσας, οἴκαδε ἐπέταξεν ἀπιέναι. τοὺς
δὲ τῇ εἰς αὐτὸν ἐμμείναντας πίστει ἐπαινέσας τε ἅμα καὶ
δωρεαῖς ἀμειψάμενος ἀξίως, ἐξαπέστειλε μὲν αὐτοὺς, στρα-
τηγὸν αὐτοῖς ἐπιστήσας τὸν Ταρχανειώτην δομέστικον, ᾧ ἐπε-
τέτραπτο τὸν μέγαν στρατοπεδάρχην δεσμώτην ὡς βασιλέα
ἀποστεῖλαι. εἰς τὴν ὑστεραίαν δὲ ὁ Συρμπάνος ἐπὶ τοῦ βα-
σιλέως ἑστηκὼς, ἐδόκει βούλεσθαί τι πρὸς βασιλέα εἰπεῖν.
συνεὶς δὲ ὁ βασιλεὺς, εἴ τι βούλοιτο ἐκέλευε λέγειν. ὁ δ'
ἅμα τῷ προσταχθῆναι πρὸς τοὔδαφος ἑαυτὸν καταβαλὼν,
συγγνώμης ᾔτει τυχεῖν, εἰ συβώτης ὢν καὶ βάρβαρος καὶ P. 92
ἀγροῖκος, ἐτόλμησε φθέγξασθαί τι πρὸς βασιλέα. τοῦ βασι-
λέως δὲ προστάξαντος λέγειν δεδοικότα μηδὲν, ὑπὲρ τοῦ με-
γάλου ἐδεῖτο στρατοπεδάρχου, ὥστε καὶ αὐτὸν ἐφ' οἷς εἰς
βασιλέα ἥμαρτε, τοὺς κατὰ τὴν Ῥοδόπην ἀποστήσας, τυχεῖν
συγγνώμης. τοῦ βασιλέως δὲ ἐρομένου, εἰ πρὸς εἰρωνείαν ἢ
πρὸς ἀλήθειαν τυχεῖν δεῖται· ὁ δ' ἔφασκε, πρὸς ἀλήθειαν,
καὶ ὅρκον προσετίθει πίστεως χάριν· δέον δ' εἶναι, εἴ τι καὶ
ἥμαρτε, προσήκοντα πρὸς γένους ἀξιῶσαι συγγνώμης. „ἐπι-
λέλησαι δ'" εἴρηκεν αὖθις ὁ βασιλεὺς „ὅσα σε εἴργασται κα- B

delicti gratiam impetrarent. Quos imperator, ut adversus se bene meritum ingratos verbis mollibus castigavit: et praecipiens, ne de cetero ad defectionem et sacramentum violandum faciles essent, offensionumque oblivionem promittens, venia est impertitus et paulo post humaniter domum abire iussit. Qui autem in fide perstitissent, eos quoque pro dignitate collaudatos et donis donatos dimisit, duce illis praefecto Tarchaniota domestico, cui mandatum erat, uti magnum stratopedarcham imperatori vinctum mitteret; coram quo altero die astans Syrmpanus quippiam illum velle videbatur. Quo animadverso, Dic, ait, si quid habes. Syrmpanus statim se humi abiiciens petere, ut sibi ignosceretur, si subulcus et barbarus et rusticus imperatorem verbo appellare auderet. Iussus ut omni timore deposito loqueretur, pro magno stratopedarcha orare occoepit, ut ei ipsi, quod Rhodopeios a fide in dominum suum abduxisset, ignosceretur. Percunctante imperatore, simulatene, an vere et ex animo ita rogaret, Vere, inquit; et ad confirmationem iuramentum adiecit, addiditque, ex officio esse, quamquam peccasset, tamen ut cognato veniam non negare. Rursum imperator: An tu oblitus es, quibus et quot malis ille te mactaverit? Bona tibi, liberos et uxorem

A.C. 1322 κὰ, ἀποστερήσας μὲν τῶν ὄντων καὶ παίδων καὶ γυναικὸς, ἔτι δὲ καὶ ὀδόντων αὐτῶν, πολλαῖς τε αἰκίαις καταξάνας τὸ σῶμα, καὶ τέλος ὥσπερ τινὰ τῶν ἐπὶ δεινοτάτοις ἑαλωκότων τὴν παρειὰν κατακαύσας σιδήρῳ ὡς μηδὲ τὰς οὐλὰς ἐξαλειφθῆναι δύνασθαι; ὅλως δὲ τί σε τὸ πεῖσάν ἐστιν ὑπὲρ ἐκείνου δεῖσθαι;" „τί δ' ἂν εἴη μεῖζον" ἔφασκεν „ὦ βασιλεῦ, ἢ τὸν οὔπω χθὲς καὶ πρώην ἐν τοῖς δουλεύουσιν ἐκείνῳ τεταγμένον, νῦν εἰς τοσοῦτον ἥκειν περιφανείας, θεοῦ καὶ σοῦ, βασιλεῦ, εὐηργετηκότος, ὡς καὶ τοὺς βασιλεῖ προσήκοντας C κατὰ γένος ἐξαιτεῖσθαι δύνασθαι, καὶ τῶν προσδοκωμένων ἀπαλλάττειν κακῶν;" θαυμάσας δὲ ὁ βασιλεὺς τὴν ἐπὶ τοῖς κακοῖς ἀμνηστίαν τοῦ βαρβάρου, „εἰ σύγε" ἔφη „τοσαῦτα ὑπ' αὐτοῦ ἀδικηθεὶς καὶ κακῶς παθὼν, βάρβαρος ὢν καὶ φαῦλος τὴν τύχην, τοῖς ἐναντίοις ἀμείβῃ ὅσον ἔξεστι ποιῶν εὖ, οὐδ' ἐμὲ δίκαιον μετριώτερα ἀδικηθέντα, βασιλέα τε ὄντα, ἀπαραίτητον ὀφθῆναι πρὸς ὀργήν. τοίνυν καὶ τῆς σῆς ἱκετείας ἕνεκα τὰ ἡμαρτημένα παρορῶν, ἀξιῶ συγγνώμης." εὐχαριστήσας δὲ ὁ βάρβαρος ἐπὶ τούτοις, καὶ πολλάκις ἐπευφημήσας τὸν βασιλέα, καὶ δευτέραν δέησιν προσετίθει, τὸ τὸν αὐτὸν μήτε τῆς ἀξίας ἀποστερηθῆναι μήτε τῶν προσόδων καὶ τῶν D δωρεῶν τῶν βασιλικῶν. ἔτι δὲ μᾶλλον τὴν ὑπὲρ τοῦ ἠδικηκότος σπουδὴν θαυμάσας ὁ βασιλεὺς, καὶ ταύτην τὴν δέησιν ἐπλήρου. ἔτι δὲ αὐτοῦ πρὸς τοὺς πόδας βασιλέως κειμένου, τὰ τῆς συγγνώμης γράμματα διαχαραχθέντα καὶ τῇ βασιλικῇ πιστωθέντα χειρὶ ἐπεδόθησαν αὐτῷ· ὁ δὲ λαβὼν

eripuit, dentes excussit, plagis multis corpus tuum dilaceravit, ad extremum maxillam ferro, ut atrocissimorum scelerum damnato, ustulavit, ac perpetua cicatrice deformem reliquit. In summa, cedo, quid te movit, ut eius causam ageres? Quid vero maius, inquit, quam qui paulo ante in servis illius censebatur, cum nunc Dei concessu ac tuo munere in tantam claritatem venire, ut deprecatione sua etiam cognatos imperatoris formidato supplicio eximat? Admirans imperator, sic eum delesse iniuriarum memoriam, Si tu, ait, tam iniqua et infanda ab illo passus, homo barbarus, sorte infimus, nihilo minus quantum in te est, mala bonis compensas, me minora passum et imperatorem, inexorabilem iram fovere non decet. Igitur vel te deprecatore in me commissa negligens, ecce veniam illi tribuo. Actis gratiis et iterum iterumque dictis imperatori laudibus, barbarus denuo petit: nempe ut idem stratopedarcha nec honore, nec reditibus, nec bonis imperatoriis excidat. Tantum studium erga noxium amplius suspiciens imperator, etiam hoc annuit; et adhuc ad pedes eius iacenti testimonium datae veniae in pittacio exaratum, et, ut mos est, fidei ergo imperatoris manu addita,

καὶ τὴν γῆν κατασπασάμενος, ἐφ' ἧς ὁ βασιλεὺς εἱστήκει, A.C.1322 χαίρων ἀπῆλθε.

λά. Τῆς αὐτῆς δὲ ἡμέρας ἐκ Θεσσαλονίκης ἄγγελος ἐλ- P.93 θὼν ἀπήγγειλε βασιλεῖ, ὡς στάσεως ἐν αὐτῇ γενομένης, οἱ V.75 τῷ νέῳ βασιλεῖ προσκείμενοι ὑπερσχόντες, Θεσσαλονίκην περιεποίησαν αὐτῷ· τὸν δεσπότην δὲ Κωνσταντῖνον εἰς τὸ περὶ B αὐτὴν φροντιστήριον τὸ Χορταΐτου διαδράντα, κατασχόντες ἔχουσιν ἐν φρουρᾷ. ὁ βασιλεὺς δὲ εὐθὺς τοὺς ἄξοντας αὐτὸν ἔπεμψεν εἰς Θεσσαλονίκην, ὅρκοις πρότερον αὐτοὺς κατασχὼν, ὡς οὔτ' αὐτοὶ ἑκόντες, οὔθ' ἑτέροις παραχωρήσουσι τὸν δεσπότην ἀποκτεῖναι. οἳ καὶ ἀπελθόντες ἤγαγον αὐτὸν εἰς Διδυμότειχον μοναχῶν ἠμφιεσμένον σχῆμα· περιεβάλετο δὲ αὐτὸ καὶ πρὶν αὐτοὺς εἰς Θεσσαλονίκην ἐλθεῖν δέει τοῦ μὴ ἀποθανεῖν. συνῆλθον δὲ αὐτοῖς πρὸς τὸν νέον βασιλέα τῶν Θεσσαλονικέων καὶ τῆς συγκλήτου καὶ τῆς στρατιᾶς πολλοὶ, καὶ ὁ τῆς κατ' αὐτὴν ἐκκλησίας πρόεδρος Ἱερεμίας, καὶ Γεράσι- C μος ὁ τῆς κατὰ τὸ ἱερὸν ὄρος τὸν Ἄθω ἐξηγούμενος λαύρας. ἡ μέντοι περὶ τὸν νέον ἠθροισμένη βασιλέα στρατιὰ, ἀταξίᾳ στρατιωτικῇ χρησάμενοι, ὀλίγου δεῖν κατέκοψαν ἂν τὸν δεσπότην, εἰ μὴ αὐτὸς ἐῤῥύσατο παρὼν ὁ βασιλεύς· ἐκέλευσε δὲ εἱρχθῆναι. τισὶ δὲ ὕστερον ἡμέραις ὁ δεσπότης διά τινος ἐδεῖτο τοῦ νέου βασιλέως, ἅμα καὶ πολλὰς χάριτας ὁμολογῶν, ὅτι δι' αὐτὸν οὐκ ἐτεθνήκει, ὡς ἐπεὶ καθ' ὁποιονδήτινα τρόπον τὸ τῶν μοναστῶν περιεβάλετο σχῆμα, καὶ τὰ νενομι-

praebetur: quo accepto, vestigia imperatoris exosculatus, cum laetitia recessit.

31. Eodem die Thessalonica veniunt nuntii, factionibus ibidem natis, ab eo stantes vicisse urbemque illi subiecisse: Constantinum despotam in monasterium Chortaetum, civitati vicinum, confugisse: comprehensum custodia detineri. Imperator confestim Thessalonicam mittit, qui hominem adducant; prius iureiurando adstrictos, neque se despotam occisuros, neque aliis occidendum permissuros. Profecti, in schemate monastico, quo se mortis metu velaverat, antequam illi Thessalonicam aspirarent, Didymotichum perducunt. Prosequebantur cum Thessalonicensium et de senatu et de militibus complures, atque etiam ecclesiae illius antistes Ieremias: item Gerasimus, laurae, quae est in Atho sancto monte, praefectus. Parum vero abfuit, quin stipatores imperatoris audacia militari despotam in frusta concidissent, nisi illum praesentia sua imperator conservasset. Praecepit autem in carcerem tradi. Praeteritis diebus aliquot, despota hominem certum ad imperatorem allegans, gratias agit, quod se e faucibus fati eripuerit: et simul rogat, quoniam modo quodam monachi habitum cepisset, etiam legitima monastices instituta sibi exsequi liceret, ne coactus, sed libens eum cepisse videretur. Impe-

A. C. 1322 σμένα ἐπ' αὐτῷ τελεσθῆναι πάντα, ὡς ἂν μὴ δοκοίη βίᾳ, ἀλλ' ἑκὼν περιβεβλῆσθαι. ὁ βασιλεὺς δὲ ὑποπτεύσας μὴ βίου D μεταβολῆς ἐπιθυμίᾳ, ἀλλ' ὅπως ἀπολυθείη μὴ εἵργεσθαι, τοιαῦτα αἰτεῖν, τὸν Θεσσαλονίκης πέμψας μητροπολίτην καὶ τὸν τῆς λαύρας ἐξηγούμενον Γεράσιμον, οὐχ ἁρμόζοντα αἰτεῖν αὐτὸν μεμήνυκεν ἐν τῷ παρόντι· τὸ μὲν γὰρ μὴ κακῶς ὑπὸ τῶν φρουρούντων πάσχειν, ἀλλ' ἀναπαύλης ἀπολαύειν, ἐξέσται, τὸ δὲ ἀπολυθῆναι τῆς εἱρκτῆς, ἀδύνατον τὸ νῦν εἶναι· διὸ μηδὲ τοιαῦτα δεῖσθαι. ὁ δ' ἔτι μᾶλλον ἐδεῖτο περὶ τῶν αὐτῶν, τῶν ἱερῶν ἐκείνων ἐπιλαβόμενος ἀνδρῶν, ὡς οὔτε πρὸς ὑπόκρισιν, οὐδὲ πρὸς ἀνάγκην, ἀλλ' ἀληθείᾳ μᾶλλον τὴν πρὸς τὸν τοιοῦτον βίον αἱρούμενος μεταβολήν. ἃ δὴ καὶ πυθόμενος παρ' αὐτῶν ὁ βασιλεὺς, ἐπέτρεψεν ἃ βούλοιτο ποιεῖν περὶ αὐτοῦ. ἤχθησαν δὲ ἐπὶ τῶν αὐτῶν καιρῶν ἐκ P. 94 Θεσσαλονίκης πρὸς βασιλέα δεσμῶται καὶ οἱ τὴν βασιλίδα Ξένην τὴν τούτου μητέρα, ὅπερ ἔφθημεν εἰπόντες, ἑλκύσαντες βίᾳ, ὅ, τε Παλαιολόγος Κωνσταντῖνος καὶ Ἰωάννης ὁ Ζαρίδης καὶ ὁ πρωταλλαγάτωρ Σεναχηρείμ. ὧν τοὺς μὲν δύο, βασιλέως προστεταχότος, ἐπὶ τῆς δημοσίας ἐθεάτρισαν ἀγορᾶς ἀφῃρημένους τὸ γένειον καὶ τὰς τρίχας τῆς κεφαλῆς· τὸν Παλαιολόγον δὲ ὁ πρωτοστράτωρ ἐξῃτήσατο, ἀνεψιὸν αὐτοῦ ὑπάρχοντα, μὴ ταὐτὸν παθεῖν· εἰς δεσμωτήριον δὲ ἐνεβλήθη. ὀλίγῳ δὲ ὕστερον αὐτόν τε καὶ τοὺς ἄλλους ὁ βα- B σιλεὺς ἠξίωσε συγγνώμης. ἐν τοῖς αὐτοῖς δὲ καιροῖς καὶ οἱ Λήμνιοι τοῦ πρεσβυτέρου βασιλέως ἀποστάντες, ἧκον ἐπὶ

rator suspicione tactus, non desiderio vitae commutandae, sed carceris evadendi hoc ab se peti, metropolitanum et laurae praefectum Gerasimum mittit, qui dicant, illum in praesens haud convenientia petere. Nam, ne a custodibus habeatur male, sed quiete potiatur, hoc illi concessum iri: dimitti nunc e carcere neutiquam posse: proinde id rogare parcat. At despota viros illos sacratos prehensans, idem enixius orare, ut qui non ex hypocrisi aut necessitate, sed sincero potius animo hoc vitae genus delegisset. Quae cum ad imperatorem referrent, quid eo fieri vellet edixit. Eodem tempore Thessalonica adducti sunt in vinculis, qui Xenam imperatoris matrem, ut supra diximus, per vim a Deiparae statua abstraxerant; Constantinus Palaeologus, Ioannes Zaridas et Senacherim protallagator: quorum duo, imperatoris mandatu, abrasa barba et capillis, publice in foro ad spectandum omnibus ignominiae causa sunt propositi; Palaeologum protostrator ut consobrinum precibus suis dedecore prohibuit: sed in carcerem datus est; cui post breve tempus, ut duobus aliis, imperator ignovit. Paulo post et Lemnii ad iuniorem desciscentes venerunt: simul ut eam rem illi nuntiarent;

τὸν νέον, ἅμα τε τὴν ἀποστασίαν αὐτῶν ἀπαγγελοῦντες καὶ A.C. 1322 τὸν ἄρξοντα αἰτήσοντες τῆς Λήμνου. εὐεργετηθέντες δὲ παρὰ V. 76 βασιλέως καὶ ἡγεμόνα λαβόντες ὥσπερ ᾐτοῦντο, οἴκαδε ἐπανῆλθον. τούτων γινομένων, ἐκ Σηλυβρίας ἠγγέλθη τῷ βασιλεῖ, ὡς Περσικὴ στρατιὰ κατὰ συμμαχίαν τοῦ πάππου καὶ βασιλέως ἐκ τῆς ἕω διαβᾶσα, ἅμα τῇ ἐκ Βυζαντίου στρατιᾷ ὅσον οὔπω ἐλεύσονται κατ' αὐτοῦ. ὡς δὲ ἐπύθετο, τὴν μὲν κατὰ τῶν ὁμοφύλων τῶν Περσῶν ἐπαγωγὴν ἐθαύμασε τῶν ἀντιτεταγμένων, αὐτὸς δὲ ὁρμῇ τινι ἀσχέτῳ κατὰ C τάχος ἄρας ἐκ Διδυμοτείχου, εὐθὺ τῆς ἐπερχομένης ᾔει στρατιᾶς, ὡς μαχούμενος ᾗ ἂν συντύχοι. εἰς τρίτην δὲ ἡμέραν ἥ-τε ἐκ Βυζαντίου στρατιὰ ἅμα τοῖς Πέρσαις καὶ βασιλεὺς ὁ νέος μεταξὺ Τζουρουλόης καὶ Σηλυβρίας συνῆλθον. συνιδόντες δὲ οἱ Πέρσαι καὶ οἱ ἐκ Βυζαντίου Ῥωμαῖοι ὡς οὐδὲ ἀντιβλέψαι δυνήσονται πρὸς τὴν μετὰ βασιλέως στρατιὰν, οὐδὲ παρατάξασθαι ὑπομείναντες οὐδὲ πλησίον ἐλθεῖν, ἀλλ' ἔτι ποῤῥωτέρω ὄντες, μεταστραφέντες ἔφευγον κατὰ κράτος, ἰδίᾳ μὲν οἱ Πέρσαι, ἰδίᾳ δὲ οἱ Ῥωμαῖοι. ὁ βασιλεὺς δὲ φεύγοντας ἰδὼν, καὶ αὐτὸς εἰς δύο τὸ στράτευμα διελὼν, ἐκέλευε διώκειν. ἐπιπολὺ δὲ τῆς διώξεως γενομένης, ὡς ἤνυον οἱ διώκοντες οὐδὲν, (ἦσαν γὰρ οἱ φεύγοντες οὐκ ἐν ἐφικτῷ,) οἱ D μὲν τρεῖς τῶν Περσῶν ζωγρήσαντες, οἱ δ' ἕτεροι πέντε Ῥωμαίων, ἐπανέστρεψαν, τῶν ἄλλων διασωθέντων· ἵππων δὲ τῶν μὴ δυνηθέντων ἕπεσθαι τῇ στρατιᾷ καὶ σκευῶν στρατιωτικῶν καὶ οἰκετῶν ἐκράτησαν πολλῶν. ἐλθὼν δὲ ὁ βασιλεὺς ἐστρατοπέδευσεν ἐγγὺς Σηλυβρίας. οἱ μέντοι διασωθέντες τῇ

simul ut insulae praefectum ab eo poscerent: qui benefice tractati et praesidem, uti rogaverant, adepti, domum reverterunt. Dum haec aguntur, Selybria nuntiatur, Persas ex oriente ad avum adiuvandum traiecisse et cum Byzantinis coniunctos, mox contra iuniorem venturos. Audito, Persas, alioqui inimicos, ad subsidium adversus homophylos a sene ascitos, incitatissimo impetu et celeriter Didymoticho movens, adventantibus recta obviam procedit, manus conserturus, ubicunque occurrissent. Tertio die Byzantini cum Persis Zurulum inter et Selybriam in eum incidunt. Cum scirent autem se ne intueri quidem imperatoris exercitum ausuros, nec aciem contra instituere, nec propius ferre gradum sustinuerunt: sed procul adhuc distantes, totis viribus in pedes hac Persae, illac Romani se coniecerunt. Conspecta fuga, imperator ipse quoque divisis copiis fugientibus instare iussit. Quod cum diu esset factum et nihil tamen effectum, (fugitores enim illi alas in pedibus habebant,) hi cum tribus Persis, illi cum quinque Romanis, quos vivos ceperant, regrediebantur. Equis vectariis, qui agmen fugiens sequi non po-

A.C.1322 φυγῇ Ῥωμαῖοι καὶ Πέρσαι, εἰς Βυζάντιον πρὸς τὸν πρεσβύ-
τερον βασιλέα ἐλθόντες, ἀπήγγελλον τὴν ἧτταν. ἅμα δὲ καὶ
ναῦς οἱ Πέρσαι πρὸς τὴν διάβασιν ᾐτοῦντο. βασιλεὺς δὲ ἐπε-
χείρει πείθειν αὐτοὺς μένειν ἐν Βυζαντίῳ· ὡς δὲ οὐκ ἐπεί-
θοντο, αὐτοί τε φάσκοντες κατατριβήσεσθαι μάτην, καὶ βα-
σιλεῖ μηδὲν λυσιτελήσειν ἅμα τοῖς ἄλλοις πολιορκούμενοι Βυ-
P.95 ζαντίοις· μηδὲ γὰρ ἂν ἔξω τειχῶν μὴ ὅτι γε αὐτοὺς ἀλλ'
οὐδ' αὐτὸν ἂν τὸν ἀρχισατράπην αὐτῶν ἅμα τῇ ὑπ' αὐτὸν
πάσῃ δυνάμει πρὸς τὸν νέον ἀντιτάξασθαι δυνήσεσθαι βασι-
λέα. καὶ τῶν παρατυχόντων ὡς ἀληθῆ λέγουσιν ἅμα συνειπόν-
των Ῥωμαίων, ναῦς λαβόντες, ἐπεραιώθησαν πρὸς τὴν ἕω.

B λβʹ. Ὡς δ' ἥ τε ἐκ τῆς Περσικῆς συμμαχίας τοῦ πρε-
σβυτέρου βασιλέως περιῃρέθη ἐλπὶς, τά τε κατὰ τὰς νήσους
πονήρως εἶχε, τῆς μὲν Λήμνου ἤδη καὶ φανερῶς ἀφεστηκυίας,
τῶν ἄλλων δὲ κλονουμένων καὶ ὅσον οὔπω τὴν ἀποστασίαν
καὶ αὐτῶν ἀπειλουσῶν, καὶ αἱ κατὰ τὴν ἤπειρον πρὶν ὑπή-
κοοι τῷ πρεσβυτέρῳ βασιλεῖ, πλείους τῶν πόλεων ἤδη συνα-
πέστησαν πρὸς τὸν νέον· ἀπορίᾳ πάντοθεν περισχεθεὶς, πρε-
σβείαν δεῖν ἔγνω πρὸς βασιλέα αὖθις τὸν ἔγγονον πέμπειν.
C πέμπει δὲ τὸν κατὰ τὸν Ἄθω τοῦ ἱεροῦ ὄρους πρῶτον τὸν
Ἰσαὰκ, καὶ ἄλλως μὲν ὄντα συνετὸν, οὐχ ἥκιστα δὲ ἀντιποι-
ούμενον καὶ ἀρετῆς· τοιαῦτα πρὸς βασιλέα τὸν ἔγγονον πρε-
σβευόμενος δι' αὐτοῦ· „εἰ μὲν ἢ κατ' ἀρχὰς ἀκίνητοι πρὸς τὸ
V.77 κακὸν οἱ ἄνθρωποι ἐδημιουργοῦντο παρὰ θεοῦ, ἢ ὥσπερ ἦν

terant, impedimentis atque etiam servis militum magno numero potiti sunt. Progressus imperator, prope Selybriam tentoria fixit. Persae et Romani fugae beneficio servati, Byzantium cum venissent, seni imperatori sese victos narrabant; ac Persae naves simul ad traiiciendum petebant: quos ille ut Byzantii manerent, flectere non poterat, opponentibus, se frustra contritum iri et cum aliis Byzantiis obsessos, nihil ei profuturos: nam extra moenia non sese tantum, verum nec ipsum eorum archisatrapam cum toto exercitu suo in acie adversus iuniorem imperatorem consistere posse. Romanis, qui aderant, vera eos dicere attestantibus; conscensis navibus, in orientem transmiserunt.

32. Postquam Persici auxilii spes decollavit, et insularum auditi motus, Lemno iam aperte alium dominum colente, reliquis in fide labascentibus et propediem defectionem minitantibus; urbibus item continentis pluribus simul ad iunioris imperium aggregatis: omni ex parte anxius animi senior, rursus legationem mittendam iudicavit. Huic muneri Isaacium sacri montis Atho praepositum, virum alioqui intelligentem et virtutis multo studiosissimum deligit, illique in legatione dicenda haec iniunxit: Si homines aut ab initio ad malum inflexibiles a Deo fabricati essent, aut, cum voluntate libera fabricati,

δέον, αὐτεξούσιοι γεγονότες ἔμειναν ἐν τῷ ἀγαθῷ, οὐδὲν ἂν τῶν A.C.1322 μετὰ ταῦτα παραβαθέντων ἐτολμήθη. ἐπεὶ δὲ διὰ τὴν παράβασιν εὐόλισθος πρὸς τὸ χεῖρον ἡ τῶν ἀνθρώπων γεγένηται φύσις, ἐξ ἐκείνου μέχρι καὶ νῦν πάντ' ἄνω καὶ κάτω καὶ τοῦ ἐξ ἀρχῆς ἀντικειμένου γίνεται συνεργοῦντος, ὁποῖον δή τι νῦν συμβέβηκε καὶ ἡμῖν. δέον γὰρ ἐμὲ τὴν πρὸς ἐμέ σου εὔνοιαν καὶ πρὸς πατέρα παιδὶ πρέπουσαν αἰδῶ τε καὶ τιμὴν D αὐτοῖς ἔργοις καταμαθόντα, τούς σε διαβάλλειν ἐπιχειροῦντας ὡς κατ' ἐμοῦ συσκευαζόμενον δόλους, ὡς ἐχθραίνοντας ἀπωθεῖσθαι, ἐγὼ δὲ ἀπατηθεὶς, ταῖς μὲν διὰ τῶν σῶν ἔργων ἀποδείξεσιν οὐ προσέσχον, λόγοις δὲ πεπλασμένοις παρὰ τῶν συκοφαντῶν πεισθεὶς, ἤγειρα πόλεμον, οὔσης εἰρήνης. νυνὶ δὲ αὐτοῖς ἔργοις τὴν ἀβουλίαν καταμαθὼν, ἐμαυτὸν μὲν, ὥσπερ δίκαιον, καταμέμφομαι· σοὶ δὲ τούς τε τρόπους ἀγαθῷ ὄντι, καὶ τὴν εἰς ἐμὲ αἰδῶ καὶ εὔνοιαν ἴσην διατηροῦντι, ὅπως εἰς εἰρήνην ἐκ πολέμου πάλιν τὰ πράγματα ἡμῖν ἥξει, μελήσει."

Ὁ μὲν οὖν τοιαῦτα εἶπε. βασιλεὺς δὲ ὁ νέος „χάριτας" εἶπεν „ὁμολογῶ πολλὰς τῷ βασιλεῖ τῶν βασιλευόντων θεῷ, ὅτι τῇ P.96 αὐτοῦ χρηστότητι χρησάμενος καὶ περὶ ἐμὲ, οὔτ' αὐτόν τι κατὰ τοῦ ἐμοῦ κυρίου καὶ βασιλέως ἢ βουλεύσασθαι συνεχώρησεν ἢ πρᾶξαι, οὔτε τοὺς συκοφάντας ἀνελέγκτους ἄχρι τέλους διατελεῖν, ἀλλ' αὐτὸν βασιλέα μάρτυρα ἔχειν παρέσχεν, ὡς οὔτ' αὐτὸς ἀδικῶ, οὔθ' οἱ συκοφαντοῦντες ἀδικίας ἐνέλιπον οὐδεμίαν ὑπερβολήν. εἰ δ' ὁ βασιλεὺς αὐτὸς ὑπὸ διε-

in innocentia, quemadmodum oportebat, perseverassent, nulla fuissent, quae postea plurima in vita hominum perperam commissa sunt. Quia vero propter primam transgressionem natura humana in deterius labilis evasit, ex eo usque ad hoc momentum temporis, illo, qui fuit ab orbis primordio noster adversarius, adnitente, omnia sursum ac deorsum feruntur permiscenturque: quale quiddam nunc et in nobis experimur. Cum enim debuissem tuum in me propensum animum quaeque filium decet erga patrèm reverentiam ac venerationem ex ipsis factis tuis didicisse, calumniatores apud me tuos, quasi adversum me dolos machinarere, ut inimicos repellere; ego circumscriptus, quemadmodum rebus ipsis te mihi probare conarere, non attendi: sed fictis eorum sermonibus praeoccupatus, in pace bellum excitavi. Iam rerum experientia temeritatem et dementiam meam cognoscens, memet iure incuso. Tibi ut bene morato, meique ut antea cupido et observanti, quinam ab armis ad otium redeamus, curae erit. Hactenus senior. At nepos in hunc modum: Gratias ingentes ago regum regi Deo, quod bonitate sua etiam in me usus, neque sivit, ut ipse quippiam contra dominum meum et imperatorem vel cogitatione vel actione molirer; neque obtrectatores meos non tandem redarguit: quando ipsum imperatorem mihi testem apposuit,

A.C. 1322 φθαρμένων ἀνθρώπων ἀπατηθεὶς, εἴργασται ἃ μὴ δέον, ἀλλ' ἡμεῖς γε γονέας τε εἰδότες τιμᾷν καὶ ἄν τι καὶ ἀδικώμεθα B ἀνέχεσθαι, ὅσον ἂν παράσχοι θεὸς, βουλευσάμενοι δράσομεν περὶ τῶν προκειμένων." ὁ μὲν οὖν πρέσβις τοιαύτης ἀποκρίσεως παρὰ βασιλέως τυχὼν, ἀπῆλθεν εἰς τὸ στρατόπεδον ὡς ἐκεῖ περιμενῶν, ἄχρις ἂν ὁ βασιλεὺς βουλευσάμενος ἀποκρίνηται περὶ τῆς εἰνήνης. ὁ βασιλεὺς δ' ἅμα τῷ μεγάλῳ δομεστίκῳ, ὅ, τι χρὴ ἐβουλεύοντο πράττειν περὶ τῶν προκειμένων, ὅπως ἡ εἰρήνη γένοιτο τοιαύτη σκοποῦντες, ὡς μηδεμίαν πρόφασιν ἔχειν τοὺς συκοφάντας πρὸς ἀλλήλους διαβάλλειν τοὺς βασιλέας καὶ πόλεμον ἐπὶ λύμῃ τῶν κοινῶν πραγμάτων κινεῖν. ἐδόκει δὴ λυσιτελεῖν αὐτοῖς τε ὁμοῦ καὶ τὴν στρατιὰν C καὶ πόλεις πάσας καὶ τὴν διοίκησιν τῶν κοινῶν πραγμάτων τῷ βασιλεῖ ἐπιτρέψαντας, αὐτοὺς ὑπ' ἐκεῖνον ἄγεσθαι, καὶ εἰς ὑπηκόους τελεῖν τὰ προσταττόμενα ἐκπληροῦντας· οὕτω γὰρ τοὺς διαβάλλοντας χώραν οὐδεμίαν ἂν σχεῖν, πάντων ὁμοῦ χρημάτων ὑπὸ τοῦ πρεσβυτέρου βασιλέως διοικουμένων. εἰς τὴν ὑστεραίαν δὲ ὁ νέος βασιλεὺς τοὺς ἐν τέλει πάντας καὶ ἡγεμόνας καὶ τοὺς λογάδας τῆς στρατιᾶς εἰς ἐκκλησίαν συναγαγὼν, εἶπε τοιάδε· „τὰ ἐκ τοῦ πολέμου φυόμενα κακὰ καὶ μάλιστα τοῦ ἐμφυλίου, καὶ πολλαχόθεν μὲν ἄλλοθεν ἔξεστι καταμαθεῖν, μάλιστα δ' ἂν τις αὐτὰ κατίδοι καὶ ἀπὸ τοῦ νυνὶ ἐμοῦ τε μεταξὺ καὶ βασιλέως κινηθέντος πολέμου. ἐν γὰρ ὀλίγῳ χρόνῳ τοσοῦτον αὐτοὶ ὑφ' ἑαυτῶν διεφθείρα-

nec me ullam illi irrogasse iniuriam, et criminatores ad me iniuriis onerandum nihil fecisse reliqui. Et quamvis ille a perditis hominibus deceptus, ab officio discessit, tamen nos, qui parentes honorare et, licet ab iis etiam indigne habeamur, sufferre ac perpeti novimus, rem perpendemus et, quantum Deus concesserit, faciemus. Legatus, adepto hoc responso, in castra abiit, exspectaturus ibi, dum post consultationem certi aliquid acciperet. Imperator cum magno domestico, quid in re praesenti agere conveniat exquirit et considerat, quanam ratione eiusmodi pax constituatur, qua imperatoribus de altero apud alterum detrahendi bellumque cum pernicie rei publicae commovendi sycophantis omnis occasio praecidatur. Statutum, conducere, si simul seipsos, exercitum, urbes universas, totius imperii gubernacula, seni committant, a quo pro subiectis regantur et cuius iussa factitent. Sic illo solo rerum domino, materiam obtrectandi nullam fore. Die postero imperator coactis in concionem optimatibus ac ducibus universis cum flore exercitus, hoc maxime modo disseruit: Quae incommoda bello, ac praesertim civili, importentur, cum aliunde multis exemplis, tum praesertim ex eo perspicere datur, quod nunc inter me avumque meum flagrat. Brevi enim tempore tantum ipsi potentiam nostram attrivimus, quantum nec

μεν τῆς δυνάμεως ἡμῶν, ὅσον οὐδ' ὁμοῦ πάντες οἱ πρόσοικοι A. C. 1322
ἡμῖν βάρβαροι ἐπιστρατεύσαντες ὁμονοοῦσι κατεργάσασθαι D
ἴσχυσαν ἄν. ὃ δὴ καὶ αὐτοὶ καλῶς συνιδόντες, ἐν ἀρχαῖς
μάλιστα τοῦδε τοῦ πολέμου πρεσβείαν ἀποστείλαντες πρὸς
βασιλέα, περὶ εἰρήνης ἐδεῖσθε κἀμοῦ συνειδότος· ὡς δ' ἠνύετε
ὑμεῖς οὐδὲν, ἐπρεσβευόμην καὶ αὐτὸς περὶ τῶν ἴσων, πολλὰ
δεόμενος βασιλέως μὴ περιϊδεῖν ἡμᾶς αὐτοὺς ὑφ' ἑαυτῶν ἐν
τῷ πρὸς τοὺς ὁμοφύλους πολέμῳ διαφθαρέντας, καὶ τὴν εἰ-
ρήνην ὥσπερ τι μέγιστον τῶν εὐεργετημάτων ᾔτουν. τότε μὲν
οὖν ἡμῶν δεομένων, ἐκεῖνος οὐ προσεδέξατο τοὺς περὶ τῆς εἰρή- V. 78
νης λόγους· νυνὶ δὲ εἰς τοῦτο θεὸς περιέστησε τὰ πράγματα, ὥστ'
αὐτοὺς τοὺς μὴ προσδεχομένους τότε τὴν εἰρήνην ἥκειν παρ'
ἡμᾶς δεομένους περὶ τῶν ὁμοίων. οὗ δὴ ἕνεκα πρῶτον μὲν ἡ-
γοῦμαι προσήκειν ἡμᾶς πολλὰς τῆς εὐεργεσίας χάριτας ὁμολογεῖν
θεῷ, κρείττους ἀεὶ τῶν ἀντιτεταγμένων ἀποδεικνύντι· ἔπειτα δὲ P. 97
ἀσμένως προσδέχεσθαι καὶ τὴν εἰρήνην, καὶ μὴ διὰ τὴν μικρὰν
ταύτην εὐτυχίαν αὐθάδεις φαίνεσθαι καὶ θρασεῖς· ἀλλ' ἐκεῖνον
εἶναι νομίζοντας τὸν καιρὸν, ἡνίκα βουλευομένοις ἡμῖν ἀναγκαία
ἐδόκει ἡ εἰρήνη, οὕτω πάλιν καὶ βουλεύεσθαι καὶ ψηφίζεσθαι
περὶ αὐτῆς." Οὕτω τοῦ βασιλέως εἰρηκότος, ὁ μέγας δομέστικος
ἐφεξῆς „οὐδὲν ἐνέλιπεν ὁ βασιλεὺς" ἔφη „τοῦ μὴ διδάξαι τῶν
δεόντων ἡμᾶς, ὥσθ' ἕτερόν τινα ἔχειν τοῖς εἰρημένοις προσ-
θεῖναι. τό, τε γὰρ ἐν ταῖς εὐτυχίαις μὴ φυσᾶσθαι, σωφρό-
νων καὶ ἀνδρείων ἀπέδειξεν ὂν ἀνδρῶν, καὶ τὸ τοὺς γεγεννηκό- B

18. βουλευομένοις scripsi pro βουλομένοις.

omnes simul circumfusi barbari, nobis concordibus atterere et imminuere potuissent. Quod cum vos haud fugeret, exordio statim belli huius legatione ad imperatorem, me non inscio, missa, pacem petivistis. Quia vos nihil impetrabatis, ego legationem iteravi, impensę avum orans, ne nos eiusdem gentis homines mutuis armis deleri pateretur, et pacem pro munere summo exposcens. Tum igitur nos rogantes ille audire noluit: nunc divino nutu, qui pacem tum repudiabant, eandem a nobis impetrare satagunt. Quare primum par esse duco, nos de tanto beneficio grates Deo persolvere, qui hactenus semper inimicis nos superiores reddidit, deinde etiam non invitos pacem admittere, nec propter hoc nescio quid felicitatis in superbiam et confidentiam delabi: sed existimare, nunc illud esse tempus, quo consultantibus nobis pax necessaria apparebat; proindeque similiter in praesentia de ea deliberare atque statuere. Mox ut finem loquendi fecit imperator, magnus domesticus his verbis secutus est: Quid officium a nobis postularet, imperator perfecte docuit: nec est quod quisquam addere dictis possit. Nam rebus prosperis non efferri modestorum ac fortium virorum: et parentes revereri ac honorare, iustum pariter ac necessarium

A. C. 1322 τας αἰδεῖσθαί τε καὶ τιμᾷν καὶ δίκαιον ἅμα καὶ ἀναγκαῖον· καὶ τὸ τῶν ὁμοφύλων κήδεσθαι καὶ περὶ πλείστου τὴν σωτηρίαν αὐτῶν ποιεῖσθαι, καὶ μὴ διὰ φιλονεικίαν φθειρομένους περιορᾷν, ἀλλ' εἰ δεῖ τι καὶ τῶν οἰκείων προΐεσθαι τοῦ σώζεσθαι ἕνεκα αὐτοὺς, οὐ μόνον ἀγαθῶν, ἀλλὰ καὶ συνέσει κεχρημένων ἀνθρώπων εἶναι. οἷς γὰρ ἄν τις τοὺς οἰκείους καὶ ὁμοφύλους φθειρομένους περιορῴη, τοῖς αὐτοῖς τούτοις αὐτόν ἐστι φθείρεσθαι ἀγνοοῦντα· καὶ μόνην τὴν κατὰ τῶν ὁμοφύλων νίκην ἧτταν αἰσχίστην, ἀλλ' οὐ νίκην νομίζειν χρή· κε- C φάλαιον δὲ ἐπὶ τούτοις, ὡς ὁ πάντα ἐφορῶν θεὸς τῇ παρούσῃ εὐτυχίᾳ ὀρθῶς καὶ ὡς προσῆκε καὶ μετὰ ἀτυφίας ὁρῶν χρωμένους ἡμᾶς, καὶ μὴ ὠμούς τινας καὶ ἀπανθρώπους γεγενημένους καὶ τὴν φύσιν ἀγνοήσαντας, ἑτέρων πολλῶν τοιούτων ἢ καὶ πλειόνων καὶ θαυμασιωτέρων εὐεργετημάτων ἀξιώσειεν ἄν. εἰ οὖν δίκαιά τε ὁμοῦ καὶ ἀναγκαῖα τὰ βεβουλευμένα καὶ πρὸς τὸ εὐδοξεῖν καὶ τὸ σώζεσθαι λυσιτελοῦντα, οὐδὲν ἔτι λεῖπον ἢ ἐπιψηφίζεσθαι καὶ ὑμᾶς. αὐτὸς γὰρ ὀρθῶς τε οἰόμενος ἔχειν τὰ εἰρημένα καὶ ὁμοίως περὶ τῶν αὐτῶν φρονῶν, γνώμην δίδωμι δέχεσθαι τὴν εἰρήνην, καὶ τὸ ἐμὸν μέρος ἐπικυρῶ." Τοιαῦτα καὶ τοῦ μεγάλου δομεστίκου εἰρηκότος, ὅ, τε πρωτοστρά- D τωρ ἐπεψηφίζετο δέχεσθαι τὴν εἰρήνην, ὀρθῶς τόν τε βασιλέα εἰρηκέναι τόν τε μέγαν δομέστικον συνειπεῖν αὐτῷ εἰπών· καὶ οἱ λοιποὶ πάντες εὐθὺς ἄκοντες μὲν, ἐπεψηφίζοντο δ' οὖν ὅμως. πάντων δὲ ἐπιψηφισαμένων τὴν εἰρήνην, ἐπυνθάνετο

esse ostendit. Praeterea eiusdem gentis societate nobis devinctorum curam gerendam, eorumque salutem inprimis diligendam, ut ea non solum propter aemulationem non contemnatur: sed eius tuendae causa, si ita necesse sit, etiam de propriis aliquid libenter amittatur, idque bonorum ac prudentium munus videri. Quibus enim incommodis quispiam necessarios suos et homophylos conflictari patitur, iisdem ipse nescius conflictatur: et solum cives suos vicisse, turpissime victum esse, non vicisse, arbitremur licet. Caput ac summa horum est, Deum universorum inspectorem, quia nos oblata prosperitate probe atque ut convenit ac sine fastu uti, nec inde saevos et immanes evasisse videt, multis huiuscemodi ac maioribus etiam beneficiis prosecuturum. Si igitur iusta et necessaria, si cum salute et gloria vestra consociata sunt quae consuluntur, hoc unum superest, ut vos quoque assentiamini. Ego ipse quae dicta sunt approbo idemque sentio: pacem accipiendam pronuntio et pro mea parte ratam habeo. Haec illo prolocuto, protostrator censuit, quod imperator de pace accipienda verba fecisset et magnus domesticus ei suffragatus esset, recte factum, et ceteri omnes, ingratis quidem, statim tamen manus dederunt. Pace omnium sententiis decreta, rursum quaesivit imperator, ecquid pacem componi talem oporteret, quae

αὖθις ὁ βασιλεὺς, εἰ τοιαύτην δέοι τὴν εἰρήνην γενέσθαι ὥστε A.C.1322
βεβαίαν εἶναι ἀεὶ, καὶ μηδεμίαν ὑποψίαν ὕστερον ἢ πρόφα-
σίν τινα πολέμου ἔχειν. ὁ δέ γε μέγας δομέστικος, οἷα δὴ
πρότερον ἅμα βασιλεῖ ὁποίαν τινὰ δεῖ εἰρήνην γενέσθαι βεβου-
λευμένος, τοιούτους ἐποιεῖτο τοὺς λόγους, ὡς δοκεῖν οὐκ ἐξε-
πίτηδες, ἀλλ' ἀνάγκῃ τινὶ πρὸς τὰς ἐπὶ τοῖς τοιούτοις ὁμολο-
γίας συνωθεῖσθαι. „δέον γὰρ" ἔλεγεν „εἶναι, ὦ βασιλεῦ, μὴ P.98
πάλιν ἡμῖν τὰς ἐπὶ τῇ εἰρήνῃ συμβάσεις τοιαύτας γενέσθαι,
ὥστε τοὺς συκοφάντας ἐγχωρεῖν προφάσεων εὐπροσώπων εὐ-
ποροῦντας ὑμᾶς τοὺς βασιλέας πρὸς ἀλλήλους διαβάλλειν καὶ
τὸν πόλεμον κινεῖν, οὐ μόνον ὑμῖν ἀδοξίαν ἅμα καὶ εἰς τὰ
καιριώτατα ζημίαν, ἀλλὰ καὶ τῷ ὑπηκόῳ παντὶ παντοίων προ-
ξενοῦντα φορὰν κακῶν. παραπλήσιον γὰρ συμβαίνει καὶ ἐφ' V.79
ἡμῖν, ὁποῖον ἂν καὶ ἐπὶ δυσὶ τῶν ἐπὶ ῥώμῃ καὶ μεγέθει θαυ-
μαζομένων σύμβαίη ζώων· ἐκείνων τε γὰρ ἀλλήλοις ἀντεπιόν-
των καὶ συῤῥηγνυμένων, τὰ ἐν ποσὶ πάντα συντρίβεσθαι καὶ B
διαφθείρεσθαι εἰκὸς, ἀδικοῦντα μηδέν· καὶ ὑμῶν ἀπόλλυσθαι
τοὺς ὑπηκόους μαχομένων. οὗ δὴ ἕνεκα οὐ μόνον ὅτι εἰρήνην
γενέσθαι δεῖ σκοπεῖν, ἀλλ' ὅπως καὶ βεβαία καὶ ἀκατάλυτος
μενεῖ· ὡς εἴγε μέλλοιμεν, ὥσπερ καὶ πρότερον, οὐκ εἰρήνην
βεβαίαν, ἀλλ' ὥσπερ ἀνακωχὰς τοῦ πολέμου ποιεῖν, βέλτιον
μηδὲ γενέσθαι τὴν ἀρχήν. οὐδὲν γὰρ ἕτερον ἢ ἐπιορκίας ἐγ-
κλήμασι τοὺς προτέρους παρασπονδήσαντας ἐνέχεσθαι περιέ-
σται." Τῶν τοιούτων δὲ λόγων οἵ τε τῆς συγκλήτου καὶ τῆς

firma ac certa semper maneret et posthac suspicione praetextuque belli careret omnimodis. Tum magnus domesticus, ut qui antea cum eo commentatus esset de genere pacis, talia dixit, e quibus non de industria venire, sed necessitate quadam ad pacta et conditiones pacis causa subeundas compelli videretur. Sic ergo fatus est: Pacificatio, imperator, non amplius eiusmodi suscipienda est, ut calumniatoribus speciosis occasionibus facultas suppetat, vestrum utrumvis apud alterum insimulandi et bellum incendendi: quod non solum vobis cum ignominia vestra maximas opportunitates corrumpat; sed etiam universis, qui in ditione vestra sunt, genus omne malorum inferat. Quod enim duabus animantibus robore et magnitudine corporum insignibus acciderit, hoc vobis usuvenit. Nam quomodo, illis in se mutuo irruentibus ac procliantibus, quae intra pedes sunt omnia conteri ac disperdi consentaneum est, cum tamen illa nihil quemquam laeserint: sic, vobis invicem bellantibus, subiecti innocentes pereant oportet. Quocirca non modo uti pax componatur; sed ut composita ne vacillet ac dissolvatur, videndum est. Etenim si, quemadmodum antehac, non pacem stabilem, sed tamquam inducias facturi sumus, omnino nullam fieri satius est. Quidnam aliud exspectandum, quam ut qui foedus priores ruperunt, perfidiae scelere

A. C. 1322 στρατιᾶς ἀκούσαντες, ὅτι μὲν κατασκευάζων τοιαῦτα ὁ μέγας C δομέστικος ἐδημηγόρει, ᾔσθοντο οὐδ' ἐπὶ μικρόν. νομίσαντες δὲ οὐκ ἄλλοθέν ποθεν αὐτὸν αἰνίττεσθαι βεβαίαν ἔσεσθαι τὴν εἰρήνην, ἢ ἀπὸ τοῦ βασιλέα τὸν νέον ἥν τε κατεῖχε πρότερον μοῖραν τῆς ἀρχῆς καὶ ὧν προσείληφεν ἐν τῷ νῦν πολέμῳ τὰ πλείω κατασχόντα ἐς τὰ μάλιστα γενέσθαι δυνατὸν, τὸν δὲ πρεσβύτερον ἠσθενηκότα διὰ τὸ τῆς ἀρχῆς ἀφῃρῆσθαι πολλὰ ἀτολμότερον πρὸς τὸ νεωτερίζειν ἂν γενέσθαι, καὶ δίκαια καὶ συμφέροντα πάντες εἶπον τὸν μέγαν δομέστικον εἰρηκέναι, καὶ τοιαύτην δεῖν ἐθορύβησαν τὴν εἰρήνην εἶναι. ὁ βασιλεὺς δὲ ἤδη τοῖς οἰκείοις λόγοις πάντας προκατειλημμένους συνορῶν, D „κἀμοὶ τὰ ἴσα" εἶπε „συνδοκεῖ· τό, τε γὰρ πρὸς ἀλλήλους ἡμᾶς πολεμεῖν, καὶ αὐτοῖς ἡμῖν καὶ τοῖς ὑπηκόοις ἀλυσιτελές· καὶ τὸ παράδειγμα οἰκεῖον μάλιστα, ᾧ προσείκασεν ὁ μέγας δομέστικος τὸν πρὸς ἀλλήλους πόλεμον ἡμῶν. ἀνάγκη γὰρ ὑμᾶς τε τοὺς ὑπ' ἀμφοτέροις στρατευομένους ἐν ταῖς μάχαις ὑπ' ἀλλήλων ἀποθνήσκειν, καὶ τὰς κτήσεις, ἐξ ὧν αἵ τε ἰδιωτικαὶ καὶ αἱ δημόσιοι διαφθείρεσθαι πρόσοδοι. καὶ τὸ μὴ βεβαίαν αὖθις, ἀλλ' ὑφ' ὁτουοῦν διαλυθήσεσθαι προσδοκωμένην γενέσθαι τὴν εἰρήνην, μάλιστα ἀσύμφορον ἡμῖν. διὸ δεῖ σκεψαμένους αὐτοὺς, P. 99 πᾶσαν πρότερον πολέμου πρόφασιν περιελεῖν· πολέμου δὲ πρόφασις πᾶσιν ἀνθρώποις ἢ οἰόμενον ἀδικεῖσθαι ἀμύνεσθαι ἐθέλειν, ἢ πολέμου ἄρχειν αἱρούμενον ἀδικεῖν· ἐὰν δέ τις ἀγα-

se obstringant? Haec ubi principes ac milites auribus hauserunt, talia eum moliri prorsus non senserunt. Cumque opinarentur, verborum quodam involucro indicare voluisse, plane non aliter pacem perpetuam constare posse, quam si iunior, retenta quam obtinebat parte imperii, illis, quae hoc bello acquisierat, adiunctis, possessionem amplificaret atque ita potentia summa polleret, senior contra, imperio suo magnopere diminuto, enervatus, res novas minus auderet; cum ita, inquam, cogitarent, iustam et utilem domestici orationem fuisse omnes autumarunt et istiusmodi pacem ineundam succlamarunt. Imperator familiari oratione iam praeoccupatos omnium animos intelligens, Et mihi eadem sententia est, inquit, quae magno domestico. Nam belligerare me cum avo, ipsis nobis populisque nostris incommodat; et parabola, qua ille bellum nostrum expressit, rem maxime ante oculos ponit. Necesse est siquidem et vos, alterutri militantes, in pugna interfici, et agros ac praedia, unde publica privataque vectigalia, devastari. Pacem rursus nec constantem et validam, sed qualibet occasione frangendam inire, nobis prorsus inutile. Idcirco rem nos discutere ac prius omnem belli materiam amputare fas est. Materiam porro et causas belli hasce omnes mortales habent, vel cum se laesos putant, ut iniurias ulciscantur, vel, ut quibus iniurias inferre constituerunt, eosdem armis priores

γὼν ἑαυτὸν ἐγχειρίσῃ τῷ πολεμοῦντι, πᾶσαν πρόφασιν πολέ- A. C. 1322
μου περιεῖλεν. εἴτε γὰρ ᾤετο ἀδικεῖσθαι, τὸν ἀδικοῦντα ἔχων
ἡσυχάσει, εἴτε προὐθυμεῖτο πλεονεκτεῖν, πλέον ἔχων οὗ προσ-
εδόκησε, καὶ οὕτω παύσεται τοῦ πολεμεῖν. διὸ δεῖ καὶ ἡμᾶς
βεβαίας εἰρήνης ἐπιθυμοῦντας, θεῷ τε θαῤῥήσαντας καὶ τῇ
σφετέρᾳ αὐτῶν πράξει ὡς ἀγαθῇ, πᾶσαν τὴν ἀρχὴν ἡμῶν τε
αὐτῶν καὶ πόλεων καὶ προσόδων ἐγχειρίσαι τῷ βασιλεῖ· οὕ-
τω δὲ πράξαντες, πᾶσαν πρόφασιν τῶν συκοφαντῶν διαβολῆς B
περιελοῦμεν· ἐκείνων δὲ πεπαυμένων κακουργεῖν, οὐδὲν ἔτι
ἐμποδὼν ἔσται βαθείας ἀπολαύειν πάντας εἰρήνης. εἰ δ' αὖ-
θις χωρήσομεν εἰς μερισμοὺς, πρῶτον μὲν αὐτὸ τοῦτο, τὸ δυ-
σὶν ἔτεσι καὶ ἑξήκοντα ὁμοῦ πάντων ἄρχοντα αὐτὸν, νῦν τῆς
κατὰ πάντων ἐξουσίας ἀποστερεῖσθαι, ἱκανὸν πρὸς ταραχὴν
καὶ δυνατὸν τοῖς συκοφάνταις πεῖσαι προσέχειν ὡς ἐπιβουλεύ-
εται παρ' ἡμῶν καταψευδομένοις. ἔπειτα δὲ καὶ τούτοις αὐ-
τοῖς, ὥστ' ἔχειν ῥάπτειν τὰς διαβολὰς, ὕλην ἂν παράσχοιμεν V. 80
πολλήν· ἐχόντων δὲ ἐκείνων δύναμιν κακουργεῖν, οὐκ ἐν πολ- C
λῷ χρόνῳ ἀναγκασθησόμεθα αὖθις πολεμεῖν. οὐκ ἠρεμήσουσι
γὰρ, ἄχρις ἂν ποικίλαις καὶ πολλαῖς διαβολαῖς ἐξορμήσωσι
πρὸς πόλεμον τὸν βασιλέα. μὴ θαυμάσητε δὲ, εἰ παρὰ τῶν
νεωτεροποιῶν τούτων καὶ φθόρων ἐξαπατήσεσθαι τὸν βασιλέα
λέγων, ἐμαυτὸν ἐξαίρω τοῦ λόγου ὡς μὴ τὰ ἴσα δυνάμενον
παθεῖν, (καίτοι γε οὕτως ἔχω παρασκευῆς καὶ γνώμης, ὡς οὐδ'

lacessant. Quod si quis bellum moventi se ultro tradiderit, iam bellum omne sustulerit. Sive enim ille se laedi arbitratur, laedentem habens in potestate, quiescit; sive rei augendae studebat, plus adeptus quam sperabat, etiam sic arma deponet. Quare et nos opus est, qui pacem inconcussam expetimus, Deo et aequitati causae innitentes, omne imperium et in nos ipsos et in urbes et in vectigalia avo transcribere. Si ita fecerimus, criminatoribus os obturabitur; quibus malitia supersedentibus, nihil impediet, quin omnes firmissima pace perfruamur. Sin rursus ad partiendum imperium aggrediemur, primum istuc ipsum, totis duobus et sexaginta annis eum imperitasse omnibus, et nunc imperii huius imminutionem pati, ad tumultum sufficit et avum, ut obtrectatoribus nos sibi insidias struere mentientibus credat, impellere potest. Deinde his ipsis hominibus ad consuendas sycophantias ansam multam praebebimus: qui si nequitiae exercendae facultatem nacti fuerint, non multum intercedet temporis, cum arma repetere cogemur: nullam quippe partem quietis capient, donec pluribus et variis criminationibus imperatori bellum persuaserint. Ne autem miremini, si cum ab istis rerum novarum cupidis ac pestiferis hominibus avum in fraudem inductum iri dicam, me hinc eximo, quasi non idem mihi queat contingere, (tametsi ita paratus et animatus sum, ut si quid eveniat, ne vere

A.C.1322 ἂν εἴ τι γένοιτο, μήτοι γε ἐκ διαβολῆς, ἀλλ' οὐδ' εἰ ἀληθῆ τὰ λεγόμενα εἴη, πρὸς πόλεμον πρότερος αὐτὸς ἐξορμήσων, πρὶν ἂν αὐτοῖς ἔργοις ἀναγκασθῶ ὡς ἐπιόντα ἀπωσόμενος τὸν πόλεμον, τὰ ὅπλα ἀναλαμβάνειν,) ἀλλ' ὡς ἐνέχυρα ἱκανὰ πρὸς ἐκεῖνον τῆς διαβολῆς ἐχούσης. ὁ γὰρ ἄρχων μὴ τὴν ἀρχὴν D ἀφαιρεθείη δεδοικὼς, κἂν ἐπιβουλεύεσθαι πεισθείη· ὁ δουλεύων δὲ οὐκ ἂν πείθοιτο ῥᾳδίως. τούτων δὴ ἕνεκα ὧν εἶπον, μὴ πάλιν πρὸς μερισμοὺς τῆς ἀρχῆς ἐπιπολὺ σκεψαμένῳ ἔδοξε δεῖν χωρεῖν, ἀλλ' ἡμᾶς τε αὐτοὺς καὶ πάντα χρήματα ἀγαγόντας, ἐγχειρίσαι βασιλεῖ· οὕτω γὰρ ἣν ποθοῦμεν εἰρήνην βεβαία περιέσται." Τοιαῦτα περὶ τῆς εἰρήνης διειλεγμένου τοῦ βασιλέως, ἐπιπολὺ μὲν τὸ βουλευτήριον σιωπὴ κατέσχε βαθεῖα, πάντων πρὸς τοὺς λόγους ἐκπεπληγμένων. οὐ γὰρ ἂν ἐπὶ τοιούτοις ᾠήθησάν ποτε γενέσθαι τὴν εἰρήνην. ἀποκριναμένων δὲ οὐδὲν, ἐπιστραφεὶς ὁ βασιλεὺς πρὸς τὸν μέγαν P.100 δομέστικον „οὐ σιωπᾶν" ἔφη „χρεὼν, ἀλλ' αὐτόν τε ὡς ἔχεις περὶ τῶν εἰρημένων καὶ τοὺς ἄλλους λέγειν. ἐπὶ τούτοις ὁ μέγας δομέστικος εἶπε τοιάδε· „εἰ μὲν πρὸς βαρβάρους, ὦ βασιλεῦ, τοὺς φύσει πολεμίους ὁ πόλεμος ἡμῖν ἦν, οὐδὲν ἕτερον ἔδει σκοπεῖν, ἢ ὅπως, ἢν μὲν περιγενώμεθα τῷ πολέμῳ, ἐπεξιέναι καὶ διαφθείρειν, ἄχρις ἂν ἢ ἐκτρίψαντες ποιήσωμεν ἐκποδὼν, ἢ, τό γε δεύτερον, δουλωσάμενοι ποιήσωμεν ὑποφόρους· εἰ δὲ ἰσόῤῥοπα ἡμῖν τὰ πράγματα ἦν, πρὸς τὴν αὐτῶν χρείαν

quidem relata, nedum calumniose, ad bellum ante incipiendum me permoveant, quam re ipsa cogar arma capessere bellumque mihi illatum defendere,) ideo hoc a me dicitur, quod obtrectatio multa velut pignora apud eum habet. Qui enim imperat, cum imperii amittendi metum conceperit, huic etiam, sibi insidias tendi, fides fieri poterit: qui vero paret, ei istuc persuaderi non facile poterit. Ob haec ipsa igitur quae commemoravi, mihi diu multumque cogitanti, non iterum ad divisionem imperii veniendum, sed nobis ipsis cum rebus omnibus in imperatoris auctoritatem imperiumque concedendum visum est: sic enim duraturam, quam expetivimus, pacem prorsus adipisci licebit. His a iuniore imperatore super pace disputatis, diu altum fuit in concilio silentium, cunctis ea oratione attonitis: nunquam enim in mentem illis venisset, tali modo pacem compositum iri. Cum nihil responderetur, conversus ad magnum domesticum, Non iam silendi tempus, inquit; tibi ipsi et aliis ad verba mea respondendum est. Tum ille sic infit: Siquidem, imperator, contra barbaros natura hostes bellum nobis susceptum esset, nihil erat considerandum aliud, nisi quomodo victores loca omnia populabundi percursaremus, usque dum omnes caedibus e medio tolleremus aut saltem in servitutem redactos tributarios nostros faceremus; sin aequo Marte paria rerum momenta essent, quomodo

μεθαρμόζεσθαι καὶ αὐτούς. ἐπειδὴ δέ ἐστιν οὔτε πρὸς φύσει A.C. 1322 πολεμίους βαρβάρους, οὔτε πρὸς τὴν αὐτὴν μὲν ᾑρημένους θρησκείαν ἡμῖν, ἄλλως δὲ πολεμίους καὶ ὑπὸ ἰδίαν τεταγμέ- B νους ἡγεμονίαν, οὓς ἄν τις ἴσως καὶ βιάζεσθαι συγχωρήσειε δυναμένοις· ἀλλὰ πρὸς ὁμοφύλους καὶ οἰκειοτάτους, τίς ἂν νοῦν ἔχων καὶ μικράν τινα ποιούμενος φροντίδα τοῖς ἐν ᾅδου καταδίκοις μὴ συνεῖναι, μᾶλλον ἂν ἀνθέλοιτο τὸν πόλεμον τῆς εἰρήνης; καίτοι γε οὐδ' οὕτω συμμεμέρισται ὑμῖν τοῖς βασιλεῦσι τὰ τῆς ἀρχῆς, ὡς τὸν μὲν τῆς ἐκ τῆς ἕω στρατιᾶς, τῆς ἑσπερίου δὲ τὸν ἕτερον στρατηγεῖν· ἦν γὰρ οὕτω τι μετριώτερον, Ῥωμαίοις μὲν καὶ οὕτω Ῥωμαίων συμπιπτόντων καὶ κτεινομένων, ὅμως δ' οὖν τινα παραμυθίαν τὸ μὴ προσήκειν αὐτοῖς καθ' αἷμα τοὺς ἀποσφαττομένους οἰομένων. νυνὶ δ' C οὕτως ἡ κοινὴ τῶν Ῥωμαίων συνεσκεύασε δυστυχία, ὡς αὐτὰς τὰς οἰκίας πρὸς ἀλλήλας μερισθείσας, μήτοι γε πόλεις, καὶ ἀδελφοὺς ἀλλήλοις, καὶ παῖδας πατράσι, καὶ φίλους γνησιωτάτοις φίλοις οὐ τῷ σφετέρῳ αὐτῶν, ἀλλὰ τῷ τῶν βασιλέων ἔχθει πολεμεῖν. εἰκὸς δὲ καὶ παρ' αὐτὰς τὰς μάχας τὸν πατέρα τὸν οἰκεῖον ἢ τὸν ἀδελφὸν ἀποκτείναντά τινα ἢ τὸν φίλον, ἐν τῷ σκυλεύειν τὴν δυστυχεστάτην ἐπιγνῶναι νίκην, οὗ τί σχετλιώτερον γένοιτ' ἄν; ὧν δὴ ἕνεκα αὐτός τε ἡγοῦμαι V. 81 τὴν εἰρήνην λυσιτελεῖν, καὶ οἱ ἄλλοι συνεπιψηφίζονται πάντες. ἐπειδὴ δὲ νῦν καὶ ἐφ' ὁποίοις δή τισι τὴν εἰρήνην γενέσθαι δεῖ πρόκειται σκοπεῖν ὥστε μένειν βεβαίαν καὶ μὴ πά- D

18. τῶν πατέρα male ed. P.

ad eorum usum ipsi quoque nos accommodaremus. Quoniam vero neque adversum tales pugnamus, neque adversum eos, qui sacrorum socii, cetera hostes, suis legibus vivunt, quos fortasse potentioribus opprimendos condones: sed contra homophylos et coniunctissimos, quis prudens, obsecro, et vel tantillum sollicitus, ne apud inferos inter damnatos referatur, bellum hoc paci anteponat? Atqui ne sic quidem vobis imperatoribus distributum est imperium, ut alter vestrum exercitu ex oriente, alter ex occidente collecto militet: esset enim id tolerabilius. Quamquam enim Romani vel sic concurrerent cum Romanis seque mutuo interficerent, tamen illa consolatione mulcerentur, quod perempti nulla se cognatione attingerent. Nunc in communi Romanorum calamitate ita se res habet, ut ipsae domus, nedum urbes in se divisae sint, et fratres cum fratribus, et filii cum parentibus, et amici cum amicis germanissimis, non suo ipsorum, sed imperatorum inter se odio deproelientur. Verisimile porro est, quosdam interfectorum a se patrum suorum, aut fratrum, aut amicorum spolia legentes, infelicissimam victoriam agnituros: quo quid tandem miserabilius? Ob has res ego ceterique omnes omnino pacem conducere sentimus. Quia ergo nunc certas ob causas eam constituere

A.C. 1322 λιν προφάσεων πρὸς πόλεμον εὐπορεῖν, εἰ μὲν ἕτερ' ἄττα ἢ αὐτὸς εἴρηκας, ὦ βασιλεῦ, λυσιτελεῖν ἐλογιζόμην, εἶπον ἂν ἐνδοιάσας μηδέν· ἐπειδὴ δὲ ἅμα τε δίκαια καὶ τῷ κοινῷ συμφέροντα Ῥωμαίων καὶ πρὸς εὐδοξίαν οὐδενὸς δεύτερα σαυτῷ τε εἴρηκας καὶ ἡμῖν, θεῷ τῷ τῶν ἀγαθῶν θαῤῥήσαντες ἐφόρῳ, εἰς ἔργα προάξωμεν τοὺς λόγους." Τοιαῦτα μὲν καὶ ὁ μέγας δομέστικος εἶπεν· ἐπιτραπεὶς δὲ καὶ ὁ πρωτο-
P. 101 στράτωρ ἃ δοκεῖ συμφέροντα εἰπεῖν, „τὴν μὲν εἰρήνην ὡς ἀγαθὸν καὶ λυσιτελὲς ἡμῖν τε καὶ τῷ κοινῷ Ῥωμαίων παντὶ, οὐδ' ἂν αὐτὸς ἀρνηθείην, μὴ καὶ οἴεσθαι καὶ πεπεῖσθαι" εἶπε „παρ' ὑμῶν. τοιαύτην μέντοι οἵαν αὐτὸς εἴρηκας γενέσθαι, βασιλεῦ, οὐδὲ ὑπονοῆσαί ποτε ὁμολογῶ. ἐλογιζόμην γὰρ ὅτι πρὸς οἷς κατείχομεν πρότερον καὶ ἐκ τῶν νῦν προσχωρησάντων οὐκ ὀλίγα κατασχόντες, τὰς ἐπὶ τῇ εἰρήνῃ ποιήσομεν σπονδάς. διὸ καὶ προθυμίᾳ σὺν πολλῇ τῶν περὶ τῆς εἰρήνης εἰχόμην λόγων· ἐπειδὴ δέ σοι οὕτω βέλτιον δοκεῖ, κἀμοὶ πᾶ-
B σα συνδοκεῖν ἀνάγκη. ἐξ ὅτου γάρ σοι φέρων ὑπέταξα ἐμαυτὸν, οὕτω πέπεισμαι ὡς ἅμα σοὶ καὶ ἀποθανούμενος καὶ βιώσων. διόπερ εἰ καὶ αὐτὸς ἑτέρως ἐλογιζόμην ἔσεσθαι τὴν εἰρήνην, ἀλλ' ἐπειδὴ νυνὶ σοὶ τοῦτον τὸν τρόπον δοκεῖ, ὡς ἂν αὐτὸς βέλτιον ἡγῇ τελείσθω." τοιαῦτα καὶ πρωτοστράτορος εἰπόντος, εὐχαριστήσας ὁ βασιλεὺς ἐπυνθάνετο τῶν ἄλλων. ἐπισχόντες δὲ μικρὸν, „παρὰ σοὶ τὴν ἐξουσίαν, ἔφασαν, εἶναι τοῦ πράττειν· δεσπότης δὲ ὢν, ἃ βούλει πρᾶττε." τὴν τοι-

perpeti a quocunque, cum aeque malum sit in omnibus, pro laedentis persona tamen plus minusve cruciat. Hinc est quod mortales praestantioribus haud gravate serviunt: de paribus autem si nocuerint, vindicare se postulant, maluntque etiam discrimen gloriae incurrere, ne serviant, quam in praesentia florentem statum, dum horribiliora pertimescunt. Iam qui nos lacessunt Moesi non solum non maiores, sed multis etiam partibus inferiores nobis sunt. Nam et vos principes nostri illorum reges prudentia, virtute, bellicis artibus longe antecellitis, melioresque ac plures, quam illi, duces habetis; et ei regioni imperatis, quae et frequentia copiarum et amplitudine ac numero civitatum et annuis vectigalibus et omni genere apparatus illorum regionem longo intervallo superat. Nefas est igitur, eos, quamquam infirmiores, nobis nocere; vos autem potentia vestra uti nolle, sed impune eos vagari sinere. Hoc ergo, imperatores, munus vestrum esse arbitror, eos compescere. Quod ad me attinet, fateor alioqui non invitum, et merito, voluntati vestrae inservire: ad hoc autem bellum, quod instat, non solum manus, sed etiam impensam et servos et quantum maximum queo studium alacritatemque pro tuendis civium commodis et pro gloria nominis vestri conferre paratus sum. Quem animum item reliquis genere

A.C. 1322 τῶν ἐπιφανεστέρων διακεῖσθαι. εἰ δ' ὑμῖν δοκεῖ καὶ προστάττετε τοῦτο, καὶ καθ' ἑαυτοὺς ἡμεῖς, οἱ τῆς συγκλήτου, ποιήσαντες ἐκκλησίαν ὅ, τι χρὴ πράττειν βουλευσόμεθα περὶ τοῦδε τοῦ πολέμου."

P. 113 λη'. Ἐπαινέσαντος δὲ τοῦ πρεσβυτέρου βασιλέως καὶ ἐπι-
V. 91 τρέψαντος τὴν βουλὴν, οἵ τε μετὰ τοῦ νέου βασιλέως ἐλθόντες καὶ οἱ τῷ πρεσβυτέρῳ συνόντες ἐν Βυζαντίῳ τῶν ἐπιφανῶν,
B προστεταχότων τῶν βασιλέων, ἐν μέσαις ταῖς βασιλείοις ἐκαθέσθησαν αὐλαῖς, βουλευσόμενοι περὶ τοῦ πολέμου. σιγῆς δὲ γενομένης ἐπὶ μικρὸν, οἱ ἐν Βυζαντίῳ τοὺς μετὰ τοῦ νέου προὐκαλοῦντο βασιλέως ἐλθόντας, ἐφ' οἷς συνήγαγον τὴν ἐκκλησίαν λέγειν, ὡς αὐτῶν ἅττα ἂν λέγωσιν ἀκουσομένων. ἐκείνων δὲ τὸν μέγαν δομέστικον προτρεπομένων λέγειν ὡς καὶ αὐτῶν τὰ ἴσα καὶ βουλομένων καὶ φρονούντων, ὁ μέγας δομέστικος εἶπε τοιάδε· „ἄνδρες συστρατιῶται, ἐν ἴσῳ πάντες ἄνθρωποι δικαιοῦσι τῷ τε τῆς ὑπαρχούσης δόξης ὑφιεμένῳ μέμφεσθαι διὰ
C μαλακίαν, καὶ τὸν τῆς μὴ προσηκούσης θρασύτητι ἐφιέμενον μισεῖν. διὸ καὶ αὐτὸς οὐ τῆς μὴ προσηκούσης ἡμῖν δόξης ἀντέχεσθαι παρελήλυθα συμβουλεύσων, ἀλλὰ τὴν ὑπὸ τῶν προγόνων εἰς ἡμᾶς ἀγῶσι καὶ πόνοις διασωθεῖσαν ἀτολμίᾳ τῇ πρὸς τὰ δεινὰ ἐλάσσω μὴ ποιεῖν. μὴ θαυμάσητε δὲ, εἰ, βασιλεῦσι περὶ τῶν τοιούτων βουλεύεσθαι προσῆκον, αὐτὸς ὑμῖν προὔθηκα τὴν βουλήν. ἡγοῦμαι γὰρ καὶ πόλιν αὐτονομουμένην

2. ἡμεῖς pro ὑμεῖς, quod restitui, Intpr. quoque in suo cod. legit.

illustrioribus inesse mihi persuadeo. Ac si vobis videtur, iubeatis licet, et nos, qui de consilio sumus, conventum agentes, inter nos de isto bello deliberationem habebimus.

38. Laudata viri sententia, senior imperator habendi senatus dat negotium. Tum et qui cum nepote advenerant, et qui penes avum Byzantii erant homines nobiles iussu imperatorum in aulae medio ad consultandum considunt; silentioque paulisper facto, Byzantii hortabantur iunioris comites, ut de iis, quorum causa convenissent, dicerent; se quaecunque dixerint audituros. Cum illi has partes ad magnum domesticum deferrent, quicum eadem vellent ac sentirent, exorsus est ille hunc in modum: Omnes homines, viri commilitones, adaequo iustum rentur, et de praesenti gloria sua propter infractionem animi decedentem reprehendere, et laudem sibi minime congruam confidenter appetentem aversari. Quocirca non ego in medium prodeo, ut vobis gloriae non debitae asserendae auctor sim; sed ut eius, quam maiores vestri magnis contentionibus laboribusque partam ad vos transmiserunt, per ignaviam ad res duras non obscurandae consilium impertiam. Ne vero mirum accidat, si, cum talis deliberatio imperatores deceat, ego eam vobis proponam. Sic enim statuo, et civitatem liberam et regnum plus privatis com-

καὶ βασιλείαν πλείω τοὺς ἰδιώτας ὠφελεῖν σύμπασαν ὀρθουμέ- A.C. 1322
νην, ἢ κακῶς πάσχουσαν ἀθρόαν, καθ' ἕκαστον δὲ εὐπραγοῦ-
σαν τῶν πολιτῶν. δυστυχῶν μὲν γὰρ ἐν εὐπραγούσῃ τῇ πατρίδι
μάλιστ' ἄν τις διασώζοιτο· εὖ δὲ φερόμενος ἐν ἀτυχούσῃ οὐ-
δὲν ἧττον συναπόλλυται. ὁπότε οὖν καὶ πόλις καὶ βασιλεία D
πρὸς μὲν τὰς ἰδίας συμφορὰς οἷά τε ἀντέχειν, εἷς δὲ ἕκαστος
ἀδύνατος πρὸς τὰς ἐκείνης, πῶς οὐ χρὴ παντὶ τρόπῳ πάντας
ἀμύνειν αὐτῇ; ἃ μὲν οὖν εἰς ἡμᾶς ὁ τῶν Μυσῶν ἐξύβρισε
βασιλεὺς, πάντες ἀκηκόατε καὶ αὐτοί. τῶν ἄλλων γὰρ λῃστείαις
χρωμένων, ἤ, εἴποτε καὶ ἐσβάλλοιεν στρατιᾷ, ἄχρι τῆς ἄκρας
ἀφικνουμένων καὶ ἅμα τῷ αἴσθησιν παρασχεῖν ἀποδιδρασκόν-
των εἰς τὴν ἰδίαν, αὐτὸς ὥσπερ οὐκ εἰς πολεμίαν, ἀλλ' εἰς τὴν
ἰδίαν ποιούμενος τὰς στρατοπεδείας, ἀσφαλῶς καθήμενος ἐδῄου
τὴν γῆν ἡμῶν ἐπὶ δυοκαίδεκα ἡμέραις· καὶ προῆλθέ γε ἄχρι
Βήρας καὶ Τραιανουπόλεως, τέμνων αὐτήν. εἴ τῳ δὲ δοκεῖ P. 114
διὰ τὸ ἐκ προνοίας ἐν ταῖς πόλεσι καὶ τοῖς φρουρίοις τά τε
βοσκήματα καὶ τοὺς ἀνθρώπους ἐγκατακλεισθέντας ἐλάσσω, η
ἐχρῆν γενέσθαι, τὴν ζημίαν ἀνεκτὸν εἶναι, ἴστω ἐξαπατῶν ἑαυ-
τόν. ἐὰν γὰρ μὴ νῦν τιμωρησώμεθα αὐτοὺς ἀξίως, καὶ δευτέ-
ραν ἐσβολὴν ποιήσονται καὶ τρίτην· καὶ οὐ μόνον τοὺς τῶν
πόλεων δήμους ἀπ' ἐλασσόνων ὁρμωμένους ἀποστερήσουσι καὶ
τούτων, ἀλλὰ καὶ ἡμᾶς τοὺς δυνατοὺς, πολλὰ καλὰ κτήματα V. 92
ἔχοντας κατὰ τὴν χώραν, ζημιώσουσι πολλά. διὸ δὴ καὶ πα-

modaturum, si universum felix sit ac beatum, quam si, civibus singulis felicibus, ipsum totum simul affligatur. Nam infortunatus quispiam in patria fortunata servari facillime queat: fortunato autem in patria misera nihilo minus cum aliis pereundum est. Quando igitur civitas aut regnum privatas calamitates prohibere potest, singuli autem per se publicas non possunt, qui tandem ei non omni ratione ab omnibus succurrendum est? Iam quae Moesorum rex insolenter in nos admiserit, nec vos utique latent. Nam cum praedones alii quamvis nonnunquam etiam turmatim irruperint, simul ad fines pervenerunt, et adesse animadversi sunt, in sedes suas refugere solent: iste perinde, quasi non in hostium, sed in suis terris haberet sub signis exercitum, nullo metu fines nostros insedit, diebus duodecim agris usque Beram et Traianopolin depopulationem hostiliter intulit. Quod si quis putat, quia re provisa agrestes se cum pecoribus castellis atque urbibus incluserint, minus detrimenti acceptum esse, quam potuisset, et idcirco tolerabile videri, nae ille vehementer errat. Nisi nunc eos pro eo ac merentur puniverimus, iterum ac tertium irrumpent: neque solum tenuiores cives suis facultatibus spoliabunt, sed nos quoque opulentos, qui multas ac nobiles tota regione possessiones habemus, damnis afficient. Quamobrem hortor vos, ut non modo qua altitudine animi, verum etiam qua illorum despicien-

A.C. 1322 *ραινῶ ὑμῖν, ὁμόσε χωρεῖν τοῖς πολεμίοις, μὴ φρονήματι μόνον
τῶν προγόνων, ἀλλὰ καὶ καταφρονήματι χρωμένους. ἐκεῖνοί τε
B γὰρ ἐκ τοῦ ἀεὶ νικᾶν τοὺς Μυσοὺς ἐχυρωτέραν ἔχοντες τὴν
τόλμαν, καταφρονητικῶς ἐπῄεσαν αὐτοῖς, καὶ ἡμῖν, ἐὰν τῆς
ἐκείνων ἀρετῆς καὶ προθυμίας φανῶμεν ζηλωταί, τὸ αὐτὸ ἐξέ-
σται. ἔχομεν δὲ καὶ πολλὰ ἐνέχυρα ἀσφαλῆ τοῦ περιγενέσθαι
ἂν αὐτῶν ἐν τῷ πολέμῳ. ἥ τε γὰρ ἡμετέρα στρατιὰ πλείων καὶ
τὰ πολέμια κραταιοτέρα, ὑμῶν τε τῆς συγκλήτου πολλοὶ τῶν
ἐκείνων βασιλέων οὐ φρονήσει μόνον, ἀλλὰ καὶ ἀνδρίᾳ καὶ πεί-
ρᾳ τῇ πρὸς στρατηγίας ὑπερέχετε πολύ· χρήμασί τε οὐκ ἐκ
τῶν κοινῶν μόνον, ἀλλὰ καὶ ἐκ τῶν ἰδίων ἐῤῥώμεθα μᾶλλον
ἐκείνων. οἷς εἰ μὴ χρησαίμεθα νῦν, ὁπότε ἂν ἀπολαύσαιμεν
C τῆς ἐξ αὐτῶν ὠφελείας ἀπορῶ. ὡς οὖν ἐν πᾶσιν ὑπερέχοντες
αὐτῶν, διδάξωμεν αὐτοὺς οὐ τὸ ἐς τὴν ἡμετέραν εἰσβάλλειν
ὂν λυσιτελές, ἀλλὰ τὸ τὴν ἰδίαν ἀσινῆ καρποῦσθαι ἀγαπη-
τόν· καὶ προθύμως συναγωνισώμεθα κατὰ τόνδε τὸν πόλε-
μον τοῖς ἡμετέροις βασιλεῦσι καὶ χρήμασι καὶ οἰκέταις καὶ
τοῖς σώμασιν αὐτοῖς, τῇ τε τῆς Ῥωμαίων ἡγεμονίας τιμῇ
ἀπὸ τοῦ μὴ ὑπὸ τῶν βαρβάρων καταφρονεῖσθαι, ᾗ ἀγαλλό-
μεθα πάντες, βοηθῶμεν καὶ μὴ φεύγωμεν τοὺς πόνους. ἃ
μὲν οὖν εἶπον, προθύμως ἅπτεσθαι τοῦ πολέμου παραινῶν
ὑμῖν, οὐδὲ αὐτοὺς ἂν λογισαμένους ὡς οὐ καλῶς ἔχουσιν,
D ἀντειπεῖν δοκῶ. ὅτι δὲ πρὸς τὴν ἴσην παρεσκεύασμαι καὶ αὐ-
τὸς καὶ σπουδὴν καὶ προθυμίαν, ἐξ αὐτῶν ἔσται τῶν ἔργων*

24. Ad oram MS. *ἐξέσται. ED. P.*

tia maiores vestri consueverunt, in hostes feramini. Nam illi, quod Moesos semper vincerent, tutius audentes, contemptim in eos invadebant: et nobis, si eorum virtutem alacritatemque aemulabimur, idem licebit. Multa porro ac non dubia victoriae pignora suppeditant. Primum enim copiae nostrae maiores sunt: deinde apparatus bellicus validior; multique de hoc consessu nostro regibus ipsorum et prudentia et fortitudine et rei militaris usu praestant. Adde quod pecunia, qua publica, qua privata, plus illis possumus: ea si hoc tempore non utimur, num quando cum emolumento nostro usuri simus, equidem dubito. Quoniam ergo rebus omnibus antesumus, doceamus illos, non in alienam provinciam irruere fructuosum, sed sua secure perfrui iucundum esse: et in hoc bello imperatores nostros et sumptu et servis et corpore ipso adiuvemus, et decus Romani principatus, quo gaudemus, a contemptu barbarorum, nullum laborem detrectantes, conservemus. Quae igitur de bello impigre capessendo dixi, ea vos quoque approbaturos puto. Me vero eodem ardore alacriter adiuvandi incensum esse, facta ipsa documento erunt. Fortitudine enim, intelligentia et bellandi scientia plerosque vestrum priores ferre,

τὴν ἀπόδειξιν παραλαβεῖν. ἀνδρίᾳ μὲν γὰρ καὶ συνέσει καὶ A.C. 1322 ἐμπειρίᾳ τῇ πρὸς τοὺς πολέμους πολλοῖς ἂν ὑμῶν συγχωρήσαιμι τὸ πλέον ἔχειν· τῇ προθυμίᾳ δὲ τῇ κατὰ τὰ ἔργα καὶ τῷ ὑπὲρ τῆς τῶν ὁμοφύλων ὠφελείας καὶ τῆς βασιλέων τῶν ἡμετέρων τιμῆς καὶ ἡμῶν αὐτῶν εὐδοξίας καὶ χρήματα καὶ οἰκέτας καὶ αὐτὸ τὸ σῶμα ἐπιδοῦναι, οὐδενὸς εἶναι δεύτερος ἀξιῶ. ὡς οὖν οὐχ ὑπὲρ εὐδοξίας μόνον, ἀλλὰ καὶ τῆς εἰσέπειτα ἀσφαλείας βουλευόμενοι, οὕτω καὶ ψηφισώμεθα καὶ ἀψώμεθα τοῦ πολέμου· καὶ μὴ χείρους φαινώμεθα τῶν προγόνων, οἳ μετὰ P. 115 πόνων καὶ κινδύνων τὸ μὴ ὑπὸ τῶν τοιούτων περιφρονεῖσθαι παρέδοσαν ἡμῖν· ἀλλὰ πολὺ φοβερώτερον νομίζωμεν τὴν οὖσαν εὐδοξίαν ἀπραγμοσύνῃ ἂν ἀφαιρεθῆναι, ἢ κτώμενοι ἀτυχῆσαι." Τοιαῦτα μὲν ὁ μέγας δομέστικος εἶπεν. ὁ πρωτοστράτωρ δὲ μετ' αὐτὸν „μὴ νομίζετε" εἶπεν „ὦ παρόντες, τὸν μέγαν δομέστικον μόνον τοιαῦτα καὶ βουλεύεσθαι καὶ προθυμεῖσθαι, ἀλλὰ καὶ ἡμῖν ἅπασι ταῦτα συνδοκεῖν· καὶ μὴ ἂν τὰ ἡμέτερα ὀρθωθῆναι, εἰ μὴ καὶ σπουδὴν καὶ τόλμαν ἀξίαν καὶ τῆς τῶν προγόνων καὶ ἡμῶν αὐτῶν ἀναλάβωμεν εὐδοξίας." τὰ ἴσα δὲ καὶ οἱ τῷ νέῳ βασιλεῖ συνόντες συνεπεψηφίσαντο B πάντες. τοῖς δ' ἐν Βυζαντίῳ τῷ πρεσβυτέρῳ συνοῦσι βασιλεῖ ἀναγκαῖα μὲν οὐκ ἐδόκει τὰ εἰρημένα· οὐ μέντοι καὶ ὡς ἀλυσιτελῆ ἐτόλμησαν φανερῶς ἀντειπεῖν, ἀλλὰ πολλὰ ἐφεξῆς συνείραντες, ἐξ ὧν κατεσκεύαζον ἀδήλως, ὡς δεῖ τὴν ἀπραγμοσύνην μᾶλλον αἱρεῖσθαι, ἀνέστησαν ἀσύμ-

**haud aegre concesserim: verum alacri ad opus voluntate et conferendis insuper ad utilitatem civium, ad imperatorum dignitatem, ad nostram ipsorum celebritatem sumptibus et servis domesticis et hoc ipso corpore meo nemini me secundum numerari volo. Ergo quasi non de gloria solum, verum etiam de futura securitate consultemus, ita sententias dicamus et ad bellum accingamur: neve a maioribus nostris degeneremus, quorum opera periculisque effectum est, ne ab istis contemni possemus: sed multo formidabilius arbitremur, partam claritudinem per desidiam posse amittere, quam in ea retinenda casus adversos experiri. Hactenus magnus domesticus, quem excipiens protostrator, Nolim cogitetis, inquit, vos, qui praesentes estis, haec tantummodo magnum domesticum consulere et ad ea promptum afferre studium: nobis quoque universis idem videri scitote: nec unquam res nostras feliciter ituras, ni diligentiam et animos maioribus nostris nostroque ipsorum nomine dignos susceperimus. His iunioris imperatoris comitatus ad unum assensit. At senioris optimates non duxerunt pro necessariis quae dicebantur, tametsi ea palam ut inutilia coarguere non auderent: sed multa deinceps acervantes, quibus otium potius eligendum astruerent, discordes surrexerunt; quasi in tam perplexo negotio certum consilium reperire nequirent; revera,**

A.C.1322 φωνοι ταῖς γνώμαις, τὸ μὲν δοκεῖν, ἐξ ἀποριῶν τινων εἰς
V.93 ἀμηχανίαν καθιστάμενοι, τὸ δ' ἀληθὲς, οὐχ ἃ τῷ κοινῷ λυσιτελεῖ, ἀλλ' ἃ αὐτοῖς ἰδίᾳ διαφέρει σκοποῦντες. ἐπηκροῶντο δὲ καὶ οἱ βασιλεῖς ἔνδοθεν τῶν λεγομένων, ὄντες οὐ μακράν. βασιλεὺς μὲν οὖν ὁ νέος ἐφθέγξατο οὐδέν· ὁ δέ γε
C πρεσβύτερος τῶν μὲν αὐτῷ συνόντων ἀνανδρίαν τε πολλὴν κατεγίνωσκε καὶ ἀβουλίαν, τοὺς δὲ τῷ ἐγγόνῳ συνόντας ἐθαύμαζε τῆς εὐβουλίας, καὶ τῆς ὑπὲρ τοῦ κοινῇ συμφέροντος σπουδῆς ἐπῄνει· μάλιστα δὲ τὸν μέγαν δομέστικον συνετῶς ἄγαν καὶ καιρίως βεβουλευμένον, καὶ ἀκριβεῖς ἔλεγεν αὐτῷ τοῦ πρὸς μητρὸς πάππου χαρακτῆρας ἐνορᾶν, ὃς οὕτως ἦν τά τε δέοντα συνεῖναι ὀξὺς καὶ ἑρμηνεῦσαι ταῦτα ἱκανὸς καὶ καταπράξασθαι δραστηριώτατος· „ὡς παρ' ἐμοὶ κριτῇ, εἴγε ἐτελεύτων ἐξ ὀσφύος οὐκ ἔχων διάδοχον τῆς βασιλείας καταλιπεῖν, ἐκεῖνον ἂν συνεβούλευσα Ῥωμαίοις προστήσασθαι
D ἑαυτῶν." οὕτω μὲν ὁ βασιλεὺς τῶν μὲν κατέγνω, τοὺς ἑτέρους δὲ ἠξίωσεν ἐπαίνων. αὐτὸς δ' ὅ,τι χρὴ πράττειν ἅμα τῷ νέῳ βασιλεῖ περὶ τοῦ προκειμένου ἐβουλεύοντο πολέμου. ἐξετάζοντες δὲ τὸν λόγον, ὃν πρὸς βασιλέα τὸν νέον ὁ βασιλεὺς Μυσῶν μεμήνυκε Μιχαὴλ, (ὡς εἴσω ὀλίγου χρόνου διὰ τὴν ἐσομένην αὐτοῖς φιλίαν συστρατευόμενοι πρὸς τοὺς ἑτέρωθί που μαχοῦνται πολεμίους,) καὶ μηδὲν ἕτερον στοχάζεσθαι δυνάμενοι, ἢ ὅτι Μιχαὴλ τὴν βασιλέως ἀδελφὴν, ἣ τῷ προβεβασιλευκότι Μυσῶν συνῴκει, βούλεται γυναῖκα ἀγαγέσθαι, ἐπεψηφίζοντο τὸν μὲν βασιλέα τὸν νέον ἐξελθόντα Βυ-

quod, communi posthabito, sua ipsorum compendia sectarentur. Non procul inde ex occulto imperatores hos sermones auscultabant, tacenteque iuniore, senior suos valde effeminatos atque inconsultos iudicabat: nepotis contra ut consilio bonos publicorumque commodorum cupidos suspiciebat atque commendabat. Inprimis vero magnum domesticum prudenter admodum et ad tempus accommodate consuluisse pronuntiabat: et se in illo avi materni expressam intueri imaginem, qui tam celeriter arripuisset, et tam idonee explicasset, et promptissime confecisset, quae res postulasset: ut decreverit, si absque successore ex se nato de vita exiret, Romanis suadere, illum potissimum sibi imperatorem praeficerent. Hunc in modum senior illos damnabat, hos laudibus extollebat, et cum nepote de bello suscipiendo cogitationes suas communicabat. Cum autem verba perpenderent, quae Michael Moesorum rex imperatori iuniori renuntiari iusserat, (propter futuram inter eos amicitiam sociatis armis alicubi cum hostibus belligeraturos,) quoniam aliud divinare nihil poterant, quam eundem Michaelem Andronici minoris germanam sororem Theodoram, Sphentisthlabo regi defuncto antea nuptam, statuisse uxorem du-

ζαντίου, στρατιὰν συναθροίζειν ὡς ἐς τὴν Μυσίαν ἐσβαλοῦν- A.C. 1322
τα. εἰ μὲν οὖν ἐν ταῖς ἡμέραις τῆς παρασκευῆς ὁ τῶν Μυ- P. 116
σῶν πρεσβείαν πέμψας βασιλεὺς χωροίη πρὸς σπονδὰς ἐπὶ τῷ τὴν βασιλέως γῆμαι ἀδελφὴν, τὴν στρατιὰν πάλιν κατὰ πόλεις διαλυθῆναι· εἰ δὲ μὴ ἐπικηρυκεύοιτο, εἰς τὴν Μυσίαν ἐσβαλεῖν. ἐπὶ τούτοις μὲν οὖν ὁ νέος βασιλεὺς ἐξῆλθε τοῦ Βυζαντίου καὶ συνήθροιζε τὴν στρατιάν.

λθ΄. Μεταξὺ δὲ συναθροιζομένου, ἐκ Μυσῶν βασιλέως B
ἀφίκοντο πρὸς βασιλέα τὸν νέον πρέσβεις, ὁ Γρίδος καὶ ὁ Πάντζος, λέγοντες ὡς ὁ βασιλεὺς αὐτῶν βασιλεῦσι Ῥωμαίων ἐθέλων εἶναι φίλος, τὴν βασιλέως ἔγημεν ἀδελφὴν, ἣ τῷ πρὸ αὐτοῦ βεβασιλευκότι Μυσῶν συνῴκει, καὶ τὰ νενομισμένα ἐτελέσθησαν ἐπὶ τοῖς γάμοις. προσήκειν οὖν τὰς μὲν διαφορὰς ἁπάσας καὶ προφάσεις τοῦ πολέμου ἐκποδὼν γενέσθαι· αὐτοὺς δὲ εἰρηνικὰς θεμένους σπονδὰς, τὸν ἐς ἀεὶ χρόνον
ἀναμίγνυσθαι Ῥωμαίους Μυσοῖς καὶ μηδὲν ἀλλήλους ἀδικεῖν, C
ἀλλ' ὥσπερ ὑπὸ μίαν ἡγεμονίαν πάντας τελεῖν. ἀσμένως δὲ αὐτοὺς δεξάμενος ὁ βασιλεὺς καὶ δώροις ἀμειψάμενος βασιλικῶς, καὶ τὴν γεγενημένην ἐπιγαμίαν κατὰ γνώμην αὐτῷ γεγενῆσθαι εἰπὼν, εἶτα καὶ αὐτὸς πρὸς τὸν Μυσῶν βασιλέα καὶ κηδεστὴν τὸν Παλαιολόγον Ἀνδρόνικον τὸν μέγαν στρατοπεδάρχην καὶ Ἰωάννην τὸν Ἀπλησφάρην πρέσβεις ἅμα συν-
εξέπεμψεν αὐτοῖς βεβαιώσοντας τὴν εἰρήνην. καὶ διῆγον ἔν- V. 94
σπονδοι οἱ Ῥωμαῖοι καὶ οἱ Μυσοὶ μέχρι πολλοῦ. τήν τε στρατιὰν ἐκέλευσεν ἐπ' οἴκου ἕκαστον διαλυθῆναι, καὶ τῷ πάππῳ

cere, convenit, uti iunior extra Byzantium copias colligeret, in Moesiam irrupturus. Si interea dum id molirentur, Moesus per legatos ob sororem eius ducendam ad foedus se offerret, milites oppidatim dimitterentur: si id non faceret, in incepto pergeretur. Post haec iunior imperator Byzantio exiens militem cogebat.

39. Dum exercitus conquiritur, adsunt oratores e Moesia Gridus et Pantzus, quorum oratio haec continebat: Regem ipsorum expetentem imperatorum Romanorum amicitiam, sororem imperatoris in matrimonium accepisse solenniaque nuptiarum consummata esse. Decere igitur discordias omnes et belli praetextus tolli e medio, Romanosque Moesis, percusso pacis foedere, in perpetuum coniungi et mutuum temperare ab omni iniuria et omnes velut sub uno principatu censeri. Excepit eos libenter imperator donavitque regaliter, et affinitatem istam sibi optabilem accidisse testificatus est. Deinde ad eundem regem, iam sororis maritum, cum iisdem oratoribus Andronicum Palaeologum magnum stratopedarcham et Ioannem Aplespharem ad pacem sanciendam misit; perstiteruntque Romani et Moesi in foederis communione diu. Militibus item domum redire

A.C. 1322 καὶ βασιλεῖ διὰ γραμμάτων τὰ γεγενημένα ἐδήλου. ἀλλὰ ταῦ- D τα μὲν τοῦτον συνηνέχθη τὸν τρόπον. τὸ δὲ ἐξ Ὑπερβορέων Σκυθικὸν πλήθει τε ἀναρίθμητον σχεδὸν ὂν καὶ δυνατώτατον τῶν ἑκασταχοῦ ἐθνῶν, ἐν μὲν τοῖς παλαιοτέροις χρόνοις ἐτησίως εἰς τὴν Ῥωμαίων εἰσβάλλον, τὰ μέγιστα ἐκάκου, τὸ προστυχὸν ἐξανδραποδιζόμενον ἅπαν. συνιδόντες δὲ οἱ βασιλεῖς Ῥωμαίων, ὡς μάχῃ πρὸς αὐτοὺς διαγωνίζεσθαι ἀδύνατοι εἶεν, δώροις καὶ φιλοφροσύναις τοὺς αὐτῶν θεραπεύοντες σατράπας, τὸ μὴ ὑπ' αὐτῶν διαφθείρεσθαι ἐκαρποῦντο. μάλιστα δὲ αὐτοὺς ἐξημέρου καὶ φιλίως διετίθει πρὸς Ῥωμαίους τὸ ἐκ τῶν βασιλικῶν οἴκων γυναῖκας ἄγεσθαι ἑαυτοῖς· P. 117 περιμάχητον γὰρ αὐτοῖς τὸ τοιοῦτο διὰ τὸ τὸν βασιλέα Ῥωμαίων Ἀλεξάνδρου τοῦ Μακεδόνων καὶ Περσῶν βασιλέως οἴεσθαι διάδοχον εἶναι. ὃ δὴ καὶ οἱ Ῥωμαίων βασιλεῖς εἰδότες, παρθένους τὴν ὄψιν διαπρεπεῖς, οὐκ εὖ γεγονυίας μόνον, ἀλλὰ καὶ ἐξ ἀσήμων γενῶν ἐν τοῖς βασιλείοις ἐκτρέφοντες, ὡς θυγατέρας ἑαυτῶν, ὁπότε δέοι, τοῖς Σκυθῶν σατράπαις κατηγγύων. καὶ διὰ τοιούτων ἐπινοιῶν καὶ τρόπων θεραπευόμενοι ἐπὶ πολλοῖς ἔτεσιν οὐκ ἐσέβαλον εἰς τὴν Ῥωμαίων. τοῦ δὲ ἔτους, οὗ Μιχαὴλ ὁ Ῥωμαίων βασιλεὺς τῶν Παλαιολόγων ὁ δεύτερος ἐτεθνήκει, τὴν Μυσίαν Σκυθικὴ καταδραμόντες στρατιᾷ, μέρος τι αὐτῆς καὶ τὴν Ὀδρυσῶν ἄχρι Ἀδριανουπό- B λεως ἐπῆλθε καὶ ἐζημίωσεν οὐ πολύ, ἅτε καὶ τῆς στρατιᾶς εὐαριθμήτου οὔσης. τοῦ δὲ ἐπιόντος ἔτους, τοῦ νέου βασιλέως διὰ τὸν πρὸς τὸν πάππον πόλεμον περὶ Βυζάντιον ἐστρα-

iussis, de tota re ad avum perscripsit. Et haec quidem isto modo evenerunt. Scythae autem ad montes Hyperboreos incolentes, infinita propemodum gens et omnium ubique gentium potentissima, prisca memoria anniversarie fines Romanorum incursantes, plurimam cladem dabant, quidquid occurrisset in servitutem abripientes. Imperatores Romani ad certamina cum illis miscenda parum se posse animadvertentes, muneribus et humanitate quadam eorum satrapas demulcendo vastitatem ab iis redimebant: quos praecipue emolliebat et Romanis conciliabat, quod ex imperatoria familia uxores nanciscerentur: hoc enim decertatione dignum ducunt; propterea quod imperatorem Romanum Alexandri Macedonum et Persarum regis successorem esse arbitrantur. Scientes id Romani imperatores, eximia pulcritudine virgines, non generosas tantum, sed plebeias quoque in palatio alebant, et Scytharum satrapis, si quando peterent, collocabant: qui huiuscemodi commento et tali ratione deliniti, perdiu quieverunt. Sed quo anno Michael imperator Palaeologorum secundus e rebus humanis excessit, partem Moesiae et Odrysos usque Adrianopolin incursarunt, haud magna cum pernicie, quod numero pauci erant. Anno sequenti, iuniore imperatore causa belli adversus avum iuxta Con-

πεπαιδευμένου, Σκυθικὴ στρατιὰ οὐκ ὀλίγη ἐς τὴν Ῥωμαίων A.C. 1322 ἐσβαλοῦσα, πᾶσαν μὲν ἐπέδραμε τὴν Θρᾴκην, ἐζημίωσε δὲ οὐ πολλὰ διὰ τὸ τοὺς ἄρχοντας τῶν κατὰ Θρᾴκην πόλεων τὴν ἔφοδον προγνόντας, τοὺς κατὰ τὴν χώραν ἐσκεδασμένους ἀνθρώπους συστεῖλαι εἰς τὰς πόλεις. ἑβδόμης δὲ ἰνδικτιῶνος A.C. 1323 ἱσταμένης, ἐκ τῶν Σκυθῶν δυοκαίδεκα μυριάδες ἐσέβαλλον εἰς τὴν Ῥωμαίων. ἐστρατήγουν δὲ αὐτῶν μυρίαρχοί τε καὶ χιλίαρχοι κατὰ τὸν ἀριθμὸν, καὶ αὐτοκράτορες στρατηγοὶ δύο, Ταιτὰχ καὶ Τογλοὺ Τοργάν. ἐχρόνισαν μὲν οὖν οἱ Σκύθαι C μάλιστα ἐν τῇ ἐσβολῇ ταύτῃ· τεσσαρακοστῇ γὰρ ἡμέρᾳ μετ' αὐτὴν ἐν μέσῃ καθήμενοι τῇ Θρᾴκῃ, αὐτὴν ἐδῄουν· καὶ πλῆθός τε ἀνδραπόδων εἷλον καὶ λείαν ἑτέραν οὐκ ἀριθμητὴν, καὶ τὰ μέγιστα ἐκάκωσαν τὴν βασιλέως γῆν. βασιλεὺς δὲ ὁ νέος τὴν μὲν ὑπὸ Ῥωμαίους ἅπασαν οὐκ ἠδυνήθη συναθροῖσαι στρατιὰν, (διεσκεδασμένοι γὰρ κατὰ πόλεις ἐφύλαττον ἕκαστος τὴν αὐτῶν,) ὅσους δὲ ἐνῆν μάλιστα συναθροίσας, ἀνιχνεύων περιῄει, εἴπου μέρει τινὶ τῆς Σκυθικῆς στρατιᾶς ἐντυχὼν, ὅσον ἂν ἐξῇ ἀμύναιτο αὐτούς. ἐπὶ πεντεκαίδεκα μὲν οὖν ἡμέραις τὸ αὐτὸ ἐποίει συνεχῶς· μηδὲν δὲ ὧν ἠβούλετο ἀνύων, εἰς Ἀδριανούπολιν ἐλθὼν, τὸ μὲν πολὺ κατέλιπεν ἐκεῖ D τῆς στρατιᾶς διὰ τὸ τῶν ἐπιτηδείων τὴν πόλιν εὐπορεῖν, αὐτὸς δὲ τῆς στρατιᾶς ὀλίγους ἅμα τῷ μεγάλῳ δομεστίκῳ παραλαβὼν, τὴν ἐς Διδυμότειχον ᾔει. μεταξὺ δὲ τῆς τε Ἀδριανοῦ καὶ αὐτοῦ, ἐν χωρίῳ τινὶ Προμουσούλου προσαγορευομένῳ,

5. A. C. 1324 ed. P. margo; sed in hunc annum initium certe indictionis septimae non incidit.

stantinopolin considente, ingens eorum multitudo Thraciam populabunda pervasit. Sed ideo parum nocuit, quod praefecti rem subodorati, per agros sparsim habitantes in oppida coëgerant. Septima autem indictione inchoata, centum viginti millia se intulerunt cum myriarchis et chiliarchis suis; Taetach et Toglu Torgan summi erant eorum imperatores. Et hanc depopulationem, castris in media Thracia positis, diu, nempe ad quadraginta dies, exercuerunt: multisque mortalibus servitute multatis et immani praeda capta, eam quammaxime attriverunt. Imperator nepos universum exercitum congregare non potuit, quod eius bona pars in urbibus praesidiarios agebat: congregato autem quantum licuit, operam dedit, ut manipulos hostium circumeundo iniurias pro viribus persequeretur. Quod cum diebus quinis denis continenter frustra fecisset, Adrianopolin concessit; ubi, quoniam ea urbs commeatu abundabat, maximam copiarum partem reliquit, paucisque et magno domestico assumptis, Didymotichum se convertit. Inter quam urbem et Adrianopolin apud Promusuli castellum in Scytharum globum, cum captis mancipiis et ingenti praeda venientem, inciderunt; quos pro natura

A.C. 1323 στρατιᾷ περιέτυχον Σκυθικῇ, ἀνδράποδά τε καὶ λοιπὴν λείαν
ἀγούσῃ πολλήν. οὕτω δὲ τοῦ τόπου παρασχόντος, τοῖς μὲν
Ῥωμαίοις ἡ τῶν Σκυθῶν στρατιὰ ἦν καταφανής, οὐκέτι δὲ
καὶ ἡ Ῥωμαίων αὐτοῖς. βουλευσαμένῳ δὴ τῷ βασιλεῖ ἅμα
τῷ μεγάλῳ δομεστίκῳ, ἐδόκει ἐπιχειρεῖν αὐτοῖς, εἰ καὶ τρι-
πλασίους ἢ καὶ πλείους τῶν σφετέρων ἐνομίζοντο στρατιωτῶν
V. 95 ἦσαν δὲ οὐ τρὶς, ἀλλὰ καὶ δεκάκις τόσοι. ἦσαν γὰρ ἐγγὺς αὐ-
τῶν καὶ ἕτεροι ἐστρατοπεδευμένοι, οὓς ἀφανεῖς ὁ Ἕβρος ἐποί-
ει κειμένους παρ' αὐτῷ, οἳ προσεβοήθουν, γενομένης τῆς συμ-
P. 118 βολῆς. οὕτω δὲ δόξαν, καὶ τοῖς στρατιώταις τὴν γνώμην ἐκοι-
νοῦντο. ὡς δὲ καὶ αὐτοῖς ἐδόκει μαχητέα εἶναι, καὶ μᾶλλον
ἦσαν προθυμότεροι τοῦ βασιλέως, τῶν ἵππων ἀποβάντες καὶ
θεὸν ἐπικαλεσάμενοι, τοὺς μὲν ἀδίκως ἐπιστρατεύσαντας κο-
λάσασθαι τῆς ἀδικίας, αὐτοῖς δὲ τιμωρῆσαι δικαίως ἀμυνο-
μένοις, σταυρῷ τε καθοπλίσαντες ἑαυτοὺς, ἔφιπποι γενόμενοι,
ἐπῄεσαν τοῖς βαρβάροις ἀτρέπτῳ καὶ παραβόλῳ φρονήματι.
καὶ οἱ Σκύθαι ἰδόντες ἀντεπῄεσαν καὶ αὐτοί· προσεβοήθουν δὲ
καὶ οἱ ἐγγὺς ἐστρατοπεδευμένοι. καὶ γενομένης μάχης καρτερᾶς,
θεοῦ συμμαχοῦντος τοῖς Ῥωμαίοις, ἐτρέψαντό τε τοὺς βαρ-
B βάρους καὶ ἐνίκησαν κατὰ κράτος· καὶ τοὺς μὲν ἀπέκτειναν
αὐτῶν, τοὺς δὲ λοιποὺς ἀπέπνιξαν εἰς τὸν Ἕβρον ἐμβαλόντες.
διεσώθησαν δὲ οὐ πλείους ὀκτὼ καὶ εἴκοσιν αὐτῶν, οἵτινες
ἴσχυσαν διανήξασθαι τὸν ποταμόν. οἱ δὲ Ῥωμαῖοι τούς τε νε-
κροὺς σκυλεύσαντες τῶν πολεμίων, καὶ τὴν ἄλλην διαρπάσαν-
τες ἀποσκευὴν, καὶ τὴν λείαν καὶ τοὺς αἰχμαλώτους λαβόντες,
ἧκον εἰς Διδυμότειχον ἅμα τῷ βασιλεῖ. τῶν δὲ διασωθέντων

loci videbant ipsi quidem, sed ab illis minime videbantur. Consulto prius magno domestico, visum in eos impetum dare, tametsi amplius triplo plures apparebant: erant autem plures decies. Nam et alii iuxta tendebant, qui prope Hebrum latitabant et, pugna coepta, eos adiuvabant. Consilio militibus patefacto, cum congrueret illorum voluntas et sententia, seque imperatore ipso pugnandi cupidiores ostenderent, de equis descenderunt, Deum suppliciter orantes, ut tam iniquos praedatores punire et iniurias iuste se defendentium ulcisci vellet. Tum signo crucis communiti, rursum equos ascenderunt, constantique ac fidenti animo in barbaros se incitarunt. Scythae cum his, qui haud procul considebant, viso Romano, contra gradum inferebant. Pugna atrox conseritur; Romani, Deo auxiliante, victores evadunt, partimque hostium mactant, partim in fugam vertunt, partim in flumen Hebrum compellunt ac summergunt: quorum octo et viginti tantum tranando vitam retinuerunt. Romani cadaveribus spoliatis vasisque et sarcinis direptis, cum praeda et captivis, duce imperatore, Didymotichum ingressi sunt.

A.C. 1323

βαρβάρων εἰς τὸ μέγα στρατόπεδον ἐλθόντων, ὡς τοῖς στρατηγοῖς ἠγγέλθη τὸ συμβὰν, στρατιὰν ἐκ τῶν ἀρίστων οὐκ ὀλίγην ἐπιλεξάμενοι, ἀπέστειλαν καθ' ὃν ἡ μάχη τόπον ἐγεγόνει, ὡς ἂν εἰ μὲν ἐντύχοιεν τοῖς νικήσασι Ῥωμαίων, ἀναμαχέσωνται τὴν ἧτταν· εἰ δ' οὖν, ἀλλὰ τούς τε σφετέρους θάψωσι C νεκροὺς, καὶ εἴ τινες ἐν αὐτοῖς εὑρεθῶσιν ἐμπνέοντες τραυματίαι, ἀνελόμενοι ἀξιώσωσιν ἐπιμελείας. ἐλθόντες δὲ καὶ ταφῆς ἠξιωκότες τοὺς νεκροὺς, (ζῶντα γὰρ οὐδένα εὗρον,) πρὸς μὲν τὸ στρατόπεδον ὑπέστρεψαν οὐκέτι, τὴν δὲ πρὸς τὰ οἰκεῖα φέρουσαν ἤνυον ὁδόν. ὡς δὲ ἠγγέλθη βασιλεῖ περὶ Μόῤῥαν εἶναι Σκυθικὴν στρατιὰν, Διδυμοτείχου ἐξελθὼν, ἤλαυνεν ὡς εἶχε τάχους ἐπ' αὐτούς. διαβάντων δὲ αὐτῶν τὸν Ἕβρον κατὰ τὴν Τζερνομιάνου λεγομένην πόλιν, ἐπεὶ καὶ ὁ βασιλεὺς κατὰ τὸν αὐτὸν διεβίβασε πόρον ἣν ἦγε στρατιὰν, ἡ κατὰ τὴν Ἀδριανούπολιν καταλειφθεῖσα παρὰ βασιλέως στρατιὰ ἅμα τοῖς σφετέροις ἄρχουσιν ἐνταῦθα προσέμιξαν D τῷ βασιλεῖ, συγχαίροντες μὲν αὐτῷ τῆς κατὰ τῶν βαρβάρων νίκης, ἀνιώμενοι δ', ὅτι καὶ αὐτοὶ μὴ παρῆσαν, ἀλλ' ὑστέρησαν τῆς μάχης, καὶ ἐπεδίωκον ἑνωθέντες. γενόμενοι δὲ κατὰ τὸν Τοῦντζαν λεγόμενον ποταμὸν, τὴν μὲν Σκυθικὴν ἄρτι διαβᾶσαν εὗρον στρατιάν. ὥσπερ δὲ καὶ πρότερον, τοῦ τόπου παρασχόντος, αὐτοῖς μὲν ἡ τῶν Σκυθῶν ἑωρᾶτο πᾶσα στρατιὰ, αὐτοὶ δὲ ἀθέατοι ἦσαν, πλὴν ὀλίγῳ ἐλασσόνων τῶν προτάκτων ἑκατὸν, ἐν οἷς καὶ αὐτὸς ἦν βασιλεύς.

Barbari superstites ad exercitum reversi, infortunium suum ducibus narrarunt. Ii fortissimorum delectam manum in eundem locum, ubi proelium erat factum, miserunt: ut si Romanos reperirent, pugnam instaurarent victoresque vincerent: sin minus, certe corpora suorum exanimata tumulis mandarent; et si quos inter eos adhuc spirantes offenderent, relevatos cura diligenti tractarent. Illi, sociis sepultura donatis, (vivum enim nullum invenerunt,) ad exercitum non redierunt, domum suam quisque abeuntes. Imperator, ut Scytharum copias iuxta Morrham consistere didicit, Didymoticho quam potuit festinato in eos duxit. Qui cum Hebrum prope urbem Tzernomianum transiecissent, et imperator suos eodem loco transiiceret, relicti ab eo Adrianopoli una cum ducibus suis hic se cum illo coniunxerunt, reportatam de barbaris victoriam gratulantes: verumtamen dolentes, non se in tempore pugnae huic affuisse, cum commilitonibus fugientes persecuti sunt. Ubi ad Tuntzam fluvium pervenerunt, Scythas modo transiisse significatum est. Ibi ob situm loci idem quod ante contigit. Quippe cum ipsi totum agmen Scythicum intuerentur, ab illis tamen, exceptis paulo minus centum primanis, in quibus ipse imperator, non conspiciebantur. Visis Romanis, etiam

A.C. 1323 οὓς ἰδόντες οἱ Σκύθαι, τῆς πορείας μὲν ἔστησαν καὶ αὐ-
τοί, οὐ μέντοι καὶ ἐχώρησαν πρὸς μάχην, τοῦτο μὲν, ὅτι
A.C. 1324 καὶ ὁ ποταμὸς πλημμυρῶν ἦν ἤδη ἔαρος ἀρχομένου· τοῦτο
P. 119 δ', ὅτι καὶ τῶν πολεμίων ἀφανῶν ὄντων ἐδεδοίκεσαν τὴν συμ-
πλοκὴν, μὴ οὐκ ἀπαλλάξουσι καλῶς πλειόνων ἢ κατὰ σφᾶς ὄν-
των. τοῖς Ῥωμαίοις τε ὁμοίως ἀλυσιτελὲς τὸ κατὰ τῶν Σκυθῶν
ἐφαίνετο χωρεῖν, οὐ δεκάκις ἀλλὰ περαιτέρω ὑπερέχοντας αὐ-
τῶν τῷ ἀριθμῷ. ὅμως δὲ βασιλεὺς ἅμα τοῖς φαινομένοις Ῥω-
μαίων καὶ Τασπουγᾶς, εἷς τῶν παρὰ Σκύθαις στρατηγούντων,
καὶ αὐτὸς ἅμα τοσούτοις βαρβάροις, ἐν ἑκατέροις μέρεσι γενό-
μενοι τοῦ ποταμοῦ, διάλογόν τινα ἐποιήσαντο βραχύν. ἐρομέ-
V. 96 νου γὰρ αὐτοὺς οἵτινες εἶεν τοῦ βαρβάρου, διά τινος ἀπεκρίνα-
το τῶν διγλώσσων ὁ βασιλεὺς, ἄνθρωποι εἶναι καὶ αὐτοὶ θη-
B ρεῦσαί τι ζητοῦντες, ὥσπερ καὶ αὐτοὶ ποιοῦσιν. οὐ καλῶς δὲ
ἔφασκεν αὐτοὺς ὁ βασιλεὺς, οὐδὲ ἀνδρείων, ἀλλὰ λῃστῶν ἔρ-
γον ποιεῖν, ἀκήρυκτοί τε ἐπερχόμενοι καὶ γεωργοὺς ἐξανδρα-
ποδιζόμενοι, ἀνθρώπους οὐκ εἰδότας πολεμεῖν. ἔδει γὰρ αὐτοὺς
μᾶλλον τὴν ἔφοδον αὐτῶν προκαταγγέλλοντας, στρατιώταις
ἐντυγχάνειν εἰθισμένοις πολεμεῖν· κἂν αὐτῶν ἦτε κρείττους,
οὐδὲν ἦν θαυμαστὸν, εἰ καὶ τούτους τοὺς ἀπολέμους ἐξηνδρα-
ποδίζεσθε ἆθλον τῆς ἀρετῆς. Τασπουγᾶς δὲ οὐδὲν ἔφασκε
τούτων εἶναι πρὸς αὐτούς· ὑπ' ἐξουσίαν γὰρ ὄντες, προστατ-
τόμενοι ἐπέρχεσθαι καὶ ἀπιέναι ἢ μένειν. ἠρώτα δὲ, εἰ αὐτοὶ
C εἶεν οἱ χθὲς καὶ πρώην τῆς Σκυθικῆς στρατιᾶς μάχῃ κρατή-

ipsi pedem represserunt; sed ad certamen non processerunt, tum quod fluvius, vere iam procedente, redundaret, tum quod, hostibus nondum omnibus conspectis, metuerent, ne, si numero superati essent, parum honeste proelio defungerentur. Romani similiter cladem timebant, si plures decem partibus et amplius aggrederentur. Ceterum imperator cum primis illis Romanis et Taspugas unus e Scytharum ducibus cum totidem barbaris ex altera ripa fluminis brevem quendam dialogum habuerunt. Interrogante Scytha, quinam mortales essent, imperator per quendam Graecae et Scythicae linguae gnarum respondit, homines esse, qui quaererent, quemadmodum et ipsi, quod caperent. Eos autem non recte, neque viriliter facere: sed latrones imitari, qui, adventu suo celato, hostilem in modum grassarentur, et agricolis belli insuetis servitutem imponerent. Oportuisse impressionem suam denuntiare et cum militibus pugnare, assuetis pedem conferre: quos si vincerent, tum mirum non esse, si et hos imbelles praemium virtutis abducerent. Tum Taspugas, nihil hoc ad ipsos, qui sub aliena essent potestate; ut proinde iussi vel incursarent, vel abirent, vel manerent etiam. Percunctabatur deinde, ipsine nuperrime Scythicam manum congressi devicissent ac

σαντες καὶ ἀνελόντες. ὁ βασιλεὺς δὲ μήτ' αὐτοὶ εἶναι, μήτ' A.C. 1324 ἀκηκοέναι ἔφασκε περὶ τούτων· ἐνδέχεσθαί γε μὴν, ὥσπερ νῦν αὐτοῖς ἂν, εἰ μὴ κώλυμα ἦν ὁ ποταμὸς, συνέβη, ἑτέροις περιτυχόντας τοὺς κρατηθέντας μάχῃ διαφθαρῆναι. οὕτως, εἴρηκεν ὁ βάρβαρος, εἰκός· ἀδικίαν μέντοι τοὺς στρατιώτας ἐκείνους οὐδενὸς φεισαμένους εἰργάσθαι, ἀλλὰ τοὺς μὲν ἀποπνίξαντας ἐν τῷ ῥείθρῳ, τοὺς δὲ καταχοντίσαντας ἀφειδῶς. τοιαῦτα διαλεχθεὶς ἀπῆλθεν, ὅτι Ῥωμαίων εἴη βασιλεὺς ὁ διαλεγόμενος αὐτοῖς ἠγνοηκώς. τὸ δὲ πολὺ τῆς στρατιᾶς ἔτι τῇ Ῥωμαίων ἱκανὰς ἐνδιατρίψαντες ἡμέρας, ἐπανέζευξαν καὶ αὐτοί. φήμη μέντοι τις ἤρετο διὰ πάντων ὁμαλῶς, ὡς πρότερόν τε βασιλεὺς D ὁ πρεσβύτερος ἔχθει τῷ πρὸς τὸν ἔγγονον Σκύθας ἐπάξαι Ῥωμαίοις, καὶ νῦν οὐδὲν ἧττον, κρύφα διαπρεσβευσάμενος πρὸς αὐτοὺς, βουλόμενος ἀναστῆσαι Θρᾴκην, ὅτι προσέκειτο τῷ νέῳ βασιλεῖ. εἶχε δὲ ὑγιὲς οὐδὲν, ἀλλὰ καίτοι ὑπὸ πολλῶν φημισθεῖσα, τὸ ψεῦδος ἄκρατον εἶχεν. οὔτε γὰρ πρότερον οὔθ' ὕστερον τῆς Σκυθικῆς αἴτιος ἐφόδου ἐγεγόνει.

μ'. Ὁ βασιλεὺς δὲ ὁ νέος κατὰ τὸ Διδυμότειχον καὶ P. 120 τὴν Ἀδριανοῦ διέτριβε πόλιν· περὶ δὲ τὴν τοῦ σίτου μάλιστα συγκομιδὴν ἡ αὐτοῦ γαμετὴ νόσῳ κατεσχέθη. διανοούμενος δὲ καὶ αὐτὸς εἰς Βυζάντιον ἀπελθεῖν, προέπεμψεν αὐτὴν, ἅμα καὶ διὰ τὴν νόσον· γενομένη δὲ ἐν Ῥαιδεστῷ, ἐπεὶ μὴ ἐδύνατο ἀντέχειν, ἐτεθνήκει ἑκκαιδεκάτῃ κατὰ Αὔγουστον μῆνα B ἑβδόμης ἰνδικτιῶνος, οὐδένα ἔχουσα ἐκ βασιλέως παῖδα. τὸν μὲν οὖν νεκρὸν αὐτῆς κομίσαντες εἰς Βυζάντιον, ἐν τῇ τοῦ

delevissent. Ad haec imperator, Neque ipsos esse, neque hac de re quidquam audivisse: fieri tamen potuisse, quod idem nunc ipsi paterentur, nisi fluvius in medio vetaret, ut in alios incidentes, pugna victi perierint. Assensit barbarus ut verisimili: crudeles nihilo minus fuisse, qui neminis miserati, alios undis praefocarint, alios iaculis nullo discrimine confixerint. Haec locutus abscessit, nescius Romanum imperatorem verba secum fecisse. Pars autem magna Scytharum multis insuper diebus Thraciae immorata, tandem suis sedibus se reddidit. Fama communis percrebuit, seniorem imperatorem prius quoque illos contra iuniorem in provinciam induxisse, et nunc occulta legatione idem ausum, quo Thraciam, utpote illius studiosam, vastitati subiiceret. Sed ea fama nihil probabile continebat, et quamvis a multis iactata, merum mendacium erat; nec antea enim, nec postea in causa fuit, ut Scythae irrumperent.

40. Imperator nepos Didymotichi et Adrianopoli agebat, cum sub messem eius coniugem morbus invasit: quam, quod et ipse Byzantium cogitaret, etiam ob invaletudinem, praemisit. Cum Rhaedestum venisset, defecta viribus, XVI. Kalendas Septembris, Indictione septima, nulla relicta sobole, in fata concessit. Corpus Byzantium

A.C. 1324 *Λιβὸς ἔθαψαν μονῇ μεγαλοπρεπῶς καὶ βασιλικῶς. βασιλεὺς δὲ ὁ ταύτης ἀνὴρ τὴν ἐς Βυζάντιον βαδίζων, ἐνόσησε καὶ αὐτὸς κατὰ τὰς αὐτὰς ἡμέρας, γενόμενος ἐν Βιζύῃ, καὶ προσέμεινεν ἡμέρας τινὰς ἐκεῖ διὰ τὴν νόσον. ἐπεὶ δὲ ἐῤῥάϊσεν, εἴχετο τῆς ὁδοῦ, καὶ γεγονὼς κατὰ τὴν Ἡράκλειαν τῆς Θρᾴκης, συμβὰν οὕτω, τὴν τῆς βασιλίδος ἐπύθετο τελευτὴν, καὶ ἐπένθησεν ἐκεῖ ἐπὶ πεντεκαίδεκα ἡμέραις. ἔπειτα ἧκεν εἰς τὴν Κωνσταντίνου, καὶ συνδιῆγεν αὐτόθι τῷ πρεσβυτέρῳ βασιλεῖ*
C *ἄχρι Νοεμβρίου τῆς ὀγδόης ἰνδικτιῶνος. τῷ δὲ πρεσβυτέρῳ*
V. 97 *βασιλεῖ ἐδόκει δεῖν εἶναι γυναῖκα μνηστεύσασθαι τῷ ἐγγόνῳ, τοῦτο μὲν, ὅτι καὶ κατ' αὐτὸ τὸ τῆς ἡλικίας ἀκμαιότατον ἦν, (ἑπτὰ γὰρ ἐπὶ τοῖς εἴκοσι μέχρι τότε γέγονεν ἔτη,) ἄλλως θ', ὅτι οὐδὲ παιδὸς ἦν πατὴρ, ὃ τοῖς βασιλεῦσι τῶν ἀναγκαιοτάτων ἐπὶ τῷ διάδοχον τῆς ἀρχῆς ἔχειν δοκεῖ. ἐκοινοῦτο δὴ καὶ τῷ νέῳ βασιλεῖ τὴν γνώμην καὶ ἐπεχείρει πείθειν, ἅμα μὲν τὴν ἐπὶ τῇ τετελευτηκυίᾳ λύπην ὑφαιρῶν, ἅμα δὲ καὶ τὰς αἰτίας ὡς ἀναγκαίας τοῦ δευτέρου γάμου προστιθείς. βασιλεὺς δὲ ὁ νέος ἐπὶ πᾶσιν ἐπέτρεπε τὴν κρίσιν τῷ πάππῳ,*
D *ὡς ἐφ' οἷς ἂν αὐτῷ δόξῃ λυσιτελεῖν αὐτοῦ πεισθησομένου πάντως. σκοπουμένοις δὲ αὐτοῖς, ὅθεν ἂν ἀγάγοιντο τὴν βασιλίδα, ἐπύθοντο ὡς τοῦ τῆς Σαβωΐας ἄρχοντος, ὃν κόντον ἡ Λατίνων γλῶττα καλεῖ, ἐπὶ υἱῷ τελευτήσαντος καὶ θυγατρί,*

9. A. C. 1325 margo ed. P. ad h. l. perperam. 21. *κόντον* et in Graeco legitur et in C. Florentino animadverti; quippe sic Graeci plerumque nomina *μετασχηματίζουσιν* et pro suo iure faciunt; sed mirum, unde Meursius, Gretserus et Pontanus acceperint, comitem dici Conto apud Italos. *ED. P.* Vid. Ducang. Gloss. Gr. s. v.

deportatum, in Libis monasterio magnifice et regia pompa funeratum est. Maritus in itinere per eosdem dies Bizyae minus belle habuit, ut ea propter aliquamdiu ibi subsisteret. Refectus, in viam se rursus dedit, et Heracleae praeter opinionem de obitu uxoris certior factus, ad dies quindecim illic luctui vacavit. Post Constantinopoli cum avo ad Novembrem usque Indictionis octavae mansit: qui secundam uxorem ei committendam censuit; et quia ipsum aetatis ver agitabat, septimum supra vicesimum natus annum, et praesertim quia liberos adhuc nullos susceperat: id quod imperatoribus propter successionem continuandam etiam atque etiam necessarium videri solet. Aperiebat igitur illi quod mente volutabat, et cum rationibus probabilibus moerorem ob defunctam uxorem ei detrahere, tum necessariis alterum matrimonium persuadere conabatur. Nepos totam rem eius iudicio permittebat, obtemperaturus per omnia, quae ille profutura statuisset. Circumspicientes, unde imperatricem sortirentur, comperiunt, principem Sabaudiae, quem Latinorum lingua conton, hoc est, comitem vocat, filio filiaque superstitibus, e vita migrasse: et filium

ὁ μὲν υἱὸς αὐτῷ τὴν ἀρχὴν διεδέξατο τοῦ πατρὸς, ἡ θυγάτηρ A.C. 1324
δὲ ἀμνήστευτος ἔτι θαλαμεύεται παρὰ τῷ ἀδελφῷ. αὐτίκα
γοῦν ἐπιλεξάμενοι πρέσβεις, τόν τε παρακοιμώμενον Ἀνδρό-
νικον τὸν Τορνίκην καὶ τὸν ἐπὶ τοῦ στρατοῦ Τζουΐαν ντὲ Τζε-
πλὲτ, Κύπριον μὲν ὄντα τὸ γένος καὶ καθ' αἷμα προσήκοντα
τῷ ταύτης ῥηγί. ὑποτεταγμένον δὲ αὐτοῖς ἀπέστειλαν εἰς Σα-
βωΐαν, εἰ μή τινι ἑτέρῳ ἐμεμνήστευτο ἡ κόρη, εἴγε καὶ τῷ
ἀδελφῷ κατὰ γνώμην εἴη, ἄξοντες συνοικήσουσαν τῷ νέῳ βα-
σιλεῖ. ἀφικόμενοι δὲ οἱ πρέσβεις ἐκεῖ, ἔτι μὲν ἀμνήστευτον P. 121
εὗρον περὶ ἧς ἧκον· ἐκ μέντοι Φράντζας καὶ ἕτεροι μικρὸν
πρὸ αὐτῶν τῆς αὐτῆς ἕνεκα ἧκον πρεσβείας ὡς τῷ σφετέρῳ
μνηστευσόμενοι ῥηγί. ὁ δὲ τῆς μνηστευομένης ἀδελφὸς Σαβωΐ-
ας κόντος μᾶλλον εἵλετο τῷ βασιλεῖ Ῥωμαίων κατεγγυῆσαι τὴν
ἀδελφὴν, καὶ μετὰ φιλοφροσύνης πολλῆς καὶ τιμῆς προσδε-
ξάμενος τοὺς πρέσβεις Ῥωμαίων, συνέθετο τὴν ἀδελφὴν ὡς
βασιλέα πέμπειν. ἅμα δὲ τῷ βασιλίδα Ῥωμαίων αὐτὴν ὀνομα-
σθῆναι, τήν τε δίαιταν αὐτῆς πᾶσαν πρὸς τὸ μεγαλοπρεπέ-
στερον ἐνήλλαξεν ὁ ἀδελφὸς, καὶ αὐτὸς οὐχ ᾗ καὶ πρότερον B
αὐτῇ προσεφέρετο ὁμοίως. πρότερον γὰρ τῇ τε ἡλικίᾳ προέ-
χων καὶ τῷ ἄρχων αὐτὸς εἶναι, καὶ τῆς ἀδελφῆς διὰ ταῦτα
ᾤετο δεῖν κρατεῖν· ἐπεὶ δὲ κατηγγύηται τῷ βασιλεῖ, κυρίαν
ἑαυτοῦ τὴν ἀδελφὴν καὶ ᾤετο καὶ ὠνόμαζε, καὶ πρὸς τοὺς
Ῥωμαίων πρέσβεις τοιαῦτα φιλοτιμούμενος διεξῄει, ὡς αὐτῷ
μὲν καὶ διὰ τὴν ἡλικίαν καὶ τὴν ἄλλην ἀρχὴν προσῆκε τῶν

4. Ντζουιὰν conj. ED. P. Idem observat, nomen *Ziblet* legi etiam apud scriptores Italos. ντὲ correxi pro τὲ.

quidem parenti in principatu successisse, filiam autem a viro integram domi adhuc apud fratrem diversari. Mox lecti legati, Andronicus Tornices magnus cubicularius, et dux militaris Ioannes de Zeplet Cypriota, qui regio sanguine oriundus, tum imperatoribus in obsequio erat, in Sabaudiam mittuntur, qui puellam, nisi alteri pacta sit, et si frater approbet, iuniori imperatori nupturam adducant. Nulli etiamnum promissam inveniunt. Ac tametsi paulo ante alii e Francia legati venerant, qui eam regi suo in connubium poscerent, nihilo minus Sabaudiae comes sororem imperatori despondere maluit. Quare humanissime et honorificentissime acceptis legatis, eam se missurum pollicetur: simulque cum nomine, imperatrix Romanorum, quo illam indigitat, totam vitae rationem ad illustriorem ei magnificentiam instituit: nec de cetero ut antea se erga ipsam gerit. Etenim ante id tempus, quod aetate antecederet essetque princeps ipse, credebat etiam sorori suae his de causis imperare debere. Verum ubi eam imperatori despondit, tum dominam suam et agnoscere et appellare coepit; legatisque gloriabundus dixit, et aetatis et principatus praerogativa spectata, decere quidem ipsum pri-

A.C. 1324 πρωτείων ἀντιποιεῖσθαι· ἐπεὶ δὲ, βουλομένου θεοῦ, καὶ μείζονος δόξης καὶ ἀρχῆς ἐπελάβετο ἡ ἀδελφὴ, δέον εἶναι καὶ αὐτὸν στέργειν τὰ ἐψηφισμένα παρὰ θεοῦ, καὶ κυρίαν ἑαυτοῦ
C τὴν βασιλίδα Ῥωμαίων ἡγεῖσθαι. καὶ γὰρ οὐ βάρβαροι μόνον, ἀλλὰ καὶ Ἰταλοὶ καὶ ὅσοι ἄλλοι ἄρχουσί τινων, τὴν Ῥωμαίων βασιλείαν καὶ ἑαυτῶν καὶ τῶν ἄλλων ἕκαστος καὶ μείζονα καὶ περιφανεστέραν οἴονται.

A.C. 1325 μά. Κατὰ δὲ τοὺς αὐτοὺς καιροὺς, δευτέρᾳ ἱσταμένου Φεβρουαρίου τῆς αὐτῆς ὀγδόης ἰνδικτιῶνος, ὁ νέος βασιλεὺς παρὰ τοῦ πάππου καὶ βασιλέως ἐν τῷ τῆς τοῦ θεοῦ Σοφίας
D ἐστέφθη ναῷ, Ἠσαΐου πατριαρχοῦντος. ἡ τοιαύτη δὲ βασιλικὴ τελετὴ τοῦτον γίνεται τὸν τρόπον. τῆς προθεσμίας ἐνστάσης,
V. 98 καθ' ἣν ἤδη τέτακται τῷ θείῳ μύρῳ χρίειν τὸν βασιλέα, τοὺς ἐν ἀξιώμασι πάντας καὶ τοὺς ἐν τέλει καὶ τὴν στρατιὰν, οὐ μὴν ἀλλὰ καὶ τὸν τῶν ἱερῶν τῆς ἐκκλησίας τῆς νέας ταυτησὶ Ῥώμης οἰάκων ἐπειλημμένον, ἔτι δὲ καὶ πανδημεὶ τὴν πόλιν τοῖς βασιλείοις ἅμα ἕῳ πάντας παρεῖναι δεῖ. περὶ δὲ δευτέραν ὥραν μάλιστα τῆς αὐτῆς ἡμέρας, τοῦ μέλλοντος χρισθήσεσθαι βασιλέως ἐπὶ ἀσπίδος καθεσθέντος, ὁ βασιλεὺς καὶ πατὴρ τοῦ ἀναγορευομένου, εἴγε περίεστι, καὶ ὁ πατριάρχης τῶν ἐμπροσθίων μερῶν ἐπιλαμβανόμενοι τῆς ἀσπίδος, τῶν δ' ἐπιλοίπων οἱ ἐν ἀξιώμασιν ὑπερέχοντες δεσπόται τε καὶ σεβαστοκράτο-
P. 122 ρες, εἴπερ εἰσὶν, ἢ οἱ ἐπιφανέστατοι μάλιστα τῶν συγκλητικῶν, καὶ μετεωρίσαντες ὡς ἔνι μάλιστα αὐτὸν ἅμα τῇ ἀσπίδι,

8. Totum hoc caput de coronationis ritu ad verbum fere in librum suum de officiis transtulit Georgius Codinus. *ED. P.*
9. Antea Φεβρουάρου, quod ED. P. ex Italo fluxisse putat.

mas vindicare, quia tamen soror Dei nutu et decus et imperium maius adepta sit, in divina voluntate conquiescendum Romanorumque imperatricem dominam suam ducendam. Sane non barbari tantum, sed Itali quoque et alii, quibus imperia sunt, Romanorum regnum et suis et aliorum imperiis maius longeque clarius existimant.

41. Per idem tempus, eadem indictione octava, quarto Nonas Februarias, nepos imperator ab avo in aede Sophiae, Esaia patriarchatum obtinente, coronatus est: quae quidem imperatoria initiatio tali modo peragitur. Instante die praefinita, qua constitutum est sacrato unguento imperatorem inungere, omnes, qui aliqua dignitate funguntur, et proceres et milites, quin etiam ad sacra ecclesiae huius novae Romae gubernacula sedentem, populum insuper universum oriente luce ad palatium convenire oportet. Sub horam diei maxime secundam, imperatore inungendo super scutum elevato, imperator parens renuntiati imperatoris, si superest, et patriarcha anteriora scuti apprehendentes, latera autem et posteriora qui

τοῖς πλήθεσιν ἐπιδεικνύουσι τὸν βασιλέα πάντοθεν περιϊσταμένοις. A.C. 1325 ἐπευφημησάντων δὲ αὐτῶν, καταθέντες ἄγουσιν εἰς τὸν ναὸν, ἔνθα δεῖ τὴν τελετὴν γενέσθαι. οἰκίσκου δ' ἐν αὐτῷ ξυλίνου τῆς τοιαύτης ἕνεκα χρείας προκατεσκευασμένου, τὸν νέον εἰσάγουσι βασιλέα, καὶ τὴν πορφύραν καὶ τὸ διάδημα ἐνδιδύσκουσι, πρότερον τῶν ἀρχιερέων εὐλογούντων αὐτά. ἐπὶ δὲ τῆς κεφαλῆς οὐ νενομισμένον περιτίθεταί τι, ἀλλ' ἢ στέφανος, ἢ ὅ,τι ἂν ἄλλο δοκῇ. τούτων δὲ γινομένων, ἡ θεία B τελεῖται μυσταγωγία. ἐχόμενα δὲ τοῦ εἰρημένου οἰκίσκου καὶ ἀναβάθρα ἐκ ξύλων προκατασκευάζεται καὶ αὐτὴ, καὶ περιειλοῦσιν αὐτὴν πάντοθεν πέπλοις Σηρικοῖς ἐρυθροῖς· ὑπεράνω δὲ αὐτῆς κατὰ τὸν ἀριθμὸν τῶν βασιλέων τίθενται θρόνοι χρυσοῖ οὐ κατὰ τοὺς εἰωθότας, ἀλλ' ἐπηρμένοι μάλιστα τῷ ὕψει, τέτταρας ἢ καὶ πέντε ἔχοντες ἀναβασμοὺς, ἐφ' οὓς, ἐξιόντες τοῦ οἰκίσκου, ἀναβαίνοντες καθίζουσιν οἱ βασιλεῖς, ἤν γε μὴ εἷς, ἀλλὰ πλείους ὦσι. συναναβαίνουσαι δὲ αὐτοῖς καὶ αἱ βασιλίδες, καθίζουσιν ἐπὶ θρόνων, αἱ μὲν προεστεμμέναι τὰ στέμματα περικείμεναι, ἡ μέλλουσα δὲ στεφανηφοροῦσα. πρὸ C δὲ τῆς τοῦ τρισαγίου θείας ὑμνολογίας ἄνεισιν ἐπὶ τὸν ἄμβωνα ὁ πατριάρχης τῶν ἀδύτων ἐξιών. συνανέρχονται δὲ αὐτῷ καὶ τῶν τῆς ἐκκλησίας ἀρχόντων οἱ ἐπιφανέστεροι, τὰς ἱερὰς καὶ αὐτοὶ ἐνδεδυμένοι στολάς· οὓς ἀποστέλλων προσκαλεῖται τοὺς βασιλέας. οἱ δ' εὐθὺς ἐξανιστάμενοι τῶν θρόνων, ἐπὶ

dignitate antistant despotae et sebastocratores, si sunt, alioqui principum nobilissimi, ipsumque cum scuto in altum quantum possunt tollentes, undique circumfuso populo ostentant. Post faustam acclamationem eum deponunt, atque in templum, in quo solenni ritu coronandus est, deducunt. Ubi parvula domus, ad hunc usum e ligno praeparata, in quam introducitur novus imperator: ibi eum purpura et diademate prius per episcopos consecratis induunt. Capiti non certum quid ac definitum imponitur, sed vel sertum vel aliud, quod videtur. Dum haec fiunt, sancta missa habetur. Proxime domunculam iam dictam pulpitum aeque e ligno paratum est, quod undique velis sericis rubris circumdatur. Super illo throni collocantur aurei pro imperatorum numero: non quales alii eorum throni sunt, sed excelsi admodum cum quatuor aut quinque gradibus, quos domicilio egressi imperatores, si plures fuerint, conscendunt et in iis considunt. Ascendunt tabulatum simul imperatrices et suos item thronos occupant: quae prius coronatae fuerant, coronam; coronanda autem sertum in capite ferens. Iam vero antequam divinus trisagii hymnus decantetur, ex adytis egrediens patriarcha, ambonem sive sacrum suggestum ascendit, cum illustrioribus ecclesiae principibus, qui et ipsi sacris stolis cooperti sunt, quos ad imperatores accersendos mittit. Illi confestim e soliis surgentes, ad ambo-

A. C. 1325 τὸν ἄμβωνα χωροῦσι. σιωπὴ δὲ βαθεῖα καὶ ἀταραξία τὸ πλῆ-
θος κατέχει πᾶν. ὁ δὲ πατριάρχης τὰς ἐπὶ χρίσει τῶν βασιλέων
συντεθειμένας δίεισιν εὐχὰς, τὰς μὲν ἡσυχῇ καθ' ἑαυτὸν,
ἔστι δ' ἃς καὶ εἰς ἐπήκοον πάντων, καὶ τῷ χρισθησομένῳ ἐξι-
λάσκεται τὸ θεῖον. μετὰ τοῦτο δὲ ὁ μέλλων χρισθήσεσθαι βα-
D σιλεὺς τὸ ἐπικείμενον, ὅ,τι ἂν ᾖ, τῇ κεφαλῇ ἀφαιρεῖ. νενό-
μισται δ' αὐτίκα πάντας, ὅσοι πάρεισιν ἐντὸς τοῦ ναοῦ, γυ-
μναῖς καὶ αὐτοὺς ἑστάναι κεφαλαῖς. ὁ πατριάρχης δὲ τῷ θείῳ
μύρῳ σταυροειδῶς χρίει τὴν βασιλέως κεφαλὴν, ἐπιλέγων
μεγάλῃ φωνῇ· ἅγιος. διαδεχόμενοι δὲ οἱ ἐπὶ τοῦ ἄμβωνος
ἱστάμενοι τὴν φωνὴν, ἐκ τρίτου καὶ αὐτοὶ λέγουσιν· ἅγιος.
ἐφεξῆς δὲ καὶ πᾶν τὸ πλῆθος τὸ αὐτὸ ἐπιφωνοῦσι τοσαυτά-
κις. μετὰ τοῦτο τῶν ἀδύτων ἐντὸς παρὰ διακόνων τὰς ἱερὰς
ἐνδεδυμένων στολὰς κατεχόμενον τὸ στέμμα, (οὐ γὰρ ἐπὶ τῆς
ἱερᾶς, ὥς τινές φασι, τραπέζης κεῖται,) ἄγουσιν ἐπὶ τὸν ἄμ-
βωνα. καὶ εἴγε πάρεστι προεστεμμένος βασιλεὺς, ἅμα τῷ πα-
τριάρχῃ τὸ στέμμα λαβόντες, ἐπιτιθέασι τῇ κεφαλῇ τοῦ νέου
P. 123 βασιλέως, καὶ ἐκφωνεῖ ὁ πατριάρχης· ἄξιος. διαδεχόμενοι
V. 99 δὲ οἱ ἐπὶ τοῦ ἄμβωνος, ἐκ τρίτου λέγουσιν αὐτοί τε καὶ πᾶν
τὸ πλῆθος ὃν τρόπον ἐπὶ τοῦ μύρου. εἶτα ἐπιλέγει πάλιν ὁ
πατριάρχης εὐχὰς, καὶ κατέρχεται τοῦ ἄμβωνος ὁ βασιλεὺς,
οὐκ ἐξ οὗπερ ἀνῆλθε μέρους, ἀλλ' ἐκ τοῦ πρὸς τὸν σωλέαν
τετραμμένου. εἰ μὲν οὖν συμβῇ μὴ κατ' ἐκεῖνον τὸν καιρὸν
ἔχειν γυναῖκα τὸν βασιλέα, εὐθὺς ἐπὶ τὴν ἀναβάθραν ἀνιὼν,

22. ὁ σωλέας pars templi. De hac voce Gretserus ad Codinum. *ED. P.* Add. Ducang. CP. Christ. L. III. p. 64., qui *soleam* docet pavimentum fuisse eminentius ante sacrarium, ubi erat altare.

nem vadunt: populus universus altum quietissime silet. Patriarcha precationes ad imperatorum unctionem compositas, alias summissa, alias clara voce, omnibus audientibus, ordine recitat, ac Deum ei, qui ungendus est, propitiat. Tum novus imperator tegmen capitis quodcunque fuerit, deponit, et quotquot in templo adsunt solenni more, nudatis verticibus, astant. Patriarcha in formam crucis verticem imperatoris sacro unguento perlinit, et elata voce addit: sanctus, quam excipientes qui in ambone stant, ter pronuntiant: quod deinde populus similiter facit. Postea coronam, quam in adytis Diaconi sacras stolas ferentes tenent, (nec enim, ut quidam aiunt, super mensam sacram reponitur,) ad ambonem portant. Quod si adest imperator antea coronatus, cum patriarcha novo imperatori coronam imponit, et exclamat patriarcha: dignus. Idem tertium exclamant qui in ambone sunt, et post eos populus: perinde, ut post unctionem fiebat. Tum rursus patriarcha preces recitat, descenditque ex ambone imperator, non qua parte ascenderat, sed versus soleam. Si forte

ἐπὶ τοῦ θρόνου καθίζει πάλιν· εἰ δ' ἔχει, τότε καὶ αὐτὴν ἀνάγ- A.C. 1325
κη στεφθῆναι πᾶσα. διὸ καὶ ἐξανισταμένην τοῦ θρόνου, δύο
τῶν γνησιωτάτων ἑκατέρωθεν λαβόμενοι συγγενῶν, ἢ εἰ μὴ B
γνησίους ἔχοι, ἐκτομίαι τοσοῦτοι τῆς ἀναβάθρας τε κατάγουσι
καὶ φέροντες ἱστῶσι πρὸ τοῦ σωλέου. κατερχόμενος δὲ ὁ βασι-
λεὺς, τὸ δι' αὐτὴν ηὐτρεπισμένον στέμμα λαμβάνων ὑπὸ γνη-
σίων τινῶν ἢ ἐκτομιῶν κατεχόμενον, καὶ αὐτὸ ἐπιτίθησι τῇ
κεφαλῇ τῆς γυναικός· ἡ δὲ τὸν ἄνδρα καὶ βασιλέα προσκυνεῖ,
δουλείαν ὁμολογοῦσα. ὁ πατριάρχης δὲ παρὰ τὸν σωλέαν ἱστά-
μενος καὶ αὐτὸς, ἐπιλέγει εὐχὴν ὑπέρ τε τοῦ βασιλέως καὶ
βασιλίδος καὶ τοῦ ὑπηκόου παντός. οὕτω μὲν οὖν καὶ ὁ βασι-
λεὺς τὴν ἰδίαν γυναῖκα στέφει. εἰ δὲ συμβῇ προεστεμμένον
εἶναι τὸν βασιλέα, ἐπὶ τῆς τῶν γάμων τελετῆς ὁ βασιλεὺς τὴν C
ἰδίαν ὡσαύτως στέφει γυναῖκα. αὖθις δὲ ἀμφότεροι ἐπὶ τὴν
ἀναβάθραν ἀνερχόμενοι, κάθηνται ἐπὶ τῶν θρόνων, τῆς ἄλλης
μυσταγωγίας τελουμένης. ᾀδομένου μέντοι τοῦ τρισαγίου ἢ
τῶν ἀποστολικῶν γραφῶν ἢ τῶν θείων λογίων ἀναγινωσκομέ-
νων, ἀνίστανται καὶ αὐτοί. ἐξ ἑκατέρων δὲ τῶν τοῦ ναοῦ με-
ρῶν ἐπὶ ξυλίνων ἀναβαθρῶν εἰς αὐτὸ τοῦτο πεποιημένων οἱ
πρωτοψάλται ἱστάμενοι καὶ δομέστικοι λεγόμενοι, καὶ ἕτεροι
τῆς ἐκκλησιαστικῆς τάξεως ᾄδειν εἰδότες, οὓς ἐπὶ τῆς τοιαύτης
τελετῆς κράκτας ἔθος ὀνομάζειν ἐστὶ, μέλη τινὰ ᾄδουσιν
ἐξεπίτηδες συντεθειμένα ἁρμόζοντα τῇ ἑορτῇ. τῆς μεγάλης δὲ

20. Dicebantur illi *domestici cantorum*. *ED. P.*

illo tempore caruerit uxore, recta conscenso throno, iterum sedet: si habet, omnino et illam corona insigniri necesse est. E throno itaque surgentem duo e propinquissimis dextra laevaque eam prensantes, aut, si illi desint, eunuchi de anabathra deducunt, et ante soleam constituunt. Tum descendit de ambone imperator, et paratam illi coronam a propinquis aut eunuchis, eam similiter tenentibus, accipiens, uxoris capiti imponit: quae maritum imperatorem adorans ita se illi subiectam profitetur. Patriarcha vero ad soleam consistens pro imperatore, imperatrice et eorum populis preces pronuntiat. Hoc igitur modo imperator coniugem suam coronat. Si antea corona ipse indutus fuit, inter sacra nuptiarum id facit. Coronati ambo qua dictum est cerimonia, denuo anabathram ascendentes, in thronis resident. Dum reliquum missae absolvitur et trisagion cantatur, aut de apostolicis litteris sacrisve scripturis aliquid recitatur, et ipsi assurgunt. Ex utraque vero templi parte super ligneis anabathris, ad hoc ipsum comparatis, stantes protopsaltae, qui domestici vocantur, et ceteri ordinis ecclesiastici, qui cantare norunt, quos in talibus sacris clamatores appellari mos est, cantica quaedam de industria ad huius diei festi celebritatem confecta modulantur. Quando autem in sacra mystagogia iam tempus est, ut instituatur processio, quae *μεγάλη εἴσοδος* appella-

A. C. 1325 εἰσόδου ἐπὶ τῆς ἱερᾶς μυσταγωγίας λεγομένης ἤδη ἀρχομένης, D οἱ τῆς ἐκκλησίας ἐπιφανέστεροι τῶν διακόνων ἐρχόμενοι προσκαλοῦνται τὸν βασιλέα· ὁ δὲ εἰς τὴν λεγομένην πρόθεσιν, ἔνθα τὰ ἅγια κεῖται, ἔρχεται μετ' αὐτῶν. ἔξω δὲ ἱστάμενος τῆς προθέσεως, περιβάλλεται μανδύαν χρυσοῦν ἐπὶ τὸ διάδημα καὶ τὴν πορφύραν. καὶ τῇ μὲν δεξιᾷ χειρὶ κατέχει σταυρὸν, ὃν ἔθος κατέχειν ὅσον ἂν χρόνον τὸ στέμμα φορῇ, τῇ δὲ λαιᾷ νάρθηκα φέροντες ἐγχειρίζουσιν, ὥστε τάξιν ἐκκλησιαστικὴν τὴν τοῦ δεποτάτου λεγομένου ἐπέχειν· ἃ ἀμφοτέραις ἔχων, τῆς εἰσόδου πάσης ἡγεῖται τῆς ἱερᾶς. ἐξ ἑκατέρων δὲ αὐτοῦ μερῶν κατὰ τὰ πλάγια οἵ τε τοὺς πελέκεις ἔχοντες Βάραγγοι P. 124 προσαγορευόμενοι, καὶ νέοι τῶν εὐπατριδῶν περὶ ἑκατὸν ὡπλισμένοι διαπρεπῶς παρέπονται ἢ καὶ ἄνοπλοι· κατ' εὐθεῖαν δὲ μετ' αὐτὸν οἵ τε διάκονοι ἐφεξῆς ἕπονται καὶ οἱ ἱερεῖς, ἔπιπλά τε καὶ σκεύη τῶν ἱερῶν καὶ αὐτὰ τὰ ἁγιώτατα ἐπιφερόμενοι. τὸν δὲ ναὸν περιελθόντες κατὰ τὸ ἔθος, ἐπειδὰν γένοιντο ἐν τῷ σωλέᾳ, οἱ μὲν ἄλλοι πάντες ἱστᾶσιν ἐκτὸς, αὐτὸς δὲ μόνος εἰσερχόμενος τὸν σωλέαν, τὸν πατριάρχην ἐπὶ ταῖς ἱεραῖς κιγκλίσιν ἑστηκότα εὑρίσκει. προσαγορεύσαντες δὲ ἀλλήλους, ὁ πατριάρχης μὲν ἐσωτέρω, ἔξω δ' ὁ βασιλεὺς περιμένουσιν ἑστῶτες· εὐθὺς δὲ ὁ μετὰ τὸν βασιλέα τῶν ἄλλων ἡγούμενος B διακόνων, τῇ δεξιᾷ μὲν κατέχων θυμιατὸν, τῇ δ' ἑτέρᾳ τὸ

9. Al. διποτάτου et δαιποτάτου. *ED. P.* Vid. Ducang. Glossar. Graec. p. 208. 11. *Barangi* milites praetoriani ex Anglia, ut patet ex libro de aulae CP. officiis. *ED. P.* Vid. Reiskius ad Constant. Porph. p. 149. sq. 19. κιγκλίσιν em. ED. P. pro κυγκλίσιν. Ducang. CP. Christ. L. III. p. 62.

tur, qua panis et vinum consecranda ad altare deferuntur, honoratiores ecclesiae diaconi accedentes, Imperatorem vocant, et is cum illis ad locum, quae prothesis dicitur, ubi res ad sacra facienda necessariae sunt positae, accedit. Stans autem adhuc foris, pallium circulis aureis depictum supra diadema et purpuram induitur: ac dextra quidem gestat crucem, quam gestare solet quamdiu coronam gestat; sinistrae ferulam tradunt, ut munere fungatur ecclesiastico eius, qui deputatus appellatur. Haec manibus tenens, tota pompa praecedit. Ad utrumque latus Barangi cum securibus, et claro sanguine iuvencs armati aut etiam inermes circiter centum composite sequuntur, rectaque post ipsum linea diaconi et sacerdotes ordine incedunt, sacra vasa et instrumenta cum reliquiis et ipsam eucharistiam ferentcs. Templo de more circuito, ubi ad soleam veniunt, alii quidem omnes foris manent, imperator solus ingressus, patriarcham ad sanctas fores stantem invenit. Postquam consalutarunt, patriarcha intus, imperator foris stantes, exspectant. Protinus qui pone imperatorem alios diaconos antecedit, dextra tenens thu-

τοῦ πατριάρχου λεγόμενον μαφόριον, τὸν βασιλέα παριὼν θυ- A.C.1325
μιᾷ· κλίναντος δὲ αὐτοῦ τὴν κεφαλὴν, ὁ διάκονος εἰς ἐπήκοον
πάντων „μνησθείη κύριος ὁ θεὸς" λέγει „τοῦ κράτους τῆς
βασιλείας ὑμῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε, νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων," ἐπιλέγων καὶ τὸ ἀμήν. V.100
ἐφεξῆς δὲ καὶ οἱ λοιποὶ διάκονοι παριόντες καὶ ἱερεῖς λέγουσι
τὸ αὐτό. τούτου δὲ τελεσθέντος, ὁ βασιλεὺς τὸν πατριάρχην
προσαγορεύσας, ἀποδύεται τὸν μανδύαν. καὶ τὸν μὲν ὁ τῆς
ἐκκλησίας ῥαιφερενδάριος ἀποφέρεται, (οὕτω γὰρ ἔθος) ὁ βα- C
σιλεὺς δ' ἐπὶ τὴν ἀναβάθραν ἀνερχόμενος, ἐπὶ τοῦ θρόνου
κάθηται πάλιν, τοῦ συμβόλου τῆς πίστεως τῆς τε προσευχῆς
τοῦ πάτερ ἡμῶν λεγομένων, καὶ τῆς ὑψώσεως γινομένης τοῦ
δεσποτικοῦ καὶ ἁγίου σώματος, ἀνιστάμενος. τῆς ὑψώσεως δὲ
τελεσθείσης, εἰ μὲν ἀνεπιτηδείως πρὸς τὴν τῶν ἁγιασμάτων
κοινωνίαν ὁ βασιλεὺς ἔχει, μέχρι συμπληρώσεως τῆς θείας
μυσταγωγίας κάθηται ἐπὶ τοῦ θρόνου· εἰ δὲ παρεσκεύασται
πρὸς τοῦτο, πάλιν αὐτὸν οἱ διάκονοι ἐρχόμενοι προσκαλοῦν-
ται. καὶ μετ' αὐτῶν εὐθὺς εἴσεισιν εἰς τὰ ἄδυτα, καὶ θυμια-
τοῦ αὐτῷ διδομένου, τὴν ἱερὰν τράπεζαν πρῶτα μὲν κατὰ
ἀνατολὰς θυμιᾷ, εἶτα πρὸς ἄρκτον καὶ μετὰ τοῦτο πρὸς ἑσπέ-
ραν καὶ τέταρτον πρὸς μεσημβρίαν βλέπων· πάλιν δὲ πρὸς D
ἀνατολὰς θυμιάσας, θυμιᾷ καὶ τὸν πατριάρχην· προσαγορεύ-
σας δὲ αὐτὸν ὁ πατριάρχης καὶ τῆς χειρὸς αὐτοῦ λαβὼν τὸν

1. ὠμοφόριον coni. Intpr., sed ED. P. recte nihil mutandum dicit. Vid. Ducang. ad Alexiadem p. 329. 3. λέγει scripsi pro λέγειν.

ribulum, sinistra humerale patriarchae quod dicitur, accedens imperatorem thure vaporat. Quo caput inclinante, diaconus sublata voce inquit, Memor sit dominus Deus potentiae imperii vestri in regno suo ubique, nunc et semper et in saecula saeculorum; addens: Amen. Deinceps et reliqui diaconi ac sacerdotes adeuntes, idem comprecantur. Hoc perfecto, imperator rursus salutato patriarcha, penulam deponit, quam pro consuetudine ecclesiae referendarius aufert; denuoque anabathram ascendens, in throno considit, sub symbolo fidei, oratione dominica et elevatione dominici et sacri corporis exsurgens. Facta elevatione, imperator si ad sacram communionem paratus non est, usque ad finem sacrae mystagogiae in throno sedet; si paratus, venientes diaconi eum rursus accersunt: quibuscum statim in adyta ingreditur, traditoque sibi thuribulo, sacrae mensae suffitum facit, primum quidem ad orientem, tum ad septemtrionem, post ad occidentem, et tandem ad meridiem respiciens. Dumque iterum ad orientem thuris fumum spargit, in ipsum quoque patriarcham id facit; qui imperatorem salutans deque eius manu thuribulum capiens, illum vicissim suffitu honorat. Post haec coronam de

A. C. 1325 θυμιατὸν, ἀντιθυμιᾷ καὶ αὐτὸν αὐτός. μετὰ δὲ τοῦτο τὸ στέμμα τῆς κεφαλῆς περιελόμενος ὁ βασιλεὺς, ἐγχειρίζει τοῖς διακόνοις. ὁ δὲ πατριάρχης εἰς τὰς χεῖρας αὐτῷ τοῦ δεσποτικοῦ σώματος ἐπιδίδωσι μερίδα· μετασχὼν δὲ αὐτῆς, καὶ τοῦ ζωοποιοῦ αἵματος κοινωνεῖ, οὐ λαβίδι, καθάπερ οἱ πολλοὶ, ἀλλ' αὐτῷ κρατῆρι τὸν τῶν ἱερωμένων τρόπον. τό, τε στέμμα περιθέμενος αὖθις, ἔξεισι τῶν ἀδύτων. τελεσθείσης δὲ τῆς μυσταγωγίας, τοῦ διαδιδομένου τοῖς πλήθεσιν ἁγιάσματος αὖθις μετασχὼν, καὶ παρὰ τοῦ πατριάρχου καὶ τῶν παρόν-
P. 125 των ἀρχιερέων εὐλογηθεὶς, καὶ περιπτυξάμενος αὐτῶν τὰς χεῖρας, ἄνεισιν εἰς τὰ λεγόμενα κατηχούμενα, ὡς ἂν ἐξ ἀπόπτου παρὰ πάντων ὁρώμενος εὐφημηθείη. τελεσθέντος δὲ καὶ τούτου, κατελθὼν ἐκεῖθεν αὐτὸς καὶ ἡ βασιλὶς μόνοι, τῶν ἄλλων ἁπάντων ἑπομένων πεζῇ, ἔφιπποι χωροῦσι πρὸς τὰ βασίλεια· τραπέζης δὲ ἡτοιμασμένης ἐκεῖ στεφηφοροῦντες καθήμενοι εὐωχοῦνται· διακονεῖται δὲ αὐτοῖς ὁ μέγας δομέστικος τὰ πρὸς χρείαν, ἂν δὲ μὴ ᾖ μέγας δομέστικος, ὁ δεσπότης. τὰς δ' ἐφεξῆς ἡμέρας δέκα πλείους ἢ ἐλάττους, (οὐ γὰρ ἀριθμὸς νενό-
B μισται τῶν τῆς ἑορτῆς ἡμερῶν, ἀλλ' ὅπως ἂν βασιλεῖ δοκῇ,) τὸ μὲν διάδημα καὶ τὸ στέμμα καὶ τὴν πορφύραν ἐν τοῖς βασιλικοῖς ἀποτίθενται ταμιείοις, ἐσθῆτας δὲ ἑτέρας περιβεβλημένοι λαμπρὰς καὶ βασιλικὰς, ἑορτάζουσι λαμπρῶς· ἀρίστων τε παρασκευαζομένων πολυτελῶν, οἱ συγκλητικοὶ πάντες καθήμενοι ἀριστῶσιν, ὁρώντων τῶν βασιλέων καὶ εὐωχουμένων καὶ αὐτῶν ἐν ἰδίᾳ τραπέζῃ. διακονεῖται δὲ αὐτοῖς ὁ ἐπὶ τῆς βασιλικῆς

capite suo auferens imperator, diaconis tradit: cui patriarcha in manum dat partem corporis dominici; factusque eius particeps, etiam de sanguine vivifico communicat, non quomodo vulgus e cochleario, sed ipso calice sacerdotum more. Corona in caput reposita, ex adytis progreditur. Mystagogia finita, distributae populo sanctificationis rursum particeps effectus, et a patriarcha praesentibusque episcopis benedictione impertitus, et dextras eorum apprehensas osculatus, in locum, qui Catechumena vocatur, ascendit, ut ab omnibus e longinquo conspectus, faustis acclamationibus excipiatur. Hoc etiam consummato, descendit, ipseque et Augusta soli equis insidentes, ceteri omnibus pone ambulantibus, in palatium portantur. Ibi instructa mensa, magno domestico, aut si ille non est, despota ministrante, coronati epulantur. Per dies item consequentes, plus minus decem (neque enim numerus dierum festorum lege praescribitur, sed in arbitrio imperatoris est) diademate, corona et purpura in regio vestiario depositis, pretioso nihilo minus et regali cultu splendide ferias agunt. Prandiis sumptuose apparatis, proceres omnes coram imperatoribus convivantur, ipsis quoque separatim,

τεταγμένος τραπέζης· ὁ μέγας δὲ δομέστικος ἐν τῷ προσή- A.C. 1325
κοντι τόπῳ τοῖς ἄλλοις συνανακέκλιται συγκλητικοῖς. ἄξιον δὲ
καὶ ὃ παρελίπομεν τῆς τελετῆς ταύτης ἐπιμνησθῆναι. τῇ γὰρ
ἡμέρᾳ, καθ' ἣν ὁ βασιλεὺς χρισθεὶς ἔξεισι τοῦ ναοῦ, παρά C
τινος τῶν συγκλητικῶν, ὃν ἂν ὁ βασιλεὺς ἐθέλῃ, εἰς τὸν δῆ-
μον ῥίπτονται ἃ λέγουσιν ἐπικόμβια. δύναται δὲ τοῦτο ἀπο-
δέσμους τινὰς εἶναι ἐν ὀθονίων τμήμασι δεδεμένους, ἔνδον
ἔχοντας νομίσματα χρυσᾶ τῶν βασιλικῶν τρία καὶ ἓξ ἀργύ-
ρου τοσαῦτα ἢ καὶ πλείω, καὶ ὀβολοὺς ἀπὸ χαλκοῦ τοσού-
τους. ῥίπτονται δὲ ἀπόδεσμοι τοιοῦτοι χιλιάδων ἔλαττον ἢ
πλεῖον δέκα ἐν τοῖς προαυλίοις μάλιστα τοῦ ναοῦ. ὑπὸ δὲ
τὴν αὐτὴν ἡμέραν ἐν τοῖς βασιλείοις τοῦ δήμου συνηθροι-
σμένου παντὸς, παρὰ τοῦ αὐτοῦ πάλιν συγκλητικοῦ τῶν προ- V. 101
τέρων ἴσοι ἢ καὶ πλείους ῥίπτονται ἀπόδεσμοι. εἰς τὴν ὑστε-
ραίαν δὲ τῶν δημοτικῶν μὲν πάρεισιν οὐδένες· τοῦ στρατιω-
τικοῦ δὲ καὶ τοῦ περὶ τὴν βασιλικὴν ὑπηρεσίαν τεταγμένου D
παρόντος παντὸς, ἐν ταῖς τῶν βασιλείων αὐλαῖς ἐξερχόμενος
ὁ βασιλεὺς, τοῦ τῶν βασιλικῶν ταμίου παρεστῶτος, χρημά-
των καὶ τὴν ἄκραν τῆς ἐσθῆτος πλήρη φέροντος νομισμάτων
χρυσῶν ἐκ τῶν βασιλικῶν, δραττόμενος ὁ βασιλεὺς κύκλῳ δια-
σκεδάζει. κενωθέντων δὲ, ὁ ταμίας αὖθις τὴν ἐσθῆτα ἀνα-
πληροῖ· καὶ τοῦτο γίνεται οὐ τρὶς καὶ τετράκις μόνον, ἀλλὰ
καὶ πλεονάκις. αἴτιον δὲ τῆς τοιαύτης διαδύσεως τοῦ χρυσοῦ
τὸ πάντας βούλεσθαι τὸν βασιλέα ἐκ τῶν αὐτοῦ δαπανῶντας
αὐτῷ συνευφραίνεσθαι καὶ συμπανηγυρίζειν. τοιαύτη μὲν ἡ

praefecto regiae mensae ministrante, accumbentibus. Magnus domesticus locum sibi convenientem tenens, cum iisdem init epulas. Sed memorabile est in hac cerimonia quod omisimus. Die, quo imperator unctus e templo exit, ab aliquo eius optimatium, quem ad hoc delegerit, in populum iaciuntur quae vocant epicombia. Sunt autem fasciculi, segmentis linteis illigata habentes numismata aurea imperatoria tria, totidem argentea aut plura, et obolos aereos totidem. Sparguntur huiusmodi fasciculi circiter decies mille, in vestibulo templi praecipue. Sub ipsum vero diem in palatio populo toto congregato, ab eodem ex optimatibus tot pluresve iaciuntur fasciculi. Postero die de populo adest nemo, adest autem quidquid est militum et ministrorum aulicorum. Tum in atrium palatii descendens, astante quaestore suo gerenteque laciniam vestis plenam imperatoria pecunia eaque aurea, manu plena sumens, in orbem dispergit. Qua tota dispersa, quaestor laciniam iterum et tertium et quartum et saepius implet. Causa huius distributionis auri haec est, quod imperator de suo sumptum faciens, omnes secum laetari unaque festum diem celebrare cupit. Ritus igitur in coronatione imperatorum ser-

A.C. 1325 ἐπὶ τοῖς βασιλεῦσι στεφομένοις γινομένη τελετή· ἣ δὴ γέγονεν ὁμοία καὶ ἐπ' Ἀνδρονίκῳ τῷ νέῳ βασιλεῖ, Φεβρουαρίου ἱσταμένου τῆς ὀγδόης ἰνδικτιῶνος.

A.C. 1326 μβ'. Τοῦ δὲ ἐπιόντος ἔτους κατὰ μῆνα Φεβρουάριον ἐν-
P. 126 νάτης ἰνδικτιῶνος, ἐκ τῆς Σαβωΐας εἰς Βυζάντιον ἧκεν Ἄννα ἡ βασιλὶς, πολλὴν ἐπαγομένη καὶ βασιλικὴν θεραπείαν ἔκ τε
B ἀνδρῶν ὁμοίως καὶ γυναικῶν. ἔκ τε γὰρ τῶν παρὰ Λατίνοις καβαλλαρίων καὶ σκουερίων λεγομένων ἦγε πολλοὺς καὶ τῶν ἄλλως παρ' αὐτοῖς εὐπατριδῶν· καὶ τὰς ἐν ἑτέροις χρόνοις εἰς τὴν Ῥωμαίων ἐξ ἀλλοδαπῶν ἀφικνουμένας βασιλίδας ὑπερεῖχε πολυτελείᾳ. προσεδέχθη τε ὁμοίως παρὰ τοῦ βασιλέως καὶ κηδεστοῦ βασιλικῶς τε καὶ μεγαλοπρεπῶς καὶ ὥσπερ ἦν εἰκὸς τὴν βασιλέως καὶ υἱοῦ γαμετήν. συμβέβηκε δὲ καὶ βασιλέα τὸν νέον τῷ Βυζαντίῳ κατὰ τὸν αὐτὸν καιρὸν ἐνδιατρίβειν. ἡ δὲ βασιλὶς Ἄννα τῇ τε κατὰ τὸν πλοῦν ταλαιπω-
C ρίᾳ καὶ τῇ τῶν ἀέρων ἐναλλαγῇ τὸ σῶμα πεπονηκυῖα, ἐνόσησεν ὀλίγαις ἡμέραις ὕστερον τῆς ἀφίξεως αὐτῆς. ὅ, τε νέος Ἀνδρόνικος τοῦτο μὲν καὶ διὰ τὴν τῆς βασιλίδος νόσον, τοῦτο δ', ὅτι καὶ χρεία τις ἀπαραίτητος ἐκάλει, πρὸς τὰς ἐπὶ Θρᾴκης ἐξῄει πόλεις, καὶ διέτριψεν ἄχρι φθινοπώρου ἐν ἐκείναις. Ὀκτωβρίου δὲ ἱσταμένου τῆς δεκάτης ἰνδικτιῶνος, εἰς Βυζάντιον ἐπανῆκε. καὶ ἡ γαμήλιος ἐτελεῖτο ἑορτὴ λαμπρὰ καὶ περιφανής· ὥσπερ δὲ ἔθος τοῖς βασιλεῦσι, μετὰ τὸ ἐπὶ τοῖς

8. In Graeco σκουερίων, et ita etiam legebatur in codice Interpr. Corrigit autem σκουταρίων, sed nihil opus, cum potuerit elidi ex *scudiere* Italorum aut *escuyer* Gallorum; nam utrique, ut etiam Alamani, Latini promiscue dicuntur apud Graecos inferiores. *ED. P.*

vari solitus talis est: et servatus est etiam in Andronico iuniore imperatore, Indictione octava, ineunte mense Februario.

42. Anni sequentis mense item Februario, Indictione nona, e Sabaudia Byzantium venit Anna imperatrix frequenti et regio virorum feminarumque comitatu. Nam et ex caballariis et scutariis, ut apud Latinos dicuntur, multi sequebantur aliique domi suae nobiles: luxuque et magnificentia alias e locis externis in Romanum solum adductas nuptum imperatoribus reginas superabat. A socero imperatore perinde, et ut imperatoris ac filii sponsam conveniebat, regali apparatu accepta est. Belle autem cecidit, ut is eodem tempore Byzantii moraretur. Anna ex insolentia navigationis et coeli mutatione afflictata, paucis ab adventu diebus aegrotavit. Iunior Andronicus partim propter eius morbum, partim propter quoddam negotium prorsus necessarium ad urbes Thraciae excurrit, in quibus usque ad autumnum haesit, et initio Octobris, Indictione decima, Byzantium revertit. Nuptiis singulari et illustri apparatu peractis,

γάμοις τὰ νενομισμένα τελεσθῆναι, καὶ Ἄνναν τὴν βασιλίδα A.C. 1326
βασιλεὺς ἔστεψεν ὁ ταύτης ἀνήρ. μετὰ δὲ τὸ τὴν τῶν γαμη-
λίων ἑορτὴν παραδραμεῖν τῶν μετὰ τῆς βασιλίδος ἐκ Σαβωΐας
ἐλθόντων ἀνδρῶν τε καὶ γυναικῶν οἱ πολλοὶ μὲν εἰς τὴν οἰ-
κείαν ἐπανῆλθον· ἔμειναν δὲ μετ' αὐτῆς ὀλίγον τινὲς καὶ Ζαμ- D
πέα μία τῶν γυναικῶν ἅμα τοῖς υἱέσι, φρονήσει τε ὑπερέχου-
σα τὰς ἄλλας, καὶ βασιλικοῖς οἴκοις διά τε παιδείαν καὶ τὴν
ἄλλην ἐπιτηδειότητα πρέπουσα ἐνδιατρίβειν. ἐκ μέντοι Σα-
βωΐας οὐκ ὀλίγοι τῶν εὐπατριδῶν εἰς τὴν Ῥωμαίων ἀφικνού-
μενοι, ἐφ' ὅσον ἐβούλοντο συνῆσαν τῷ βασιλεῖ, πολλῆς ἀξιού-
μενοι φιλοφροσύνης. ἦσαν γὰρ δὴ οὐκ ἀνδρεῖοι μόνον καὶ V. 102
τολμητίαι κατὰ τὰς μάχας, ἀλλὰ καὶ ἄλλως ἐν ταῖς παιδιαῖς
εὐφυεῖς συνεῖναι. κυνηγεσίων καὶ γὰρ συμμετεῖχον τῷ βασι-
λεῖ, καὶ τὴν λεγομένην τζουστρίαν καὶ τὰ τερνεμέντα αὐτοὶ
πρῶτοι ἐδίδαξαν Ῥωμαίους οὔπω πρότερον περὶ τῶν τοιού-
των εἰδότας οὐδέν. αὐτῶν δὲ ἀπερχομένων εἰς τὴν οἰκείαν
ἕτεροι ὥσπερ ἐκ διαδοχῆς ἐφοίτων ὡς βασιλέα· καὶ σχεδὸν ἐκ
Σαβωΐας ἀεὶ τῷ νέῳ βασιλεῖ συνῆσάν τινες. οὕτω δὲ ὑπὸ φι- P. 127
λοτιμίας περὶ τὰ τοιαῦτα ἐξησκήθησαν οὐκ ὀλίγοι Ῥωμαίων,
μάλιστα δὲ πάντων ὁ βασιλεύς, ὃς καὶ τοὺς διδάξαντας ὑπερ-
έσχεν, ὡς μὴ τοὺς ἐκ Σαβωΐας μόνον τὴν ἧτταν ὁμολογεῖν,
ἀλλὰ καὶ τοὺς ἐκ Φράντζας καὶ Ἀλαμανίας καὶ Μπουργου-
νίας, ἐν οἷς μάλιστα σπουδάζεται τὰ τοιαῦτα, τήν τε τοῦ
βασιλέως θαυμάζειν εὐφυΐαν καὶ τῶν περὶ τὰ τοιαῦτα παρ'

20. Ante καὶ addidi ὃς, a praecedenti syllaba absorptum.

Annam coniux eius ex more coronavit. Post ferias nuptiales maxima pars eorum, qui cum illa e Sabaudia venerant utriusque sexus, in patriam redierunt, paucis remanentibus, in quibus Zampea cum filiis, femina omnium prudentissima et ob eruditionem liberalem ceteramque habilitatem imperatorum idonea contubernio. Ex nobilitate Sabaudica complures quamdiu voluerunt apud imperatorem vixerunt, ab eoque perhumaniter habiti sunt. Erant quippe non solum viri fortes et bello intrepidi, sed praeterea ad iucunde colludendum natura accommodati. Proinde et cum imperatore venationes celebrabant, et hastiludium singulare et ludos equestres Romanos, ante id temporis penitus ignaros, primi docuerunt. Iis domum revertentibus, alii veluti successores indidem adveniebant, ac fere semper Sabaudi aliqui apud imperatorem erant. Sic porro honoris quodam desiderio plurimi Romanorum in his ludis excellere laborarunt, supraque omnes imperator, qui et magistris palmam praeripiebat, ut non Sabaudi modo, sed et Franci, Alamani, Burgundi, apud quas gentes potissimum harum rerum studia vigent, hi, inquam, omnes, qui tum degebant Constantinopoli, victos sese faterentur, imperatoremque,

A.C. 1326 αὐτοῖς εὐδοκιμούντων κρείττω ὁμολογεῖν. μετὰ μέντοι τοὺς γάμους ὀλίγον τινὰ χρόνον τῇ Κωνσταντίνου ἐνδιατρίψας ὁ B νέος βασιλεὺς, τῷ βασιλεῖ συνταξάμενος καὶ πάππῳ, ἅμα τῇ βασιλίδι ἐξῄει Βυζαντίου, ὡς εἰς Διδυμότειχον ἀφιξόμενος. γενομένῳ δὲ ἐν χωρίῳ Μεγάλην προσαγορευομένῳ Καρύαν, κατὰ τὸ τοῦ Λίπηκος λεγόμενον ὄρος, Πέρσας ἠγγέλθη πεζοὺς τὰ ἐκεῖ κατατρέχοντας χωρία δῃοῦν. οἱ μὲν οὖν τῷ βασιλεῖ συνόντες στρατιῶται ἅμα ἕῳ τῆς ὁδοῦ ἐχόμενοι, ὡς εἶχον, ἤνυον αὐτήν· βασιλεὺς δ' ἅμα τῷ μεγάλῳ δομεστίκῳ καί τισιν εὐαριθμήτοις ἑτέροις ὑπελίπετο κατόπιν, θηρεύων ἅμα μεταξὺ τῆς ὁδοιπορίας. ὡς δὲ ἡ ἔφοδος ἠγγέλθη τῶν βαρβάρων, πρὸς μὲν τοὺς στρατιώτας ἔπεμψε τὸν ἐροῦντα ἀναστρέ- C φειν ὡς μαχουμένους τοῖς βαρβάροις. αὐτὸς δ' ἅμα τῷ μεγάλῳ δομεστίκῳ δεῖν ἔγνωσαν μετὰ τῶν συνόντων ἐν οἷς ἐπύθοντο τοὺς Πέρσας εἶναι χωρίοις γενέσθαι, ἑκατέρωθεν λογισάμενοι ἐν τῷ ἀσφαλεῖ ἔσεσθαι, ἐὰν αὐτοὺς συμβῇ τοῖς βαρβάροις συντυχεῖν. ἐάν τε γὰρ εὐεπιχείρητοι φανῶσι, ῥᾷον ἂν κατεργάσεσθαι τὸ ἔργον, ἐάν τε ὑπερέχοντες φαίνωνται πολὺ αὐτῶν ὡς μὴ ἀσφαλὲς εἶναι καθίστασθαι εἰς μάχην, μετὰ ἀδείας ἀπαλλάξεσθαι αὐτῶν ἔφιπποι ὄντες πεζῶν. προπέμψαντες δὲ αὐτῶν τινας ὥστε τὰ ἔμπροσθεν σκοπεῖν, ἐβάδιζον αὐτοὶ κατόπιν ὡπλισμένοι. οἱ βάρβαροι δὲ τὰς μὲν τετριμμένας παντάπασιν ἐξέκλιναν ὁδούς· δι' ἀβάτων δὲ χωρίων ἰόντες ὡς ἐπιθησόμενοί τισι τῶν αὐτόθι κατοικούντων, τοὺς μὲν σκο- D ποὺς ἔλαθον παρελθόντας, ἐξαίφνης δὲ μήτ' αὐτοὶ προϊδόν-

agnatam quandam in iis dexteritatem eius admirati, apud suos vel laudatissimis superiorem evasisse non negarent. Ceterum non multo post nuptias valedicens avo, cum Augusta Didymotichum profectus est. Cum venisset ad locum Magna Carya dictum, ad montem Lipecis appellatum, didicit, Persas pedites vicinitatem hostiliter diripere. Milites igitur imperatorem sequentes, prima luce viam capessendo, ut poterant, pergebant, eo, quoniam cum magno domestico paucisque aliis ad feras simul ex itinere captandas declinaverat, a tergo relicto. Verum ubi de irruptione cognovit, ad pugnam cum barbaris ineundam eos revocavit, statueruntque ipse et magnus domesticus, oportere cum globo, quem haberent, eo, ubi Persas esse audiebant, occurrere; rati, utrovis modo se tutos fore. Sive namque invasu faciles reperirentur, opus nullo labore confectum iri: sive Romanis multo numerosiores viderentur, ut ad manus cum iis venire haud tutum esset, ipsos in equis impune Persis peditibus elabi posse. Itaque praemissis speculatoribus, armati sequebantur. At enim barbari trita itinera omnimodis fugientes per inviaque gradientes, ut in illorum locorum incolas involarent, et ab exploratoribus praeteriti,

τες συνέμιξαν βασιλεῖ. γενομένης δὲ μάχης καρτερᾶς, οἱ μὲν A.C. 1326
βάρβαροι μαχόμενοι παραβόλως, ἔπεσον πάντες, οἱ βασιλικοὶ δὲ αὐτοὶ καὶ οἱ ἵπποι πλὴν ὀλίγων ἐτραυματίσθησαν πάντες, ἀπέθανε δὲ οὐδείς· ἵππους δὲ ἀπέβαλον πολλούς. ἐτρώθη δὲ καὶ ὁ βασιλεὺς τὸν πόδα ὀϊστῷ, ὅ, τε ἵππος αὐτοῦ πληγεὶς ἑπτάκις, μετὰ μικρὸν ἀπέθανε τῆς μάχης. ὁ δὲ μέγας δομέστικος ὀλίγου ἐδέησε μαχόμενος πεσεῖν. περισχόντες γὰρ αὐτὸν πολλοὶ τῶν βαρβάρων, τὸν μὲν ἵππον κατετραυμάτισαν ἐπὶ τοσοῦτον, ὡς μηκέτι δύνασθαι κινεῖσθαι· αὐτὸν δὲ ὀϊστοῖς τε καὶ κοντοῖς καὶ λίθοις ἔπληξαν πολλάκις. οὐδὲν δὲ αὐτῶν ἠδυνήθη καθικέσθαι, τῶν ὅπλων ἀντισχόντων, καίτοι γε τῶν μηρῶν καὶ βραχιόνων ὄντων γυμνῶν· τόν τε πα- P. 128
ρὰ τὴν ζώνην ἀκινάκην ἥρπασαν αὐτοῦ, καὶ τὰ τῶν ἱματίων ἄκρα διέῤῥηξάν τοῖς ἑλκυσμοῖς, αὐτὸς δὲ παραδόξως ἀμυνόμενος διεσώθη, μηδὲ τραυματισθείς. μετά τε τὴν νίκην πολλοὺς ἔλεγεν ἀγῶνας καὶ μεγάλους ἐκ παιδικῆς ἡλικίας διηνυκέναι, οὐδὲ ἅπαξ δὲ ἐν χρῷ κινδύνου παρὰ τοσοῦτον γεγενῆ- V. 103
σθαι. οὕτω μὲν οὖν οἱ βάρβαροι πάντες ἔπεσον παρὰ τὴν μάχην. ὁ βασιλεὺς δὲ εἰς Διδυμότειχον ἐλθὼν, πονήρως ἀπὸ τοῦ τραύματος ἐπὶ πολὺν διετέθη χρόνον. περὶ δὲ συγκομιδὴν τοῦ B
σίτου μάλιστα τοῦ αὐτοῦ ἔτους ὁ τῶν Μυσῶν βασιλεὺς Μιχαὴλ τῷ νέῳ βασιλεῖ Ἀνδρονίκῳ ἠθέλησε συγγενέσθαι. τῷ δὲ τοῦτο μὲν οὐκ ἦν καθ' ἡδονὴν διὰ τὸ τὸν πόδα ἔτι ἀπὸ τοῦ τραύματος ἀλγεῖν, ὅμως μέντοι τῷ βασιλεῖ καὶ πάππῳ τὰ τοῦ

7. Legebatur ὀλίγον.

subito ac praeter opinionem suam in imperatorem incidunt. Pugnatur summa vi: barbari temere et confuse dimicantes, ad unum omnes cadunt, imperatorii ipsique et equi, paucis demptis, vulnerantur omnes, nullus occumbit, equos multos amittunt. Imperator quoque in pede sagitta icitur, cuius equus septenis confossus vulneribus secundum pugnam interiit. Magnus domesticus parum abfuit, quin eodem proelio oppeteret. Barbari enim cum frequentes eum circumdedissent, sic eius equum consauciarant, ut movere se amplius nequiret: sessorem vero telis, contis et lapidibus crebris feriebant: sed armis omnia sustinentibus, nihil eorum quamvis et femora et brachia nudum laesit: acinacem modo a cingulo pendentem ei abstulerunt, vestiumque oras huc illuc raptando dilacerarunt: ipse dum se strenue defendit, absque ullo vulnere admirabiliter servatus est. Parta victoria, multis et magnis ab adolescentulo certaminibus se perfunctum narravit, sed nunquam tam prope ab exitio abfuisse. Sic barbari omnes periere. Imperator Didymotichi ex vulnere diu laboravit. Eodem anno, frugum condendarum tempore, Michael Moesorum rex Andronicum iuniorem visere voluit, cui adhuc pedem propter vulnus dolenti id parum amicum accidit: et avum super ea

A.C. 1326 πράγματος ἀναθεὶς, ἐπεὶ ἐπέτρεπεν ἐκεῖνος, εἰς Τζερνομιάνους ἅμα γυναικὶ ἐλθόντι τῷ Μιχαὴλ, συνεγένετό τε καὶ συνδιέτριψεν αὐτοῖς ὁ βασιλεὺς ἐφ' ἡμέραις ὀκτώ· συνησθέντες δὲ ἀλλήλοις οἱ βασιλεῖς, μετὰ τοῦτο διελύθησαν ἑκάτερος ἐπ' οἶκον. εἰς Διδυμότειχον δὲ Ἀνδρόνικος ὁ βασιλεὺς ἐλθὼν, C παρὰ τῶν ἐν Βυζαντίῳ φίλων εὗρεν ἄγγελον ἀφιγμένον, ὅτι βασιλεὺς ὁ πρεσβύτερος ἀπό τινων τεκμηρίων καὶ λόγων εὔδηλός ἐστι πολεμησείων, ἀπαγγέλλοντα πρὸς αὐτόν. ὅπερ ἀκούσας ὁ βασιλεὺς, ἐξεπέπληκτο μὲν εὐθὺς τὴν ἀτοπίαν τῆς ἀγγελίας, ἠπίστησε δὲ ὅμως. τοῖς δὲ φίλοις ἐκέλευεν ἀπαγγέλλειν, ὡς αὐτὸς μὲν πολλὴν ἂν αὐτοῖς τῆς εἰς αὐτὸν εὐνοίας εἰδείη χάριν, διὰ δὲ τὸ σφόδρα μὴ βούλεσθαι τὰ τοιαῦτα τοῖς λεγομένοις ἀπιστεῖν· δέον δὲ αὐτοὺς πάνυ φιλοῦντας ἀκριβεστάτῃ βασάνῳ τὸ πρᾶγμα δοῦναι, καὶ ὅ, τι ἂν φανῇ σαφὲς ἀπαγγέλλειν. τοῖς μὲν οὖν ἐν Βυζαντίῳ φίλοις ὁ βασιλεὺς ἐπέσκηπτε τοιαῦτα. ἅμα δὲ δομεστίκῳ τῷ μεγάλῳ καὶ πρωτοστρά- D τορι συνελθόντες, ἀνηρεύνων, εἴ τι συνειδεῖεν ἑαυτοῖς ἄξιον πολέμου εἰργασμένοις, ὃ καὶ τὸν βασιλέα τὴν εἰρήνην ἂν πείσειε καταλῦσαι· πολλά τε καὶ πολλάκις τὸν ἄχρι τότε χρόνον ἐξετάσαντες ἀπὸ τῶν σπονδῶν, τῷ βασιλεῖ μὴ οὔτ' ἐκ προφανοῦς, οὔτ' ἐξ ἀδήλου προφάσεως εὕρισκον προσκεκρουκέναι. ᾠήθησαν δὲ ὅμως ἀπὸ τοιαύτης αἰτίας ἐνδέχεσθαι πρόφασιν τὸν πόλεμον ἂν σχεῖν.

P. 129 μγ'. Τῷ πρώτῳ βεβασιλευκότι Ῥωμαίων Παλαιολόγῳ τῷ Μιχαὴλ ἄῤῥενες τρεῖς γεγέννηνται παῖδες, οὗτός τε ὁ μετ' αὐ-

re certiorem fecit. Avus id ad eius arbitrium reiecit. Michael cum coniuge Tzernomianum venit: ibi dies octo cum ipsis imperator versatus est. Inde post mutuam hilaritatem laetitiamque digressis, imperator Didymotichi nuntium ab amicis Byzantio missum invenit, avum, quod e quibusdam indiciis et sermonibus eius liceret colligere, bellum ei moturum. Qua rei novitate statim obstupefactus, credere distulit amicisque renuntiari iussit, se illis de benevolentia magnas habere gratias; dictis ideo fidem non tribuere, quod ea, quae dicerentur, vehementer nollet. Decere ipsos, ut amicissimos, rem accuratissime indagare quodque haud dubie verum comperissent, super eo monere. Haec ille amicis Byzantium. Congressi deinde ipsi, magnus domesticus et protostrator, scrutabantur, si culpam commeruissent aliquam, quae avum, rupta pace, ad bellum iure provocaret. Post longam et crebram inquisitionem usque a foedere composito ad illum diem nec aperta, nec occulta occasione se eius iram meruisse inveniebant. Existimabant nihilo minus a tali causa bellum nasci posse.

43. Michaeli primo Romanorum imperatori Palaeologo fuerunt filii nati tres, Andronicus iste, qui post parentem imperitavit, Con-

τὸν βεβασιλευκὼς Ἀνδρόνικος καὶ Κωνσταντῖνος ὁ ἐν τῇ πορ- A.C. 1328
φύρᾳ τεχθεὶς καὶ Θεόδωρος τρίτος, καὶ θυγατέρες τοσαῦται. τοῖς μὲν οὖν ἄλλοις ἄλλοι γεγέννηνται παῖδες, καθάπερ ἐν ἀρχῇ τῆς ἱστορίας ἐδήλωσε φθάσας ὁ λόγος, τῷ πορφυρογεννήτῳ δὲ Κωνσταντίνῳ ὁ Παλαιολόγος Ἰωάννης μονογενὴς γεγέννηται παῖς· ᾧ Μετοχίτης ὁ μέγας λογοθέτης ἐξέδωκε τὴν θυγατέρα Εἰρήνην πρὸς γάμον, τῇ τοῦ πανυπερσεβάστου πρὸς τοῦ θείου καὶ βασιλέως ἀξίᾳ τετιμημένῳ. οὗτος δὴ ὁ πανυπερσέβαστος οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς Θεσσαλονίκης τε καὶ τῶν ἄλλων ἑσπερίων πόλεων ἐπιτροπεύσας, τά τε ἄλλα διῴκει B
ᾗ αὐτῷ ἐδόκει ἄριστα εἶναι, καὶ τῷ τῶν Τριβαλῶν ἄρχοντι V. 104
Στεπάνῳ τῷ Κράλῃ Μαρίαν τὴν αὐτοῦ κατηγγύησε θυγατέρα. οὗ δὴ γενομένου, νοῦν ἔσχε τῷ τῶν Τριβαλῶν ἄρχοντι προσχωρῆσαι ὄντι κηδεστῇ, ὡς ἂν τῇ ἐκείνου δυνάμει χρώμενος συμμαχοῦντος, ὧν ἐπετρόπευε πόλεων ὅσας ἂν οἷόν τε ᾖ φρουραῖς κατασχὼν καὶ ἰδιοποιησάμενος, ἰδίαν ἑαυτῷ καταστήσῃ δυναστείαν, ἀποστήσας βασιλέως. ὁ μὲν οὖν τοιαῦτά τε διενοεῖτο καὶ εἰς ἔργον ἐξῆγε, καὶ πανοικεσίᾳ μὲν ἐχώρησε πρὸς Τριβαλούς, καταπράξασθαι δὲ ἴσχυσεν ὧν ἤλπισεν οὐδέν. αἱ γὰρ ὑπ' αὐτὸν πᾶσαι πόλεις τὴν ἀποστασίαν συνεῖσαι, C
οἷα δὴ ἐχρῶντο πολεμίῳ. ἐκ τῆς τοιαύτης δὴ αἰτίας ταραχῆς οὐ φαύλης τινὸς αἱ κατὰ τὴν ἑσπέραν ἐνεπλήσθησαν πόλεις. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τῶν τοῦ μεγάλου λογοθέτου υἱῶν Δημήτριος μὲν ὁ Ἄγγελος Στρουμβίτζης ἐπίτροπος ἦν,

3. Hinc patet, historiae huius primum caput assignari debuisse ad haec verba epistolae Christoduli p. 4. Ὁ βασιλεὺς τοίνυν Ἀλέξιος, ὁ τὴν ἐπωνυμίαν Ἄγγελος etc. *ED. P.* 12. Ita apud Triballos dicebatur Στέφανος. *ED. P.*

stantinus Porphyrogenitus et Theodorus, ac filiae item tres. Aliis igitur alii fuere liberi, id quod in vestibulo huius historiae demonstratum est. Porphyrogenitus Ioannem habuit unigenam, cui Metochites magnus logotheta Irenen filiam matrimonio coniunxit: eundem imperator patruus panhypersebasti dignitate cohonestaverat. Hic panhypersebastus etiam tertium Thessalonicae aliarumque urbium occidentalium praefecturam gerens, tum alia constituit, ut unumquodque rectissimum censuit, tum Stephano Cralae Triballorum principi Mariam filiam uxorem dedit. Quo facto ad generum se adiungere decrevit, cuius viribus adiutus, quotquot posset, urbibus ad suam praefecturam pertinentibus praesidia imponeret: et illis sub potestatem subiectis, ab imperatore desciscens, peculiarem sibi dominatum compararet. Talia meditabatur et iam ad rem conferre occipiebat: cum tota quippe domo ad Triballos transierat; sed eventus spem destituit. Nam omnes urbes, quibus praeerat, defectione eius intellecta, hostis eum loco habuerunt. Ex huiuscemodi igitur causa

A. C. 1326 Μιχαὴλ δὲ ὁ Λάσκαρις, Μελενίκου, πόλεων Μακεδονικῶν·
οἳ δὴ γυναικὸς ἀδελφοὶ ὄντες τοῦ πανυπερσεβάστου, γράμμα-
τα πέμπουσι πρός τε ἐκεῖνον καὶ τὴν ἀδελφὴν, προφανῶς μὲν
αὐτῶν ἀποστασίαν οὐ κατηγοροῦντα, πρόφασιν μέντοι οὐκ ἀγεν-
νῆ τινα παρεχομενα ὑποψίας. λέξεών τε γὰρ εὐπορουν ἀμ-
φιβόλων, καὶ φιλίας ἀνεμίμνησκον ἀρχαίας καὶ συνδιατρι-
D βῆς, καὶ τοῦ δεῖν ἀλλήλοις εὐνοεῖν ἄλλων τε ἕνεκα πλειόνων
καὶ μάλιστα τῶν ἐκ τῆς συγγενείας ἐνεχύρων. τοὺς τὰ τοιαῦ-
P. 130 τα τοίνυν γράμματα κομίζοντας στρατιῶται συλλαβόντες κα-
τὰ τὴν ὁδὸν, οἳ ἦσαν ἐπ' αὐτὸ τοῦτο τεταγμένοι φυλάττειν
τὰς ὁδοὺς τοῦ πρὸς τὸν πανυπερσέβαστον ἕνεκα πολέμου,
καὶ τὰ γράμματα ἀφελόμενοι, πρὸς μὲν Βυζάντιον ὡς βασι-
λέα τὸν πρεσβύτερον τὰ γράμματα κομίσαι οὐκ ἔγνωσαν δεῖν,
τὸν μέγαν λογοθέτην τὰ μέγιστα παρὰ βασιλεῖ δυνάμενον δε-
δοικότες, εἰς Διδυμότειχον δὲ ἦλθον φέροντες τῷ νέῳ βασιλεῖ.
ἐπαινέσας δὲ αὐτοὺς τῆς συνέσεως καὶ εὐβουλίας, ἀπέλυσεν
εὖ ποιήσας ὁ βασιλεύς. τὰ μέντοι γράμματα εἰς Βυζάντιον
τῷ μεγάλῳ πέμψας λογοθέτῃ, παρῄνει τε καὶ συνεβουλεύετο
B αὐτὰ φιλικῶς, ὡς τὰ μὲν γράμματα ταυτὶ τῷ κηδεστῇ πέμ-
ψειαν οἱ υἱοὶ γέμοντα πολλῆς ὑποψίας, αὐτὸν δὲ ἐκείνων τε
ὄντα πατέρα καὶ τῇ Ῥωμαίων ἡγεμονίᾳ τὴν δυνατὴν ὠφέλειαν
ὀφείλοντα εἰσφέρειν, οἷα τῶν κατ' αὐτὴν πραγμάτων δι' αὐτοῦ
διοικουμένων, χρεὼν ἐκείνους τε ἀπαθεῖς κακῶν τηρεῖν καὶ
τὴν προσδοκωμένην ἀπ' αὐτῶν προαναστέλλειν βλάβην. τοῦτο

occidentis oppida non mediocriter perturbata sunt. Sub idem tempus e filiis magni logothetae Demetrius, cognomento Angelus, Strumbitzae, Michael vero Lascaris Melenico Macedoniae civitatibus praesidebant. Hi fratres uxoris panhypersebasti litteras ad eum sororemque mittunt, quibus illorum defectio non quidem aperte arguebatur, occasio tamen suspicandi non levis praebebatur. Erant siquidem refertae verbis ambiguis, veterisque amicitiae et consuetudinis memoriam refricabant; ac de mutua benevolentia praestanda admonebant, cum aliis pluribus de causis, tum ob vinculum affinitatis videlicet. Milites propter bellum cum panhypersebasto viis custodiendis praepositi, tabellarios intercipiunt, litteras auferunt, nec tamen ad imperatorem senem perferre audent, quod a magno logotheta, qui apud eum plurimum valebat, metuerent. Ergo Didymotichi iuniori eas reddunt: quos ille, ut debuit, tamquam prudentes et consultos laudavit ac dimisit. Epistolam vero Byzantium ad magnum logothetam transmittens, amice monuit ac suasit, ut quoniam filii eius has litteras suspiciosissimas ad affinem portandas dedissent, ipse tamquam eorum parens, omniaque summa officia rei publicae Romanae debens, (quando per eum eius res administrarentur,) et illis a malo caveret, et imminenti huic detrimento mature obviam iret. Id effici posse,

δὲ γένοιτ᾽ ἂν, εἰ αὐτοὺς μὲν τοῦ τῶν πόλεων ἐκείνων ἄρχειν A.C. 1326
ἀποστήσας, ἑτέρους ἀνυπόπτους ἐπιστήσει, αὐτοῖς δὲ ἑτέρας
ἀρχὰς ἢ ἂν αὐτῷ δοκῇ λυσιτελεῖν ἐγχειρίσει. „ἐμοὶ μὲν οὖν οὐκ
ἀγαθὸν ἔδοξεν" εἶπε „τῷ βασιλεῖ τὰ τοιαῦτα γράμματα ποιῆσαι
δῆλα, ἀλλὰ μόνῳ σοί, ὡς ἄν, συνετὸς ὤν, τά τε δέοντα ὑπὲρ τῶν
κοινῶν οἰκονομήσῃς πραγμάτων καὶ τοῖς παισὶ τὰ λυσιτελοῦν-
τα." βασιλεὺς μὲν οὖν τοιαῦτα τῷ μεγάλῳ συνεβούλευε λογο- C
θέτῃ· ὁ δὲ, πείθεσθαί τε δέον καὶ χάριτας τῆς τῶν υἱῶν κη-
δεμονίας ὁμολογεῖν, τοὐναντίον ἐποίει πᾶν. τραχέως γὰρ ἀπο-
κρινάμενος καὶ σκληρῶς, ἐπὶ τέλει προσέθηκε καὶ τοῦτο, ὡς
καὶ τοῖς ὄνοις ἡ παροιμία δίδωσι τὸν ξέοντα ἀντιξέειν. ταύτην
μὲν οὖν ἑαυτοὺς ἀνερευνῶντες ὑπενόουν αἰτίαν εἰς τὸ πολε-
μεῖσθαι παρεσχημένους, τὸν μέγαν ὑπολογιζόμενοι παροξυν-
θέντα διὰ ταῦτα λογοθέτην εἰς τὸ πολεμεῖν παρακαλέσαι τὸν
βασιλέα· σαφὲς μέντοι εἶχον οὐδὲν εἰδέναι. ἄξιον δὲ καὶ
οἵας εὐεργεσίας πρός τε λογοθέτην τὸν μέγαν καὶ πρὸς τὸν D
πρωτοβεστιάριον Ἀνδρόνικον τὸν Παλαιολόγον, τοὺς τοῦ τρί- V. 105
του τουτουὶ πολέμου μάλιστα αἰτιωτάτους γεγενημένους, βα-
σιλεὺς ὁ νέος ὑπῆρξε, διηγήσασθαι διὰ βραχέων, ὡς ἂν πρὸς
οἵους ἠγνωμόνουν εἰδείημεν εὐεργέτην. ὁ γὰρ πρωτοβεστιά-
ριος οὑτοσὶ Παλαιολόγος Ἀνδρόνικος, τῆς τοῦ πρεσβυτέρου
βασιλέως Ἀνδρονίκου παῖς ὢν ἀδελφῆς τῆς Ἄννης, ἣ συνῴ-
κει Μιχαὴλ τῷ δουκὶ τῶν Πάτρας ἀρχόντων ἑνὶ καὶ τῆς
κατ᾽ αὐτὴν Θεσσαλίας, ἔκ τινος διαφορᾶς πρὸς τὸν μέγαν
λογοθέτην ἀπεχθῶς διατεθεὶς, πρὸς τὸν νέον βασιλέα ἐλ-

si iis, ab earum urbium procuratione avocatis, alias praefecturas ut expedire videbitur committat, et nunc alios non suspectos surroget. Sibi visum, has litteras imperatori exhiberi non expedire: sed ipsi patri duntaxat, ut cum prudentia praestet, quae rei publicae rationes postulent, ea provideat atque administret, et filiorum saluti det operam. Istaec imperator iunior magno logothetae suasit; quem cum auscultare ac pro filiorum sollicitudine gratias agere oportuisset, omnino secus egit: aspere enim et acerbe respondens, in extremo adiecit etiam hoc: Iuxta proverbium licere et asellis mutuum scabere. Hanc itaque, in semet inquirentes, causam bello renovando se attulisse suspicabantur; reputantes, hinc irritatum magnum logothetam, imperatorem ad arma sollicitasse: nihil tamen certum scire poterant. Operae pretium est porro paucis attingere, quae beneficia iunior imperator in Andronicum Palaeologum protovestiarium et in magnum logothetam longe praecipuos huius tertii belli auctores ultro contulerit: ut in qualem quantumque bene merentem ingrati exstiterint, cognoscere possimus. Protovestiarius matrem habuit Annam sororem Andronici senioris, quae Michaeli duci, uni ex principibus Patrae et Thessaliae circumiectae, nupsit; qui nescio ob quam controversiam

A.C. 1326 θῶν πολλά τε καὶ ἄκοσμα διεξῄει κατ' αὐτοῦ, καὶ τελευταῖον προσετίθει, ὡς ἤδη πρὸς τὴν πρὸς αὐτὸν ἀπέχθειαν ἀπειρηκώς, βούλοιτ' ἂν αὐτὸν συγκόπτειν πολλαῖς ταῖς πληγαῖς,
P. 131 κἂν δέῃ διὰ τοῦτο καὶ ἀποθνήσκειν· δι' ὃ καὶ ἀμύνειν αὐτῷ, εἴ τι μετὰ ταῦτα διὰ τὸ τόλμημα ἐπίοι δεινόν, ἐδεῖτο. ἀκούσας δὲ ὁ βασιλεύς, λόγοις τε πολλοῖς καὶ παραινέσεσι τὸν πρωτοβεστιάριον ἀπάγειν τοῦ τολμήματος ἐπεχείρει· ὡς δὲ οὐκ ἔπειθε, καὶ διαθήσειν ἠπείλησε τὰ χαλεπώτατα, εἰ μὴ παύσοιτο τοιούτοις ἐπιχειρῶν. ἔφη γάρ, εἰ μὲν πρὶν μηδὲν πρὸς αὐτὸν τοιοῦτον εἰπεῖν τι εἰργάζετο τῶν ἀτόπων, δεινὸν μὲν ἂν ἦν, οὐδὲν δὲ αὐτῷ διαφέρειν· ἐπειδὴ δὲ αὐτῷ φανερὰν κατέστησε τὴν γνώμην, ἀδύνατον εἰς ἔργον τὴν βουλὴν
B προαγαγεῖν. τὴν γὰρ εἰς τὸν μέγαν λογοθέτην παροινίαν, διοικητὴν τῶν βασιλέως ὄντα πραγμάτων, εἰς ἐκεῖνον ἄγειν τὴν ὕβριν, ἃ μὴ δέον αὐτὸν συγχωρεῖν. τούτοις μὲν οὖν ὁ πρωτοβεστιάριος ἐπείθετο δείσας, καὶ ἀπέσχετο τοῦ τὸν μέγαν λογοθέτην τὰ αἴσχιστα διαθεῖναι. ὀλίγαις δὲ ὕστερον ἡμέραις βασιλεὺς ὁ πρεσβύτερος, εἴτ' ἐκ διαβολῆς εἴτε καὶ ἄλλως, τοσοῦτον ἐξώργιστο κατὰ πρωτοβεστιαρίου, ὡς καὶ εἶρξαι θελῆσαι. πέμψας τοιγαροῦν πρὸς βασιλέα τὸν νέον τὸν μέγαν λογοθέτην, ἄλλα τε πολλὰ τοῦ πρωτοβεστιαρίου κατηγόρει, καὶ ὅτι λοιδορούμενος αὐτὸν οὐ παύεται καὶ διασύρων, δι' ἃ
C δὴ καὶ μόνα δίκαιος εἶναι τὴν ἐσχάτην δοῦναι δίκην· οὐ ταῦτα δὲ μόνον, ἀλλ' ὅτι καὶ ἀποστασίαν ἀπ' αὐτῶν ἐννοεῖ.

magnum logothetam exosus, apud imperatorem iuniorem multa adversus illum confusius effudit cum hac clausula, se iam eius odio fessum, velle hominem plagis multis concidere, etiamsi propterea sibi moriendum sit. Quare eum rogabat, ut si propter tam audax facinus quippiam gravius sibi impenderet, opem afferret. Imperator longo sermone admonitum a tam praecipiti consilio abducere nitebatur. Cum surdo loqueretur, inclementissime illum se accepturum minatus est, nisi tali conatu desisteret. Et addebat: Si me celasses et interim vetitum aliquid in ipsum designasses, grave id quidem fuisset, mea autem nihil retulisset: at iam quia mentem tuam mihi aperuisti, quae vis opere compleri neutiquam possunt. Quod enim in magnum logothetam imperatoris avi vicarium petulantius committetur, id illum contumelia afficit, quod quidem mihi patiundum non est. His commotus protovestiarius, timuit et in magnum logothetam exemplum pessimum moliri cessavit. Paucis diebus intermissis, senior imperator an calumnia, an alia ratione inductus, sic in protovestiarium exarsit, ut eum in carcerem compingere cogitaret. Mittit igitur magnum logothetam ad nepotem, et hominem cum de aliis criminibus multis accusat, tum quod sibi maledica lingua obtrectare non desinat: ob quae sola extremum supplicium merea-

τούτων οὖν ἕνεκα πάντων εἰς δεσμωτήριον αὐτὸν ἐμβαλεῖν A.C. 1326
δέον εἶναι οἰηθεὶς, καὶ αὐτῷ τὴν γνώμην δηλοῦν, ὡς ἂν εἰ-
δείη τε καὶ αὐτὸς ἅμα καὶ συνεπιλαμβάνοιτο πρὸς τὸ ἔργον.
πρὸς ταῦθ' ὁ νέος ἀπεκρίνατο βασιλεὺς τοιαῦτα· „θειότατε
βασιλεῦ, τὸ μὲν πρωτοβεστιάριον τὸν ἐμὸν θεῖον ἀκόλαστόν
τε εἶναι περὶ τὴν γλῶτταν καὶ πρὸς λοιδορίας εὐχερῆ, καὶ
αὐτὸς συνομολογήσαιμι ἄν· διὸ καὶ αὐτὸς συνεπιψηφίζομαι
τιμωρίας ἄξιον εἶναι τῆς προσηκούσης. τοὺς γὰρ ἐπιφανεστέ-
ρους μᾶλλον τῶν ἀνδρῶν καὶ προσήκοντας βασιλεῦσι τά τε D
ἄλλα συνετοὺς καὶ κοσμίους εἶναι δεῖ καὶ πρὸς πᾶσαν ἀρε-
τῆς ἰδέαν ἐπιτηδείους, καὶ τὴν γλῶτταν πρό γε τῶν ἄλλων
εὐφήμους, οἷα δὴ τοῖς ὑποδεεστέροις ὥς τινα παραδείγματα
κοινὰ καὶ τύπους κειμένους, πρὸς οὓς ὁρῶντες οἱ πολλοὶ, ῥυ-
θμίζοιντ' ἂν πρὸς τὸ βέλτιον. ἀποστασίαν μέντοι οὔτ' αὐτὸς
κατέγνων αὐτοῦ ποτε, οὔτε παρ' ἄλλου σαφῶς ἀκήκοα εἰδότος·
οὐ δὴ δίκαιον λόγοις ἁμαρτόντα ἔργῳ τὴν κόλασιν ὑποσχεῖν,
ἀλλὰ μᾶλλον ἐφ' οἷς ἥμαρτε τυχόντα συγγνώμης, λόγοις σω-
φρονίζειν τοῦ λοιποῦ καὶ ἀπειλεῖν, εἰ μὴ παύοιτο τοιαῦτα
ἁμαρτάνων, ὡς καὶ ὧν ἀφίεται νῦν ὁμοῦ πάντων ἐν τῷ τότε
ὑφέξοντα τὰς δίκας.“ οὕτω γὰρ πρωτοβεστιάριόν τε ἂν σω- P.132
φρονέστερον γενέσθαι, αὐτόν τε οὐ ζημιώσεσθαι ἄνδρα τῶν
ἐπιφανῶν καὶ καθ' αἷμα προσηκόντων. τοιαῦτα συμβουλεύων
ἐδεῖτο πείθεσθαι καὶ τὴν ὀργὴν πρωτοβεστιαρίῳ ὑφεῖναι. εἰ

tur; praeterea quod ab ipsis deficere meditetur. Ob haec existimare se, illum coniiciendum in custodiam: et hanc sententiam suam ipsi indicare voluisse, ut pariter sciret seque ad eum comprimendum adiuvaret. Nepos ita respondit, se quoque protovestiarium magnae amitae suae filium intemperanti lingua et ad convitia facilem esse, libenter confiteri: quocirca et suo iudicio poenae commeritae subiiciendum. Etenim ceteris illustriores et imperatoribus cognatione devinctos, inquit, etiam prudentes ac modestos et ad omne genus virtutis habiles et lingua prae aliis bene ominata esse condecet, inferioribus velut communia quaedam exemplaria formasque propositos, in quas plebeii intuentes, vitam ac mores suos quasi ad certos numeros componant. Verumtamen defectionem illum agitare animo, neque ego unquam iudicavi, neque ab alio, cui id constaret, audivi. Non itaque iustum est, qui verbis duntaxat peccavit, eum rebus poenam luere: immo potius erratorum veniam dare et verbis in viam reducere eum oportere. Minae quoque intentandae, nisi talibus modum fecerit, simul omnium, etiam quae nunc illi dimittuntur, in futuro supplicia subiturum. Sic protovestiarium probiorem fore, et virum nobilitate conspicuum ac sanguine imperatori coniunctum haud male multatum iri. Hoc consilium nepos dabat, et ut audiretur iraque poneretur rogabat. Sin ad veniam in-

A.C. 1326 δ' ἄρα ἀνενδότως ἔχει καὶ μὴ βούλοιτο συγγνώμης ἀξιοῦν, V. 106 κύριον ὄντα πάντων ὅ, τι ἂν ἐθέλῃ ἐξεῖναι ἔλεγε ποιεῖν. συνήρατο δ' ἂν καὶ αὐτὸς πρὸς τὸ τιμωρήσασθαι τὸν ὑβριστὴν, εἴγε ἐνδεᾶ τῆς δυνάμεως ἑώρα τὴν βούλησιν κεκτημένον· ἐπεὶ δὲ ὅσα ἂν ᾖ βουλομένῳ καὶ δυνατός ἐστι καταπράξασθαι, B περαινέτω τὴν βουλήν. Ταῦτα τοῦ μεγάλου λογοθέτου πρὸς βασιλέα τὸν πρεσβύτερον ἀπαγγείλαντος, εἴτε τοῖς βεβουλευμένοις ὡς λυσιτελέσιν ὁ βασιλεὺς πεισθεὶς, εἴτε τὴν τοῦ νέου καλοκἀγαθίαν αἰδεσθεὶς, τοῦ κακῶς ποιεῖν τὸν πρωτοβεστιάριον ἀπέστη. οὕτω μὲν ἀμφοτέροις ὁ νέος βασιλεὺς, τῷ μὲν τοῦ μὴ πληγαῖς πρὸς τῷ ἀτιμασθῆναι συγκοπῆναι, τῷ δὲ τοῦ μὴ διὰ βίου δεσμωτήριον οἰκεῖν, αἰτιώτατος ἐγεγόνει. αὐτοὶ δὲ μετὰ μικρὸν ἐκ τοῦ ἄκρως ἐκπεπολεμῶσθαι εἰς φιλίαν συνελθόντες καὶ ὅρκοις ἐμπεδώσαντες ἀλλήλους ἦ μὴν φρονήσειν ταὐτὰ, πρὸς τὸν κατὰ τοῦ νέου βασιλέως πόλεμον αὐτοί τε C ἐξηρτύοντο καὶ τὸν βασιλέα παρεκάλουν, ἀπάταις χρώμενοι καὶ διαβολαῖς· καὶ τῆς εὐεργεσίας ἀπεδίδοσαν χάριν τὸ μέχρι θανάτου πολεμεῖν. ἀλλ' ἐκεῖνοι μὲν οὕτω· βασιλεὺς δὲ ὁ πρεσβύτερος τὸν πρωτοβεστιάριον ἄρχοντα καταστήσας Βαλαγράδων, προσηνῶς τε καὶ ἡμέρως ὁμιλήσας καὶ πολλὰ ἐπαγγειλάμενος εὖ ποιήσειν, ἐξέπεμψεν, ὅσων ἂν δέοι πρὸς τὸν πόλεμον εἶναι παρεσκευασμένον παραγγείλας, ὡς ἅμα τῷ δέξασθαι γράμματα παρ' αὐτοῦ βασιλεῖ τῷ νέῳ τὴν ἐκ τῆς ἑσπέ-

4. Sic scripsi ex coniectura Intpr., cum antea esset ἐνδεᾶ τῆς βουλήσεως ἑώρα τὴν δύναμιν κεκτημένον.

exorabilis maneret, ipsi ut rerum omnium domino licere facere quod liberet. Se quoque ad iniuriosum illum puniendum adiutorem esse voluisse, si videret deesse facultatem ei, cui voluntas non deesset. Nunc quia quaecunque vellet, praestare posset, faceret quod vellet. Haec postquam magnus logotheta seni renuntiavit, ille sive eo consilio tamquam utili persuasus, sive nepotis probitatem reveritus, in protovestiarium animadvertere supersedit. Ita iunior imperator uni maxime profuit, ne cum infamia verberibus contunderetur, alteri, ne aeternis vinculis mandaretur: qui non diu post ex infestissimis odiis in gratiam redierunt. Cumque ad idem sentiendum iusiurandum confirmationis ergo adhibuissent, ipsi bellum instruxerunt dolisque et calumniis senem incenderunt, et beneficia bene meritum usque ad mortem oppugnando pensaverunt. Atque hi quidem ita se gesserunt. Imperator avus protovestiarium Balagradorum praesidem creavit, benigne tractatum cum multorum beneficiorum pollicitatione emisit: cum praecepisset, ut quibuscunque ad bellum opus esset parata haberet, quo statim atque a se litteras accepisset, ex occidente copias in nepotem duceret. Cui scriptum est ab amicis Byzantio, avum propalam bellum adornare. Quamobrem ei et magno domestico, nec

ρας ἐπάξων στρατιάν. ἀπὸ δὲ Βυζαντίου πρὸς τὸν νέον Ἀν- A.C. 1326
δρόνικον ἧκον γράμματα παρὰ τῶν φίλων, σαφῶς ἀπαγγέλλον-
τα, τὸν πρεσβύτερον βασιλέα πρὸς τὸν πόλεμον παρασκευάζε- D
σθαι. διὸ καὶ ἐδόκει δεῖν αὐτῷ ἅμα τῷ μεγάλῳ δομεστίκῳ καὶ
πρωτοστράτορι βουλευτέα εἶναι περὶ τοῦ πολέμου. βουλευσα-
μένοις δὲ μεγαλοψυχίᾳ ὥσπερ καὶ ἐπὶ τῶν προτέρων πολέμων
ἐδόκει χρῆσθαι καὶ μὴ προεξανίστασθαι, ἀλλὰ τὸν ἀπὸ τῶν
πραγμάτων ἔλεγχον περιμένειν, ἅμα καὶ ἐλπίζοντες περιγενήσε-
σθαι τοῦ πολέμου, ἀμύνοντος αὐτοῖς καὶ τοῦ θεοῦ παρασπον-
δουμένοις· αὐτοὶ γὰρ οὔτε λόγῳ αἰτίαν παρασχεῖν τοῦ λελύ-
σθαι τὰς σπονδάς. πείρας δὲ χάριν ἐδόκει πρὸς Βυζάντιον
ἀπελθεῖν ὡς ἢ φανεροῦ γενησομένου ἅμα τῷ αὐτοὺς ἀφικέ-
σθαι τοῦ πολέμου ἢ διαλυθησομένου, τῶν κινούντων καταπλη-
ξάντων. βασιλεῖ πᾶν οὖν τῷ νέῳ καὶ τοῖς φίλοις οὕτως ἐδόκει.

μδʹ. Καὶ ὕστερον οὐ πολλαῖς ἡμέραις κατὰ τὰς ἀρχὰς P. 133
Ὀκτωβρίου τῆς ἑνδεκάτης ἰνδικτιῶνος ἐκ Διδυμοτείχου ἦλθον A.C. 1327
εἰς Σηλυβρίαν, στρατιὰν μὲν οὐκ ἐπαγόμενοι τοῦ μὴ δοκεῖν
ἐξεπίτηδες πρὸς πόλεμον χωρεῖν, ἅμα δὲ οἰκέταις καὶ τῶν
φίλων οὐκ ὀλίγοις. ὡς δὲ ἐπύθετο ὁ πρεσβύτερος βασιλεύς,
τόν τε δικαιοφύλακα Γρηγόριον τὸν Κλειδᾶν καὶ Νίφωνα
τὸν ἐπίσκοπον Μογλαίνων πρὸς τὸν ἔγγονον ἀπέστειλεν εἰς V. 107
Σηλυβρίαν, εἰς Βυζάντιον κελεύων μὴ ἐλθεῖν· οὐδὲ γὰρ ἂν
αὐτῷ τὴν εἴσοδον παραχωρήσειν, ὅτι τὰς πρὸς αὐτὸν σπον-
δὰς παραλύσειε καὶ τοὺς ὅρκους. κἂν τι περὶ αὐτὸν συμβῇ B

16. Pro δεκάτης scripsi ἑνδεκάτης, certissima emendatione. Nam cum ex iis, quae noster supra c. 42. narravit, tum ex Nicephoro L. VIII. c. 15. 4. patet, non annum 1326, sed sequentem iam agi. Error librarii est, non Cantacuzeni.

non protostratori de bello in consilium ire placuit, visumque adhibendam, ut prioribus bellis, animi magnitudinem, nec prius insurgendum, sed quid tempus moneat, exspectandum. Spes etiam victoriae praeclara illos sustentabat, quod Deum sibi fracto foedere laesis succursurum confiderent; ad quod frangendum ipsi nec re, nec verbo in causa ullo modo fuissent: experiundi tamen gratia Constantinopolin procedendum, quod belli molitio, simul ac eo accessissent, clare apparitura, aut perterrefactis, qui illud suscitarant, in nihilum recasura esset. Haec consiliantium sententia fuit.

44. Dies pauci intercesserunt, cum ineunte Octobri, Indictione undecima, Didymoticho Selybriam sine exercitu, ne dedita opera in bellum viderentur proficisci, servorum amicorumque stipati catervis venerunt. Quod ut comperit senior, Gregorium Clidam dicaeophylacem et Niphonem Moglaenorum episcopum Selybriam mittit suis verbis nepoti mandatum, ne Byzantium adeat: non enim ingredi permissurum, quandoquidem foedus in postremis habuisset. Proinde

A.C. 1327 τῶν ἀβουλήτων, οὐκ ἐκείνῳ, ἀλλ' ἑαυτῷ τὴν αἰτίαν λογίζεσθαι
παρεσπονδηκότι. τούτων ἀκούσας ὁ νέος βασιλεὺς, ἤλγησε μὲν
οὐχ ἥκιστα ἐπὶ ταῖς ἀγγελίαις· μικρὸν δὲ ἐπισχὼν, „ἐβουλόμην"
εἶπε „μὴ τοσοῦτον ἀμνήμονα τὸν ἐμὸν κύριον καὶ βασιλέα ἧς
ἔργοις αὐτοῖς εὐπειθείας καὶ δουλείας πρὸς αὐτὸν ἐνεδειξάμην
ὀφθῆναι νῦν· ἐπεὶ δ' ἡ τῶν ἐμῶν ἁμαρτημάτων πληθὺς ἐπίορ-
κον καὶ τῶν πρὸς αὐτὸν συμβάσεων ἀθετητὴν καὶ οἴεσθαι ἀνέ-
πεισε καὶ λέγειν, δέον εὐγνώμονα καὶ φιλοπάτορα καὶ αὐτῷ
C ὑπείκοντα λογίζεσθαι πάντα, πρῶτον μὲν ἐν καιρῷ οἴομαι τὴν
πρὸς ἐμὲ ὑμῶν ἄφιξιν γεγενῆσθαι, συνετῶν ὄντων καὶ δυνα-
μένων μάλιστα ἀπὸ τῶν λεγομένων τὰ ἀληθῆ καὶ τὰ δέοντα
συνεῖναι. ἔπειτα ἐρωτῶ, εἰ καὶ παρὰ τοῦ ἐμοῦ κυρίου καὶ βα-
σιλέως ἐπιτέτραπται ὑμῖν, ἅ τε ἠδίκηκα ἐγκαλεῖν καὶ τούτων
τὴν ἀπολογίαν δέχεσθαι διεξιόντος. ἐλπίζω γὰρ ἐκ πολλοῦ τοῦ
περιόντος ἀπολύσασθαι τὰ ἐγκλήματα." τῶν δὲ εἰπόντων μη-
δὲν πλέον ἐπιτετράφθαι ἢ ὅσον μὴ εἰς Βυζάντιον ἀπαγγείλαντας
ἥκειν, αὖθις ἀναστρέφειν, „ἀπαγγείλατε τοίνυν" ἔφη „τῷ ἐμῷ
κυρίῳ καὶ βασιλεῖ, ὅτι τὸν ἔφορον τῆς ἀληθείας ἐπιμαρτύρο-
D μαι θεὸν καὶ αὐτὸν ἀλήθειαν καλούμενον καὶ ὄντα, ὡς οὔτε πρό-
τερον, οὔτ' ἐν τῷ νῦν ἀδίκως κατ' ἐμοῦ κινουμένῳ πολέμῳ, οὔτ'
ἔργοις οὔτε μὴν ἐν ῥήμασιν ἐμαυτῷ τι σύνοιδα πεπραγμένον
κατὰ σοῦ. διὸ καὶ ἱκέτης γίνομαί σου πρὸς αὐτοῦ τοῦ θεοῦ τὸ
P. 134 ὀργίζεσθαι ἀποθέμενον, συμπαθείᾳ χρήσασθαι καὶ πρᾳότητι,
καὶ τοῦ δικαίου καὶ λυσιτελοῦντος ἔξω ποιεῖν μηδέν. εἰ δ' ἄρα

5. αὐτὸς legebatur pro αὐτοῖς et 15. ἀποδύσασθαι.

si quid ei obveniret mali, non illi, sed sibi culpam adscriberet, qui foedus violasset. Doluit valde hoc nuntio nepos, paulumque cunctatus, Voluissem, inquit, dominum meum et imperatorem subiectionis meae, quam erga eum factis ostendi, non adeo deposuisse memoriam. Sed quia peccatis meis factum est, ut huc prolaberetur, meque periurum et pactorum contemptorem iudicaret ac diceret, cum probum, patris amantem sibique subiectum reputare debuisset, primum quidem opportune vos huc venisse arbitror, viros prudentes quique facillime ex oratione mea veritatem et officium intellecturi sint. Deinde interrogo, ecquid ab avo meo in mandatis acceperitis, ut de iniuriis illi a me illatis mecum expostuletis meamque contra defensionem audiatis. Etenim ad obiecta depellenda quod dicam superfuturum, nedum defuturum spero. Respondentibus, non plus sibi praeceptum, quam ut ei denuntiarent, ne Byzantium ingrederetur, statimque reverterentur: Renuntiate igitur, ait, domino meo et imperatori, me Deum veritatis vindicem atque adeo ipsam veritatem, (ipse enim et est et nominatur veritas,) testari, me neque antea, neque modo bello tam inique appetitum, mihi alicuius in ipsum criminis, seu re seu verbo admissi, conscium esse aut fuisse. Quare illum per Deum

τοῦ δαίμονος ἡ δυσμένεια, δι' ἣν πολλάκις ἐν κακοῖς τεταλαι- A.C.1327
πώρηκα, τῆς μὲν δουλείας καὶ εὐπειθείας, ἣν ἔργοις αὐτοῖς ἐπεδειξάμην ἐν παντὶ τῷ παρασχόντι, παρεσκεύασεν ἐπιλελῆσθαι, τοῖς διαβάλλουσι δὲ καὶ συκοφαντοῦσιν ἀνέπεισε προσέχειν καὶ τὸν κατ' ἐμοῦ πόλεμον κινεῖν, δέομαι αὖθις μὴ ἐρήμην οὕτω καταψηφίσασθαι, ἀλλὰ τά τε ἐγκλήματα δηλῶσαι καὶ τόπον ἀπολογίας παρασχεῖν. εἰ μὲν οὖν διαφύγω τὴν δί- B
κην, τὰ ἐγκλήματα ἀπολυσάμενος, εὖ ἂν ἔχοι· ἂν δ' ἐπιορκῶν ἁλῶ καὶ παρασπονδῶν, οὐδεμιᾶς ἀξιῶ τυχεῖν συγγνώμης, ἀλλὰ πᾶν ὁτιοῦν πάσχειν αὐτὸς τιμῶμαι." βασιλεὺς μὲν οὖν ὁ νέος τοῖς πρέσβεσι τῷ πάππῳ τοιαῦτα ἐκέλευεν ἀπαγγέλλειν· οἱ δ' ἐπυνθάνοντο αὖθις, εἰ μηδὲν ἑαυτῷ σύνοιδε τοὺς πρὸς βασιλέα τὸν πάππον γεγενημένους ὅρκους παραβεβηκώς, οἰόμενοι πεῖσαι ἂν βασιλέα ῥᾳδίως διαλύσασθαι πρὸς τὸν ἔγγονον, εἰ μηδὲν ἐπιορκοῦντα πύθοιτο αὐτόν. τοῦ δὲ ἰσχυρισαμένου ἄχρι τότε παρεσπονδηκέναι μηδαμῶς, χαίροντες εἰς Βυζάντιον ἐπα- C
νῆκον, ἐλπίζοντες τὸν πόλεμον τῶν βασιλέων καταλύσειν· τὸ δ' ἐναντίως ἢ ἀπέβη προσεδόκων. ἀπαγγειλάντων γὰρ ὅσα βασιλεὺς ὁ νέος πρὸς τὸ μὴ παρεσπονδηκέναι παραιτεῖται, οὐδὲν μᾶλλον ὁ πρεσβύτερος ὑφῆκε τῆς ὀργῆς, ἀλλ' ἐκείνοις μὲν ἀπεκρίνατο οὐδέν· τῷ πατριάρχῃ δὲ Ἠσαΐᾳ τὸ μνημονεύειν ἐν ταῖς ἱεροτελεστίαις τοῦ ἐγγόνου μήτ' ἐν τῷ τῆς τοῦ θεοῦ Σοφίας νεῷ, μήτ' ἐν τοῖς ἄλλοις ἱεροῖς ἐκέλευε συγχωρεῖν· καὶ αὐτῶν γὰρ τῶν ἐν βασιλείοις ἱερῶν ἀπεληλακέναι τὴν V. 108

immortalem obsecro, ut iuxta mecum miseriam meam sentiat, seque ad lenitatem det, ac ne quid praeter aequum et bonum attentet. Quod si cacodaemonis malignitas, propter quam multas toties aerumnas pertuli, paratam ad eius nutum voluntatem meam, quam, quotiescunque occasio fuit, prae me tuli, ex animo illi excussit, obtrectatoribus autem et sycophantis aures dare et armis me persequi persuasit, iterum oro, ne indicta causa me condemnet, sed crimina proferat, defendendi locum relinquat. Si, refutatis illis, damnationem effugero, bene habet: sin perfidus et foedifragus inventus fuero, ne veniam consequar, et vel me iudice, quantumvis magno supplicio multer. Haec nepos avo, Quaerentibus adhuc legatis, ecquid iuramentum, quod avo iurarit, nullam partem violarit, (rati, non difficile reconciliatum iri senem, si iurisiurandi tenacem esse audierit,) confirmanteque illo, se ad id tempus usque nihil foederi contrarium egisse, laetantes ac bene sperantes, bellum sopitum iri, Byzantium repetivere. Verum aliter accidit, quam sperabant: expositis namque quibus iunior rupti foederis culpam ab se amolitus esset, nihilo magis senior iram posuit. Et legatis quidem nihil respondit: patriarchae vero Esaiae praecepit, ut inter sacrorum solennia neque in Sophiae, neque in aliis templis eius nomen edi sine-

A. C. 1327 τούτου μνήμην. ὁ πατριάρχης δὲ τὴν αἰτίαν ἠρώτα, δι' ἣν ἂν ἐκβάλλοιτο τῶν ἱερῶν ἡ μνήμη τοῦ βασιλέως· εἰ μὲν γὰρ εἴς D τι τῶν ἀλλοτρίων τῆς ἐκκλησίας ἐξώκειλε δόγμα, οὐδ' οὕτω πρὸ πάσης παραινέσεως καὶ πείρας τῶν ἱερῶν ἐκβάλλειν χρή, ἀλλ' αὐτὸν ὑπὸ τοῦ θεοῦ τῶν ἱερῶν τῆς ἐκκλησίας προστάτην ἀποδειχθέντα δογμάτων καὶ κηδεμόνα ψυχῶν, οὐκ ἄχρι Ῥηγίου μόνον, ὅπου βασιλεὺς ὁ νέος διατρίβει, ἀλλὰ καὶ εἰς ἐσχατιὰς γῆς ὑπὲρ ψυχῆς κινδυνευούσης ὀφείλειν τε καὶ προθυμεῖσθαι βαδίζειν. διὰ τοῦτο δέον εἶναι πρῶτον πρὸς αὐτὸν ἀπελθεῖν· κἂν μέν, θεοῦ συναιρομένου, πολλὰ διδαχθεὶς καὶ νουθετηθεὶς τὴν κακοδοξίαν ἀπόθηται, τὴν ἀλήθειαν ἀσπασάμενος καὶ τὸ ὑγιαῖνον τῶν δογμάτων ἐπεγνωκώς, πανταχόθεν ἂν ἔχοι καλῶς, τῇ τε ἐκκλησίᾳ, τοῦ κατὰ πνεῦμα, καὶ σοί, τοῦ σωματικοῦ παιδός, τοῖς τε Ῥωμαίοις, τοῦ βασιλέως σεσωσμένου. P.135 ἂν δ' ἐθελοκακῶν φανῇ καὶ πρὸς τὰς αὐγὰς τῆς ἀληθείας καμμύων ἑκοντὶ τοὺς ὀφθαλμούς, καὶ οὐδὲ μικράν τινα παρέχων ἐλπίδα τοῦ ἰατρευθῆναι ἄν ποτε, οὐ τῶν ἐν Βυζαντίῳ ἱερῶν μόνον αὐτοῦ τὴν μνήμην ἐκβαλῶ, ἀλλὰ καὶ τοῖς ὁποιδήποτε γῆς Χριστιανοῖς ἐκκήρυκτον αὐτὸν ποιήσω." ἀποκριναμένου δὲ τοῦ βασιλέως, οὐ διαστροφὴν τῆς πίστεως τῷ ἐγγόνῳ ἐγκαλεῖν, ἀλλὰ τῶν εἰς αὐτὸν ὅρκων ἀθέτησιν καὶ τῶν συνθηκῶν, B ἔτι τε αὐθάδειαν καὶ ἀπείθειαν, καὶ διὰ τοῦτο νουθεσίας καὶ παιδείας χάριν τὸ τοιοῦτον ἐπινενοηκέναι, πάλιν δὲ αὐτοῦ τὴν διόρθωσιν ἀξίαν ἐπιδειξαμένου τῶν ἡμαρτημένων, αὐτὸν τὰ δέοντα ποιήσειν· „οὐκοῦν" εἶπεν ὁ πατριάρχης „δέομαί σου, κράτιστε βασιλεῦ, μίαν ἐμοὶ χάριν ταύτην καταθεῖναι μεγί-

ret: nam et in palatio eius memoriam e sacris eiectam esse. Patriarcha huius rei causam sciscitari: nam si vel in dogma aliquod ab ecclesiae placitis diversum praecipitasset, ne sic quidem citra admonitionem et conatum eius sanandi e sacris eiectum illius nomen oportuisse. Quin se ipsum, a Deo sacrorum ecclesiae dogmatum antistitem animarumque procuratorem institutum, non Rhegium modo, ubi iunior esset, sed ad ultimas terras etiam pro anima in salutis periculo versante et debere et velle alacriter proficisci. Quare faciendum, ut primum adeatur; et siquidem, Deo favente, longa disputatione ac monitis victus, dogmatum nostrorum sinceritate perspecta, pravam opinionem deseruerit veritatemque amplexatus fuerit, quid melius optari posse? cum et ecclesia secundum spiritum, et is secundum carnem filium, et Romani imperatorem suum recuperaverint. Sin se in improbitate obfirmaverit atque ad radios veritatis oculos clauserit, nec qualemqualem spem futurae sanitatis fecerit, non solum e sacris Byzantinis eius nomen expuncturum, sed Christianis per orbem universis etiam ut piorum communione seclusum promulgaturum. Tum imperator, non se pra-

στην, τὸ πρὸς αὐτὸν ἐπιτρέψαι ἀπελθεῖν" ἐλπίζειν γὰρ βασιλέα τὸν νέον πείσειν, εἴ τί τε ἡμάρτηται πρότερον, ἐπανορθώσασθαι καὶ ἀσφαλῶς εἰς τὸ ἑξῆς τὰ δέοντα ποιεῖν, τά τε μεταξὺ προσκόμματα καὶ τὰς αἰτίας τοῦ πολέμου ποιήσειν ἐκποδών. ἀηδῶς δὲ ὁ βασιλεὺς ἐπὶ τοῖς εἰρημένοις διατεθεὶς, „ἐχρῆν" εἶπε „τοῖς ἐμοῖς ἀπολυπραγμόνως πείθεσθαι λόγοις, καὶ τὸ κελευόμενον ἀντιλέγοντα μηδὲν ποιεῖν· ἐπεὶ δ' οὐκ οἶδ' ᾧτινι χρώμενος λογισμῷ τἀναντία καὶ λέγειν καὶ πράττειν προῄρησαι, ἐμοὶ δέον συνεργεῖν, αὐτὸς ἂν εἰδείης ἃ δέον ποιεῖν." οὕτω μὲν οὖν βασιλεύς τε καὶ πατριάρχης ἀσύμφωνοι ταῖς γνώμαις ἦσαν. διὸ καὶ ἐν μὲν βασιλείοις τὴν τοῦ νέου βασιλέως ἀπείρητο ποιεῖσθαι μνήμην· ἐν δὲ τοῖς κατὰ Βυζάντιον λοιποῖς ἱεροῖς καὶ ἐν αὐτῷ τῷ τῆς Σοφίας τοῦ θεοῦ τεμένει τῷ ἱερῷ, ὡς ἔθος ἦν, ἡ μνήμη τῶν βασιλέων ἐτελεῖτο.

A.C.1327 C D

με'. Βασιλεὺς δὲ ὁ νέος ἐν τῷ περὶ τὸ Ῥήγιον Ἐννακόσια προσαγορευομένῳ χωρίῳ ἀπὸ τῆς ἀρχῆς μάλιστα Ὀκτωβρίου ἄχρι καὶ Δεκεμβρίου διατρίβων μηνὸς, ἐδεῖτο τοῦ πρεσβυτέρου βασιλέως, μὴ αὖθις τὰ Ῥωμαίων πράγματα εἰς φθορὰν καὶ ταραχὴν ἐμβαλεῖν, ἀλλ' ἔλεον τῶν ὑπηκόων σχόντα, μὴ ἐπὶ πλέον τὸν πόλεμον ἐξάγειν. ὡς ἂν δὲ αὐτὸν τὴν εἰρήνην πείσῃ μᾶλλον ἑλέσθαι, καὶ τοιοῖσδε πρὸς αὐτὸν διὰ πρέσβεων ἐχρῆτο λόγοις· „τῆς ἐμῆς, ὦ βασιλεῦ, σπουδῆς τε

V.109 P.136

vitatem in fidei capitibus nepoti obiicere, sed iurisiurandi foederumque contemptum, superbiam insuper et contumaciam. Atque idcirco illius commonefaciendi et castigandi causa istuc excogitasse. Si rursus emendationem pro portione peccatorum ostenderit, se, quod sui muneris sit, non neglecturum. Ergo, subiicit patriarcha, oro te, imperator optime, uti hoc maximum apud me beneficium ponas meque ad illum abire sinas. Etenim effecturum me divinat animus, et ut nepos, si quid antehac peccavit, id corrigat atque in posterum quod suarum est partium fideliter praestet, et offendicula bellique irritamenta e medio auferantur. Hic sermo imperatorem pupugit: Atqui oportebat, inquit, omissa hac supervacanea in negotio alieno sollicitudine verbis meis obtemperare et iussa non repugnanter exsequi. Sed quoniam nescio quomodo ratiocinatus, contra et dicere et facere maluisti, cum mecum facere deberes, ipse noveris quid conveniat. Hoc itaque modo imperator et patriarcha sententiis dissidebant: unde in palatio quidem interdicta erat nepotis mentio; in reliquis autem per urbem Byzantinam sacris, etiam in ipsa aede Sophiae, sacrorum tempore solenni more uterque imperator nominabatur.

45. Iunior imperator in castello Ennacosia, non procul Rhegio a principio Octobris usque ad Decembrem sedens, avum precabatur, ne rem Romanam rursus in tumultum perniciemque coniiceret, sed misericordia suorum civium motus, bellum inhiberet. Quo autem illum ad pacem flecteret, sic per legatos egit: Sedulitatis et volunta-

A.C. 1327 καὶ προθυμίας ὑπὲρ τῶν κοινῇ τῇ Ῥωμαίων ἡγεμονίᾳ συμ-
φερόντων οὐχ ἕτερόν τινα ἀξιόχρεων ἢ σὲ μάρτυρα ἔξεστι
παρασχεῖν. οἶσθα γάρ, ὅπως, Προυσηνῶν ὑπὸ Περσῶν πολιορ-
κουμένων καὶ ὅσον οὔπω ἁλώσεσθαι προσδοκωμένων διὰ τὸ
τὸν σῖτον παντάπασιν ἐπιλελοιπέναι, πυθόμενος αὐτὸς αὐτό-
κλητος εἰς Βυζάντιον ἧκον, δεόμενός τε ἅμα καὶ συμβουλεύ-
ων, τοῖς πολιορκουμένοις τὴν δυνατὴν πρόνοιαν εἰσενεγκεῖν.
αὕτη δ' ἦν τὸ ἐμὲ ἅμα τῇ στρατιᾷ ναυσὶ πρὸς τὴν Τρίγλει-
B αν περαιωθέντα, ἐπεὶ οὐ πολὺ Προύσης διέχει, τοῖς τε βαρ-
βάροις, ἣν δύνωμαι, ἐπιθέσθαι καὶ Προυσηνοῖς τὰ ἐπιτήδεια
ἐσκομίσαι· τούτου δὲ γενομένου, ἐλπὶς αὐτοὺς χρόνον πολὺν
πρὸς τὴν πολιορκίαν ἀντισχήσειν· τἆλλα γὰρ ἡ πόλις ἅπαντα
κατεσκεύασται καρτερῶς. ἐγὼ μὲν οὖν οὕτω προθυμίας εἶχον
πρὸς τὸ Προυσηνοῖς βοηθεῖν αὐτὸς διακινδυνεύων, σοῦ δὲ μὴ
ἐφιέντος, ἄκων κατεσχέθην· ὃ καὶ μάλιστα αἴτιον ἔδοξε γε-
γενῆσθαι τοῦ Προῦσαν ὑπὸ τοῖς πολιορκοῦσι βαρβάροις γε-
C γενῆσθαι. ταῦτα δὲ διῆλθον, οὐχ ἵν' ἁπλῶς οὕτω φιλοτιμή-
σωμαι, ἀλλ' ἵν' ἐπιδείξαιμι ἐκ πολλοῦ τοῦ περιόντος, ὅτι εἰ
μιᾶς ἕνεκα πόλεως κινδυνευούσης οὕτω περιεκαιόμην καὶ δεῖν
ἐνόμιζον ἢ βοηθεῖν αὐτῇ ἢ καὶ αὐτὸς συγκινδυνεύειν, πολὺ
μᾶλλον ἂν ἀλγοίην νῦν, ὁμοῦ Ῥωμαίων σύμπασαν τὴν ἡγεμο-
νίαν κινδυνεύουσαν ὁρῶν. τὸ γὰρ ἡμᾶς, τοὺς ὑπὲρ αὐτῆς πρὸς
τοὺς ἔξω πολεμίους πολεμεῖν δικαίους ὄντας, συῤῥήγνυσθαι
ἀλλήλοις οὐκ ἄλλο τι ἢ καταστροφὴν αὐτῆς τελεωτάτην οἶε-

tis meae, imperator; ad providenda ac tuenda Romani imperii commoda praeter te idoneum testem laudare alium non queo. Manet enim in memoria tibi, quo pacto, cum Pruseni a Persis obsidione vallarentur, et iam inibi esset, ut penitus defecti cibariis, in hostium manus venirent, ego, re comperta, Byzantium non vocatus advolarim, teque rogando et hortando impulerim, ut qua posset providentia victus importaretur. Poterat autem sic, ut ego cum militibus Trigliam Prusae vicinam traiicerem, barbaros, si liceret, invaderem, et Prusenis alimenta inferrem. Quo quidem modo obsidionem diu toleraturam sperabatur, quando undiquaque firmiter communita est. Cum igitur ego Prusenis quamvis cum capitis mei discrimine succurrendi desiderio arderem, tu me invitum cohibuisti: id quod potissimum videtur in causa fuisse, cur Prusenorum barbari potirentur. Haec narravi, non ut gloriarer tantummodo, sed ut ex ea, quae mihi suppeditat copia, quod volo uno argumento demonstrarem. Si enim propter unicam urbem tantum cruciabar eique aut ferendum auxilium, aut cum ea omnes casus mihi subeundos existimabam, quanto magis nunc cruciarer, si universum imperium Romanum simul in discrimen vocatum aspicerem? Nam quod nos, qui pro eo adversum exteros propugnare summo iure debebamus, bello concurrimus, hoc

σθαι χρή. διὸ δὴ καὶ σφόδρα σου δέομαι, βασιλεῦ, εἰ μὲν A. C. 1327
οἷόν τε, καταλῦσαι τὴν ἔχθραν καὶ τὴν εἰρήνην μᾶλλον ἢ τὸν πόλεμον ἑλέσθαι. εἰ δ' ἐπὶ τοσοῦτον οἱ τῶν συκοφαντῶν ἴσχυσαν λόγοι, ὥστ' ἐμὲ πολλὰ περὶ εἰρήνης δεόμενον ἀνύειν μηδὲν, τό γε δεύτερον ἱκετεύω, ἐπὶ σοῦ ἅμα δύο ἢ καὶ τρισὶν D
ἐλθόντα δικασθῆναι. κἂν μὲν ἀπολύσωμαι τὰς αἰτίας, καλῶς ἂν ἔχοι· ἂν δ' ἀδικῶν ἁλῶ καὶ ἐπιορκῶν, τῶν μακρῶν ἀπαλλαγήσῃ πόνων, ἔχων ἐν χερσὶ τὸν ἀδικοῦντα, καὶ μὴ φείσῃ, πρὸς αὐτοῦ θεοῦ, ἀλλὰ κόλασον ἀξίως τῶν ἁμαρτημάτων. εἰ δὲ μὴ τοῦτό σοι ἀρεστὸν, τὸ αὐτὸν ἐμὲ ἐπὶ σοῦ ἐλθόντα δικασθῆναι, ἀλλ' ὁ μέγας δομέστικος γοῦν ἐλθὼν δικαζέσθω ὑπὲρ ἐμοῦ. κἂν καὶ αὐτὸς ἁλῷ, τὰ ἔσχατα ὑπομενέτω· πάντως δὲ οὐδὲν ἧττον ἀλγήσω, ἢ εἰ αὐτὸς ἐν τῷ σώματι ὑφιστάμην τὰ δεινά." Τοιαῦτα μὲν βασιλεὺς ὁ νέος ἐπέστελλε πρὸς τὸν πάππον καὶ βασιλέα· καὶ ὁ μέγας δὲ δομέστικος τοιαῦτα ἔγραψε, δεόμενος περὶ τῶν αὐτῶν· „κράτιστε βασι- P. 137
λεῦ, ἀμφότερά σε οἴομαι σαφῶς πεπεῖσθαι περὶ ἐμοῦ, ὅτι τε εὐνοϊκῶς διάκειμαι καὶ φιλίως περί σε καὶ οὐδενός σοι δουλεύειν ἧττον αἱροῦμαι, τούτων ἀποδείξεις σαφῶς τῶν πραγμάτων ἐν πολλοῖς παρασχομένων, καὶ ὅτι τὴν κοινὴν τῶν Ῥωμαίων εὐδαιμονίαν οὐ τῶν ὄντων μόνον, ἀλλὰ καὶ αὐτῆς ζωῆς προθύμως ἀλλαξαίμην ἄν. νυνὶ δέ σε ὁρῶν ἐξ οὐδεμιᾶς B
αἰτίας λύοντα μὲν τὰς σπονδὰς, ὡρμημένον δὲ πολεμεῖν, σφόδρα μὲν ἀλγῶ καὶ παραπλήσιον θανάτου, τὰς συμφορὰς, αἳ

profecto non aliud, quam ultimum illius exitium par est arbitrari. Quare te magnopere quaeso, imperator, si potes, inimicitias depone, et pacem bello antepone. Sin calumniatorum voculae apud te tantum valuerunt, ut quam saepius petivi pacem, nondum obtinuerim, saltem hoc mihi largire, precor, ut duobus aut tribus comitatus, apud te causam dicam. Si crimina refellero, bene habebit: si periurii iniustitiaeque damnatus fuero, tu diuturna molestia liberaberis, reum manibus tenens: cui ut ne parcas, sed pro eo ac scelera eius merentur illum punias, per Deum te oro. Sin autem non placet, ut ipse praesens abs te praesente iudicer, at magno domestico sit fas se loco meo sistere. Qui si et ipse damnabitur, atrocissimam poenam exsolvat: qua plane non minus dolebo, quam si corpore meo illam excepissem. Haec imperator iunior ad avum scripsit: quibus germana etiam magnus domesticus his verbis: Utrumque tibi, imperator optime, persuasissimum credo, et benevolo atque amico esse me erga te animo, ad obsequia tua paratissimum, quod rebus saepenumero clare demonstravi, et pro communi Romanorum felicitate non facultates duntaxat meas, verum et ipsam animam perlibenter impensurum. Nunc quia cerno, te sine causa foedus solvere et ad arma prorumpere, incredibilis me dolor propemodum exanimat, conside-

A. C. 1327 περιστήσονται Ῥωμαίους ἐκ τοῦ πρὸς ἀλλήλους ἐννοῶν πολέ-
V. 110 μου· δέομαι δέ σου μὴ τοιούτοις κακοῖς τοὺς ὑπηκόους περιπεσόντας περιϊδεῖν, ἀλλὰ στῆσαι τὴν συμφορὰν, βασιλεῖ τῷ ἐγγόνῳ διαλλαγέντα, οὐδὲν, ὅσα γε ἐμὲ εἰδέναι, οὔτε ἐν πράγμασιν οὔτε ἐν λόγοις, οὔτε πρότερον προσκεκρουκότι οὔτε νῦν, (οἶσθα δὲ σαφῶς, ὡς οὐδὲν οὔτε φθέγγεται οὔτε πράττει, μὴ
C συνειδότος ἐμοῦ·) μὴ δὴ τὰς συκοφαντίας τῶν ἐπ' ὀλέθρῳ ἡδομένων τῷ κοινῷ τῆς κοινῆς προθεῖναι σωτηρίας, μηδ' αὐτοῖς πεισθῆναι πρὸς τὸ πολεμεῖν ἐνάγουσιν, ἐξ αὐτῆς τῆς πείρας ἀκριβῶς δεδιδαγμένος, ὡς ἀδυνάτοις ἐπιχειροῦσι καὶ ἄχθος ἆραι τὴν δύναμιν αὐτῶν ἐθέλουσιν ὑπερβαῖνον. καταλύων μὲν οὖν τὸν πόλεμον, τὰ δέοντα βουλεύσῃ καὶ σαυτῷ καὶ ἡμῖν· τοὐναντίον δὲ ποιῶν, οὐκ οἶδα ὁποτέροις μᾶλλον ἀλυσιτελέστερον βουλεύσῃ. βασιλεὺς μὲν οὖν ὁ σὸς ἔγγονος δίκῃ διαλύεσθαι τὰ ἐγκλήματα προκαλεῖται, καὶ παρὰ σοὶ δικαστῇ, ὃ πάντες ἂν αὐτῷ συμφαῖεν, ὡς δικαία ἡ ἀξίωσις· ἢ, τό γε δεύτερον, εἰ μὴ αὐτόν σοι κατὰ γνώμην πρὸς τὴν δίκην ἀπαν-
D τῆσαι, ἀλλ' αὐτὸν ἐμὲ ὑπὲρ τῶν αὐτῷ διαφερόντων τὰς εὐθύνας παρασχεῖν. εἰ μὲν οὖν αὐτὸν ἐλθεῖν κελεύσεις, πέπεισμαι σαφῶς, ὡς ὀφθεὶς μόνον ἀραχνίων ἱστῶν ἀδρανεστέρας ἀποδείξει τὰς συκοφαντίας· εἰ δὲ, τό γε δεύτερον, ἐμὲ, ἐλπίζω καὶ αὐτὸς οὐ μόνον οὐδὲν ἠδικηκότα, ἀλλὰ καὶ φιλοπάτορα καὶ τὴν προσήκουσαν αἰδῶ καὶ εὐπείθειαν μέχρι παντὸς ἐπιδεδειγμένον ἀποδείξειν. εἰ δ' ἀμφοτέρων τούτων καταφρονήσεις, πεισθεὶς τοῖς συκοφαντοῦσιν, ἡμᾶς μὲν ὁ θεὸς οὐ περιό-

tantem calamitates, quae Romanos propter bellum vestrum oppressurae sunt. Ego vero te obsecro, ne populos tuos tantis cladibus mactari sinas, malumque imminens reprimas, cum nepote redactus in concordiam: qui, quantum mihi constat, nec facto, nec verbo neque pridem, neque recens te offendit. Neque enim ignoras, eum me inscio nihil vel dicere solere vel facere. Noli igitur obtrectatorum in communi peste exsultantium sermunculos communi saluti anteferre: noli ad arma incitantibus illis aures accommodare: siquidem experiundo probe didicisti, eos conari quae fieri nequeunt, et onus tollere, quod eorum humeri sustinere haud possunt. Itaque si bellum valere iusseris, tibi nobisque consulueris. Si secus faxis, de te an de nobis peius mereare, equidem nescio. Nepos igitur tuus ad iudicium provocat tuumque tribunal appellat: cuius petitionem esse iustam nemo negabit: et si ipsum in iudicium venire non vis, ut a me rationes illius reposcas, rogat. Si eum per se sisti volueris, solo aspectu calumnias aranearum telis invalidiores ostensurum nihil penitus dubito: sin, quod huic proximum optat, me, spero non solum nihil eum sceleris fecisse, sed etiam tui ut parentis semper amantem fuisse, debitamque tibi reverentiam praestitisse in omnibus, me pa-

φῆται ἀδικουμένους· ὑμῖν δὲ ὅποι τὰ πράγματα τελευτήσει, A. C. 1327
ἐμοὶ μὲν ἄμεινον σιωπᾶν, ἡ πεῖρα δὲ διδάξει σαφῶς. πλὴν τὰ παρόντα μοι γράμματα τηρεῖσθαι δέομαι ἐν ἀσφαλεῖ, ὅπως ἐκ τῶν ἀποβησομένων εἰ ἀγαθὸς σύμβουλος ἐγὼ φανῇ."

μϛʹ. Οἱ μὲν οὖν τοιαῦτα τῷ πρεσβυτέρῳ ἐπέστελλον βα- P 138
σιλεῖ· ὁ δὲ τὰ γράμματα ἀναγνοὺς, οὐδὲν ἀπεκρίνατο πλέον, ἢ ὡς οὐ ῥᾴδιον ἐπὶ δίκῃ οὔτε τὸν ἔγγονον, οὔτε τὸν Καντακουζηνὸν ἐν Βυζαντίῳ δέχεσθαι. βασιλεὺς δὲ ὁ νέος ἀκούσας τὴν βασιλέως ἀπόκρισιν, ἤλγησε μὲν σφοδρῶς ἐφ' οἷς οὕτω παρὰ πάντα δικαίου λόγον καὶ αὐτῆς εἴργετο ἀπολογίας· ἀπαγορεύσας δὲ τὸ βασιλέα πείθειν ἐπιχειρεῖν, τῷ πατριάρχῃ γράφει τοιαῦτα· „δέσποτα πατριάρχα καὶ ἡ περὶ αὐτὸν θεία σύνοδος καὶ ἱερὰ, ἴστε σαφῶς ὅσα βασιλέως μεταξὺ καὶ ἐμοῦ B
πρὸ χρόνου συμβέβηκέ τινος, διὰ τὰς ἁμαρτίας φαίην ἂν ἔγωγε τὰς ἐμάς. ταῦτα μὲν οὖν ὁ πάντα σοφῶς οἰκονομῶν θεὸς διέλυσέ τε ῥᾳδίως καὶ βαθεῖαν ἐχορήγησεν εἰρήνην· ὅτε δὲ πάντα τὰ ἐν μέσῳ σκῶλα καὶ προσκόμματα περιῃρέθη, καὶ βαθείας ἀπελαύομεν γαλήνης, οὐδ' ἄχρι λογισμοῦ ἐμφυλίου πέρι μηδὲν πολέμου ἐννοοῦντες, αἰφνίδιον ἀνεῤῥάγη κλύ- V. 111
δων βαρὺς καὶ χαλεπὴ τρικυμία τὴν Ῥωμαίων αὔτανδρον ἡγεμονίαν ἀπειλοῦσα καταδύειν, καὶ συμβέβηκέ τι παραπλήσιον ἡμῖν ὥσπερ καὶ τοῖς νοσοῦσιν. ἐκεῖνοί τε γὰρ κατὰ μὲν τὴν πρώτην μάλιστα τῆς νόσου προσβολὴν, κἂν σφοδρὰ τύχῃ C
οὖσα χαλεπὴ, ἀντέχουσιν ἰσχυρῶς· ἂν δὲ ῥαΐσασι δεύτερον

tefacturum. Si tu utramque conditionem, a criminatoribus praeoccupatus videlicet, contemnis, Deus nos certe indigne habitos non contemnet: res autem vestra quo evasura sit, silere praestat; experientia manifeste docebit. Ceterum has litteras meas tuto asservari rogo, donec ex eventis constiterit, ecquid bonus consiliarius fuerim.

46. Haec ambo ad imperatorem seniorem scripserunt: quibus ille perlectis, aliud non respondit, quam, difficile esse vel nepotem vel Cantacuzenum ad causam dicendam Constantinopolin admittere. Ex quo responso iunior magnum dolorem accepit, cum se praeter omne ius fasque defensione excludi cerneret: fessusque conatibus ad persuadendum irritis, patriarchae scribit hoc exemplo: Non sunt inaudita vobis, domine patriarcha et qui cum eo estis sacrosancti episcopi, quaecunque inter me avumque meum haud ita pridem, peccatis meis fortasse id exigentibus, contigerunt. Quae omnium rerum sapiens moderator Deus facile dissipavit concordiamque summam largitus est. Cum iam remotis e medio obstaculis impedimentisque omnibus, tranquillissima quiete frueremur, belli civilis obliti funditus, derepente vastus quidam fluctus et turbulenta tempestas exstitit, quae Romanum imperium velut navim cum ipsis vectoribus summersuram se minaretur. Ac nobis idem, quod aegrotis

A. C. 1327 αὖθις ἢ καὶ τρίτον ἐπίθηται εἰ τύχοι, ἀσθενεστέροις περιτυχοῦσα, κατεργάζεται ῥᾳδίως τοὺς ἀνθρώπους. καὶ ἡμῖν τὸ αὐτὸ συμβέβηκε νῦν. ὑπό τε γὰρ τῶν πρότερον ἐμφυλίων γεγενημένων πολέμων καὶ τῶν ἔξωθεν ἡμῖν ὑπὸ τῶν βαρβάρων ἐπενεχθέντων τῷ πλείονι κατειργασμένοι μέρει, οὐδὲ ἄν τι βλέψαι δυνησόμεθα πρὸς τὰ ἀναφυόμενα κακὰ, ἀλλὰ διαφθαρησόμεθα αὐτοὶ ὑφ᾽ ἑαυτῶν. ἅπερ ἅπαντα συνορῶν καὶ αὐτὸς, καὶ τὸν κίνδυνον οὐκ ἴδιον, (ἦν γὰρ ἂν ἀνεκτὸν,) ἀλλὰ κοινὸν τῶν Ῥωμαίων ἁπάντων ὄντα σαφῶς ὁρῶν, ἐν ἑξήκοντα ἡμέραις ἤδη μάλιστα περὶ Ῥήγιον κάθημαι, καθάπερ
D ἴστε καὶ αὐτοὶ, βασιλέως δεόμενος ὁσημέραι μετὰ τῆς προσηκούσης αἰδοῦς ἐμοὶ καὶ μετριότητος καὶ δουλείας, συγγνώμης τυχεῖν, καίτοι γε μηδὲν ἑαυτῷ συνειδὼς ὀργῆς ἄξιον πεπραγμένῳ. ὡς δὲ πολλὰ μοχθήσας, εὕρισκον οὐδεμίαν ὄνησιν ἀπὸ τῶν πόνων, ἐτραπόμην ἑτέραν, μετὰ κομιδῇ τινῶν
P. 139 εὐαριθμήτων ἐπὶ τοῦ βασιλέως ἐλθεῖν αἰτῶν, καὶ ὑπὲρ ὧν ἐγκαλοῦμαι εὐθύνας ταύτῃ παρασχεῖν· ἢ εἰ μηδὲ τοῦτο κατὰ γνώμην εἴη βασιλεῖ, τὸν μέγαν δομέστικον ἐλθόντα ὑπὲρ ἐμοῦ ἀπολογεῖσθαι. καὶ ἐπ᾽ οὐδεμιᾷ προκλήσει εἰσηκούσθην, ἀλλ᾽ οὕτως ἐρήμην παρὰ πάντα τοῦ δικαίου νόμον καταδικάζομαι. ἐγὼ δὲ, εἴγε βασιλεὺς αὐτὸς ῥητήν τινα δίκην ὁποίαν ἂν αὐτῷ ἐδόκει ἐκέλευεν ὑπὲρ ὧν ἐγκαλοῦμαι δοῦναι, ἠγάπησα ἂν, καὶ σὺν προθυμίᾳ πολλῇ παρέσχον· νυνὶ δὲ ὁρῶν τὴν εἰς ἐμὲ ὀργὴν κατὰ πάντων Ῥωμαίων ἐξάγουσαν τὴν βλάβην, οὐκ

usuvenit. Illi namque in primo morbi accessu quantumvis rapido, potenter resistunt: sin recreatos iterum forte ac tertium occuparit, viribus iam debilitatos inveniens, cito interficit. Sic nos superioribus bellis civilibus et externis, quae barbari intulerunt, propemodum confecti, adversus surgentia mala ne oculos quidem tollere poterimus, sed mutuis caedibus peribimus. Quae omnia cum et ipse animadvertam et periculum non privatum, (esset enim id ferendum,) verum publicum considerem, iam sexagesimum omnino diem, ut nostis, prope Rhegium sedeo, quotidianis precibus, qua par est reverentia, modestia et subiectione veniam ab imperatore flagitans; tametsi nihil mali facinoris in me reperio, quod eius ira dignum sit. Postquam vero multum laborem frustra consumpsi, alia expertus sum via, rogans, ut mihi cum paucissimis in eius conspectum venire ibidemque criminibus respondere liceret: aut si id non placeret, magnus domesticus meo nomine idem facturus veniret. Reiecta utraque conditio, atque ita contra omnium legum iura, indicta causa, damnationem subeo. Atqui si avus poenas certas pro arbitratu suo pendere me iussisset, pro iis, quae mihi obiectantur, non aequo tantum, sed etiam promptissimo animo pependissem. Nunc cum eius in me furorem Romanis universis pestiferum fore praevi-

ἀνεκτῶς ἀλγῶ. διὰ τοῦτο καὶ δεόμενος τῆς ὑμῶν ἁγιότητος A.C. 1327 γράφω, εἴγε τοῦ θεοῦ ἐστε ὑμεῖς, σπουδάσαι ὑπὲρ τῆς εἰρήνης B καὶ μὴ περιϊδεῖν ἡμᾶς τοῖς ὁμοφύλοις αἵμασι καταχρανθέντας, ἀλλ' ἢ πεῖσαι βασιλέα πρὸς ὑμᾶς ἐμὲ γενόμενον ὑπὲρ ὧν ἐγκαλοῦμαι λόγον ὑποσχεῖν, ἢ ἐνταῦθα γενομένων ὑμῶν, ὑπὲρ τῶν ἴσων τὴν ἀπολογίαν θέσθαι." Τοσαῦτα μὲν βασιλεὺς ὁ νέος πατριάρχου καὶ τῶν ἄλλων δεόμενος ἀρχιερέων ἔγραψεν ὑπὲρ τῆς εἰρήνης, ἃ καὶ φέρων ὁ διακομιστὴς ἐνεχείρισε τῷ πατριάρχῃ. καὶ τῶν ἀρχιερέων συνεδριαζόντων, ἀναγνωσθέντων δὲ τῶν γραμμάτων, ὡς ἐδόκει ἡ ἀξίωσις δικαία τοῦ νέου βασιλέως, πάντες εὐθὺς πρὸς βασιλέα τὸν πρεσβύτερον C ἐλθόντες, τά τε γράμματα ἐδείκνυσαν τοῦ ἐγγόνου καὶ συνηγόρουν αὐτῷ ὡς δίκαια ἀξιοῦντι. καὶ αὐτὸ γὰρ ἔφασαν τὸ περὶ πλείστου ποιεῖσθαι ἢ αὐτὸν ἐνταῦθα ἐλθόντα ὑπὲρ ὧν ἐγκαλεῖται παρέχειν ἐθέλειν εὐθύνας, ἢ τοῦ πατριάρχου ἐκεῖ γενομένου τὸ αὐτὸ ποιεῖν, τεκμήριον ἂν εἴη μέγιστον ἢ τοῦ μηδὲν ἡμαρτηκέναι, ἢ εἰ καὶ ἥμαρτε, τοῦ βούλεσθαι ἂν διορθωθῆναι. τούτου δὲ οὕτως ἐξ αὐτῶν πραγμάτων ἀποδεικνυμένου, δίκαιον ἂν εἴη καὶ ἅμα λυσιτελὲς καὶ ἀναγκαῖον, ἐκ δύο τῶν ζητουμένων γενέσθαι θάτερον. ὁρῶν οὖν καὶ ὁ βασιλεὺς τό,τε ἀναντίῤῥητον τῆς ἀξιώσεως καὶ τὴν τοῦ πατριάρχου καὶ τῶν ἀρχιερέων πρὸς τοῦτο σπουδὴν, τὸ μὲν τὸν D νέον βασιλέα πρὸς ἐκεῖνον ἥκειν ἀπηγόρευεν, ὥσπερ καὶ τὸ τὸν πατριάρχην ἐκεῖ γενέσθαι, οὐδὲν εἶναι προὔργου φάμενος ἑκάτερον· ἐπένευσε δὲ τῶν τε ἀρχιερέων καὶ τῶν τῆς συγκλή-

4. ὑπὲρ corr. pro ὑπὸ.

deam, angor vehementissime. Quocirca ad sanctitatem vestram scribo rogoque, si ex Deo estis, ut paci redintegrandae navetis operam. Ne permittite nos cognatorum sanguine maculari; sed imperatorem eo permovete, ut aut me illuc ad vos proficisci et pro me causam orare, aut, vobis huc profectis, id ipsum hic facere concedatur. Sic patriarcham et pontifices per epistolam de pace obtestatus est iunior imperator. Qua a tabellario patriarchae in manus reddita et in consessu episcoporum recitata, ut visa est aequa petitio, omnes protinus ad seniorem adeunt, eam monstrant et ut iusta cupienti suffragantur. Nam hoc ipsum aiebant firmissimum argumentum, aut nihil eum deliquisse, aut, si quid deliquerit, id velle corrigere, quod in beneficio numeraret, si aut hic aut ibi, patriarcha praesente, posset intentata sibi scelera depellere. Quoniam igitur res ipsa clamaret, iustum pariter et utile ac necessarium sibi videri, ex duobus, quae desiderarentur, alterum concedi. Imperator postulati necessitatem et patriarchae episcoporumque in eo urgendo studium perspiciens, nepotem quidem ad se venire aut patriarcham ad illum abire vetuit: neutrum enim esse operae pretium, sed ut ex episcopis et

A. C. 1327 του τινὰς, οὐ μὴν ἀλλὰ καὶ τῶν τῆς ἐκκλησίας ἀρχόντων καὶ
V. 112 τῶν ἀρχιμανδριτῶν, πρὸς τὸν ἔγγονον παραγενομένους, τά τε
ἐγκλήματα κομίζειν καὶ ἀπολογίαν ζητεῖν ὑπὲρ αὐτῶν. πέμ-
πονται τοίνυν ἀπὸ μὲν τῶν ἀρχιερέων ἓξ, καὶ τοσοῦτοι συγ-
κλητικοί, ἔκ τε τῶν τῆς ἐκκλησίας ἀρχόντων καὶ τῶν ἀρχι-
μανδριτῶν λεγομένων ἀνδρῶν εὐλαβῶν ἴσοι τὸν ἀριθμὸν ἓξ
ἑκατέρων. σὺν τούτοις καὶ οἱ παρὰ βασιλέως πρότερον ἀπο-
σταλέντες, ὅ,τε τῶν Μογλαίνων ἐπίσκοπος Νίφων καὶ Κλει-
δᾶς ὁ δικαιοφύλαξ, οἷς δὴ καὶ τὰ κατὰ τοῦ νέου βασιλέως ἐγ-
P. 140 κλήματα ὁ πρεσβύτερος ἐνεχείρισε βασιλεύς. ἐπὶ τούτοις πᾶσι
καὶ ὁ ἀρχιεπίσκοπος Βουλγαρίας Γρηγόριος, ἀνὴρ σοφός τε
εἰς λόγους καὶ θαυμάσιος ἐν συνέσει καὶ τῆς ὄντως σοφίας
ἄκρως ἐπειλημμένος, καὶ σὺν αὐτῷ Θεόδωρος ὁ Ξανθόπουλος,
καὶ αὐτὸς ἀρετῇ τε καὶ συνέσει καὶ παιδείᾳ κεκοσμημένος.
οὗτοι μὲν οὖν εἰς Ῥήγιον πάντες ἦλθον τὰς τοῖν βασιλέοιν
ἐξετάσοντες διαφοράς. ἰδὼν δὲ αὐτοὺς βασιλεὺς ὁ νέος, εὐ-
θὺς μὲν ἡδονῆς ἀνάπλεως καὶ θυμηδίας ἦν, ἅτε δὴ μέλλων
ὑπὲρ ὧν κατηγορεῖτο διδόναι λόγον· προσαγορεύσας δὲ αὐτούς,
B ἐκέλευεν ἀναπαύλης ἀπολαύειν, ὡς ἐς τὴν ὑστεραίαν ἅμα
πρωῒ τοῦ συλλόγου γενησομένου. οἱ μὲν οὖν οὕτως ἐποίουν·
βασιλεὺς δὲ ἅμα ἕῳ τῶν τε ἰδίων τοὺς ἐπιφανεστέρους καὶ
τοὺς ἐκ βασιλέως ἀφιγμένους εἰς τὸν σύλλογον ἐκάλει. ὡς δὲ
πάντες παρῆσαν, σιωπὴ μὲν τὸ θέατρον κατέσχεν ἐπὶ μικρόν,
καὶ πάντες ὡς ἐπὶ καινοῖς τισι παρεῖχον μετεώρους τὰς ἀκο-
άς. ἤρξατο δ᾽ ἀρχιεπίσκοπος οὕτως εἰπών· „κράτιστε βασιλεῦ,

proceribus, item ex ecclesiae principibus et archimandritis religiosis, ut ferebatur, hominibus irent aliquot, qui accusationem illi proponerent ab eoque responsionem requirerent, id annuit. Mittuntur itaque seni de singulis, quos nominavi, ordinibus, omnes simul quatuor et viginti. Adduntur quos imperator ante legaverat, Niphon Moglaenorum antistes, et Clidas dicaeophylax, quibus accusationis capita traduntur. Post hos omnes Gregorius Bulgariae archiepiscopus, vir et disciplinis eruditus et admirabili prudentia praeditus et in sapientia divina plane perfectus; cumque eo Theodorus Xanthopulus, ipse quoque virtute, intelligentia et doctrina ornatissimus. Hi omnes Rhegium controversias imperatorum disceptaturi venerunt: quorum e conspectu magnam laetitiae voluptatem persensit, quod esset tandem ad obiecta responsurus. Salutatos igitur quietem capere iussit, et in diem posterum usque a matutino conventum indixit. Illi ita fecerunt. Initio lucis nobiliores de suis et eos, qui avi missu advenerant, in coetum cogit. Ubi omnes affuerunt, conticuerunt paulisper et singuli, ut novi quippiam audituri, aures arrexerunt. Archiepiscopus his vocibus usus est: Propter natum inter te avumque dis-

τῶν μεταξὺ τῶν βασιλέων ὑμῶν κεκινημένων νῦν ἕνεκα δια- A.C. 1327
φορῶν αὐτὸς μὲν ᾔτησας, εἰς Βυζάντιον ἐλθὼν ἐπὶ τοῦ βασι-
λέως τὰς εὐθύνας παρέχειν, ἢ εἰ μὴ τοῦτο, τοῦ πατριάρχου C
ἐνταυθοῖ γενομένου, δίκῃ διαλύεσθαι τὰ ἐγκλήματα. τούτων
μὲν οὖν ἑκάτερον οὐ ῥᾴδιον ἦν ἢ αὐτὸς ἠξίωκας γενέσθαι·
προστάξαντος δὲ βασιλέως καὶ πατριάρχου, ἥκομεν ἡμεῖς ὑπὲρ
ὧν ἐγκαλῇ τὰς ἀπολογίας ἀκουσόμενοι. σύ τε δίκαιος ἂν εἴης,
εἴ τι περὶ αὐτῶν ἔχεις λέγειν, διεξιέναι." εἶπεν οὖν ὁ βασιλεύς·

μζ. „Καὶ βουλομένῳ μοι πάνυ ἡ πρὸς ἐμὲ ἄφιξις γε- D
γένηται ὑμῶν, καὶ εὐχῆς ἔργον ἡγοῦμαι τὸ καὶ ὁπωσοῦν ὑπὲρ
ὧν κατηγοροῦμαι καιρόν τινα εὑρήσειν ἀπολογίας. οὐ δίκαιον
δὲ ἡγοῦμαι, οὔτε μήν τινα λόγον σῶζον, ἐμὲ μὲν πολλάκις
τῆς εἰς τὸν βασιλέα αἰδοῦς καὶ εὐπειθείας αὐτοῖς ἔργοις ἐν-
αργεῖς παρέχεσθαι τὰς ἀποδείξεις, τῆς ἴσης δὲ εὐνοίας οὐδὲ
λόγοις γοῦν ψιλοῖς ἀξιοῦσθαι παρ' αὐτοῦ. καίτοι γε ἐχρῆν V. 113
πρὸς τὰς πράξεις τὰς ἐμὰς τοὺς τῶν συκοφαντῶν παραβάλ-
λοντα λόγους, ἢ κολάζειν αὐτοὺς ἀξίως τῆς κακουργίας ἑαυτῶν,
ὡς ἂν αὐτοί τε παύοιντο συκοφαντοῦντες καὶ τοῖς ἄλλοις εἶ-
εν παράδειγμα σωφροσύνης, ἤ, τό γε δεύτερον, αὐτοῖς μὲν σφο-
δρῶς ἐπιπλήττειν καὶ ἐπιτιμᾷν τοῦ τοιαῦτα ἕνεκα τολμᾷν· βε- P. 141
βαίαν δὲ καὶ ἡδρασμένην τὴν εἰς ἐμὲ εὔνοιαν τηρεῖν, ὅπερ ἔφην,
ἐκ τῶν ἔργων σαφεῖς ἔχοντα τὰς ἀποδείξεις, ὡς εὐνούστατος
ἐγὼ περὶ αὐτὸν καὶ τὴν παιδὶ πρέπουσαν ἀγαθῷ πρὸς πατέ-
ρα αἰδῶ τε καὶ εὐπείθειαν καὶ δουλείαν ἀποσώζων. ἐπεὶ δὲ

sidium, imperator optime, rogasti, ut tibi Byzantium pateret ingressus, quo illic apud eum causam tuam ageres; aut saltem, ut patriarcha ad te mitteretur, quo iudice id ipsum praestares. Neutrum erat concessu facile. Auctoritate tamen imperatoris et patriarchae nos advenimus, defensionem tuam audituri. Te aequum est afferre, si quid habes dicere ad ea, quae tibi obiectantur. Tum imperator:

47. Et summa voluntate mea advenistis, et perquam optabile est, ut ego sentio, quomodocunque tandem mei adversus criminationes defendendi tempus adipisci. At iniustum et a ratione abhorrens duco, cum factis ipsis multa frequenter et minime dubia observationis et obedientiae erga avum documenta dederim, me pari benevolentia nec verbis quidem tenus ab ipso dignatum. Oportebat autem facta mea cum obtrectatorum sermonibus comparantem, aut eorum improbitatem condignis vindicare suppliciis, ut ne quid et ipsi tale posthac, et alii ex eorum eventu modestiam discerent, aut certe, quod alterum est, iisdem de audacia severe obiurgatis ac reprehensis, firmam constantemque erga me benevolentiam conservare; ut qui evidentibus exemplis docere possim, me in ipsum effusum esse suavissime, et quemadmodum bono filio pulcrum est, erga patrem reverentiam, obedientiam subiectionemque retinere. Sed

A.C. 1327 τοῦτο μὲν τὴν ἐναντίαν ἢ προσῆκεν εἴληχε τάξιν, καὶ τὰ μὲν ἡμέτερα ἔργα τῆς βασιλέως ἐξεῤῥύηκε μνήμης παντελῶς· οἷς δὲ ἔργον ἐπιμελὲς, ἡμᾶς ἀλλήλοις διαβάλλοντας, τῇ κοινῇ λυ-
B μαίνεσθαι Ῥωμαίων εὐδαιμονίᾳ, τοῖς λόγοις κατάκρας ἑάλω, τί λοιπὸν ἢ σφόδρα μὲν ἀλγῆσαι ἐφ' οἷς παρ' ἀξίαν ἀτυχῶ, συγγνώμην δὲ πρὸς πατρὸς καὶ τῶν διαβολῶν ἕνεκα αἰτεῖν, ἢ, τό γε δεύτερον, βάσανον καὶ δίκην ἐφ' οἷς ἀδίκως ἐγκαλοῦμαι; ὃ δὴ καὶ διετέλεσα ποιῶν, εἰς ἑξηκοστὴν τήνδε ἡμέραν ἢ καὶ μᾶλλον ὑπαίθριος ταλαιπωρῶν μετὰ τουτωνὶ πάντων ὧν ἄγω, ἐν ὥρᾳ μάλιστα χειμῶνος, καθάπερ δὴ ἴστε καὶ αὐτοί. ἦν μὲν οὖν κράτιστον, ἐπὶ βασιλέως αὐτοῦ, παρόντος καὶ πατριάρχου καὶ τοῦ κοινοῦ τῶν Ῥωμαίων παντὸς, ποιεῖσθαι
C τὰς ἀπολογίας, ἵν' ἢ διαφυγὼν τὰς αἰτίας, πᾶσι καταστήσω ἐμφανὲς, ὡς βιαιότατα καὶ ἄδικα ὑπὸ τῶν συκοφαντούντων ὑπομένω, ἢ ἁλοὺς ταῖς ἁπάντων ψήφοις ἀδικῶν, μηκέτι δύνωμαι πρὸς ἀναβολὰς χωρεῖν μηδ' ἔφεσιν ζητεῖν, ὡς ἢ πρὸς χάριν ἢ πρὸς φιλονεικίαν ὑπὸ τῶν δικασάντων καταψηφισθεὶς, ἀλλὰ τὴν ἀξίαν δίκην δῶ. ἐπειδὴ δὲ οὕτω δεῖν εἶναι κέκρικεν ὁ βασιλεὺς, χάριτας μὲν πολλὰς ὁμολογῶ τῷ πάντων βασιλεύοντι θεῷ, ὅτι καιρὸν παρέσχεν ἀπολογίας, οὐχ ἧττον δὲ βασιλεῖ τε καὶ πατριάρχῃ, τῷ μὲν πείσαντι τὴν ἐξέτασιν, τῷ δὲ πεισθέντι· καὶ ὑμῖν τοῖς ἀφιγμένοις ἕνεκα τῶν πό-
D νων. δέομαι δὲ ὑμῶν, μὴ ὡς βασιλεῖ μοι προσέχειν ἐπὶ τῆς

quia haec secus, quam dignum fuit, evenerunt, quaeque fecimus ex animo avi penitus effluxerunt; quorum autem industria in eo consumitur, ut alterum nostrum apud alterum in invidiam vocando communi Romanorum felicitati perniciem struant, eorum mendaciis prorsus irretitus est; quid relinquebatur, nisi ut vel angori me dederem, in miseriam immerito meo praecipitatus, veniamque a patre, quamquam meris calumniis oppugnatus, peterem? aut certe propter ea, quae mihi falso affinguntur, examen ac iudicium? Quod etiam feci, iam plus sexagesimum diem sub dio cum his omnibus, quos duco, hibernis mensibus incommoda perferens, quod nec vos nescitis. Fuisset optimum, imperatore, patriarcha totoque Romano populo praesentibus, defensionem peragere, ut vel absolutus declararem omnibus, me ab istis sycophantis indignissime violari; vel sceleris omnium calculis condemnatus, non ultra ampliationem quaererem neque provocarem, quasi a iudicibus aut ad gratiam aut ex aemulatione damnatus, sed quas commeruissem poenas sustinerem. Sed quia sic placitum imperatori, magnas universorum imperatori Deo, qui defensioni meae hanc opportunitatem obtulit, nec minus ipsi avo et patriarchae gratias ago: huic, quod auctor fuit, ut res in inquisitionem poneretur; illi, quod sibi id passus est persuaderi: vobis item, qui huc iter suscepistis, de labore vestro. Velim autem rogatos, ne in hoc iudicio mihi

δίκης ταυτησὶ, μηδέ τι ὧν ἂν καταγνώσησθε διὰ τὸ ἀξίωμα A. C. 1327
συγχωρεῖν, ἀλλ' ἀπαραιτήτως ἐφ' οἷς ἂν οἴησθε καταψηφί-
ζεσθαι ἀδικεῖν. ἂν μέντοι μεταξὺ ἀπολογούμενος ἀνάγκῃ γε
(οὐ γὰρ ἑκοντὶ πρὸς τοιούτους ἄν ποτε ἦλθον λόγους) τὸν
βασιλέα καὶ πάππον τὸν ἐμὸν ἀποφαίνω ἀδικοῦντα καὶ ἐπι-
ορκοῦντα, μήτ' ἐμοὶ λογίζεσθαι ἀλλ' αὐτῇ τῇ τοῦ πράγματος
δέομαι φύσει τοὺς λόγους μήτ' αὐτοὺς ψῆφον ἐξάγειν, ἀλλ'
ἐμοὶ μὲν κριτὰς καθῆσθαι, ἐκείνῳ δὲ ἀκροατὰς καὶ μόνον.
ἐπεὶ δέ με ἐκελεύσατε ἀπολογεῖσθαι, ἀναγκαῖον τοὺς κατηγο-
ροῦντας πρῶτον τὰ ἐγκλήματα εἰς μέσον ἄγειν, ὡς ἂν ἐφε- P. 142
ξῆς αὐτὸς ποιῶμαι τὰς ἀπολογίας." Βασιλεὺς μὲν οὖν τοι-
αῦτα εἶπεν· οἱ δικασταὶ δὲ ἐπαινέσαντες τοὺς λόγους, τὰ ἐγ-
κλήματα ἐκέλευον τοὺς ἐπιτετραμμένους εἰς μέσον ἄγειν. καὶ
παρελθόντες εἰς μέσους ὅ, τε δικαιοφύλαξ καὶ ὁ τῶν Μο-
γλαίνων ἐπίσκοπος, διεξῄεσαν πάντα καθ' ἕν. ἀπολογουμένου
δὲ βασιλέως, βέβαιον μὲν οὐδὲν ἐδόκουν ἔχειν, οὐδ' ἀπόδει- V. 114
ξιν ἐναργῆ οὔτ' ἐξ αὐτῶν τῶν πραγμάτων, οὔτε μὴν ἐκ μαρ-
τυρίας τινός· ἐδόκουν δὲ ἐξ ὑποψίας μᾶλλον ἢ ἀληθείας συνει- B
λέχθαι. τελευταῖον δὲ τόδε εἶπον· „ἐν τοῖς ὅρκοις τοῖς ἐπὶ τῇ
εἰρήνῃ γεγραμμένοις γέγραπται καὶ τοῦτο, τὸ τὸν μὲν βασιλέα
τὸν πάππον τὸν σὸν τὴν διοίκησιν πᾶσαν ἔχειν καὶ ἡγεμονίαν
τῆς ἀρχῆς, σὲ δὲ ὑπ' αὐτὸν τελεῖν καὶ τὰ προσταττόμενα ἐκ-
πληροῦν· τὸν δὲ παρὰ ταῦτα ποιοῦντα, ἐπίορκον καὶ ἄδικον
εἶναι. σὺ δὲ, μήτ' ἐπιτρέψαντος μήτε μὴν εἰδότος βασιλέως,

tamquam imperatori assentiamini, neve aliquid eorum, quae damnanda senseritis, propter dignitatis amplitudinem condonetis, sed ad ignoscendum inexorabiles sitis. Si tamen interim dum me defendo, avum meum iniquum et periurum ostendero, quod nonnisi necessario faciam, (nunquam enim volens aliquid tale dicerem,) ne eam orationem mihi, sed conditioni huius negotii adtribuendam putetis, neve ex illa decernatis, verum mihi iudices, illi tantummodo auditores sedeatis. Et quia me respondere iussistis, res postulat, ut accusatores crimina prius in medium adducant, quo ad singula ordine respondeam. Hactenus imperator. Iudices dicta probaverunt, mandaveruntque Niphoni et Clidae, accusationis capita sibi a seniore tradita depromerent. Illi prodeuntes in medium sigillatim omnia percensuerunt. Ad quae cum respondisset imperator, infirma, incerta, non ex rebus ipsis deducta, nullo teste nitentia, sed ex inani potius suspicione, quam ex vero collecta, apparuerunt omnia. Ad extremum hoc allatum est, in iureiurando, quo pax sancita sit, hoc etiam scriptum fuisse, penes avum imperatorem esse debere totum imperium et rectionem eius, ipsum ei subiici, et eius iussa facessere oportere: qui contra fecerit, periurum ac iniustum fore. Tu autem, inquiunt, neque id tibi committente neque sciente

A.C. 1327 ἀπὸ τῶν τοὺς δημοσίους πραττόντων φόρους ἀφεῖλον βίᾳ χιλιάδας τέτταρας χρυσίου." „ὅτι μὲν τὰ χρήματα ἀφειλό- C μην, οὐδ' αὐτὸς ἂν ἀρνηθείην" εἶπεν ὁ βασιλεὺς, οὐκ ἐπιωρκηκέναι δὲ, οὐδ' ἀναίσχυντος καὶ καταφρονητὴς διὰ τοῦτο δίκαιος κρίνεσθαι βασιλέως. „αἰνίγματι λέγεις ὅμοιον" οἱ δικάζοντες εἶπον „εἰ μηδὲν πράττειν ἐπὶ τῶν ὅρκων παρὰ γνώμην βασιλέως γεγραμμένου, αὐτὸς τὰ χρήματα βασιλέως ἄκοντος λαβὼν, μηδὲ τοὺς ὅρκους παραβεβηκέναι φαίης. ἢ γὰρ οὐ γέγραπται, τὴν διοίκησιν πᾶσαν τῶν πραγμάτων βασιλέα ἔχειν, σέ τε μηδὲν παρὰ γνώμην ποιεῖν ἐκείνου, ἢ, τούτου δοθέντος, οὐκ ἂν διαφύγοις τὸ ἐπιορκεῖν, ἄκοντος βασιλέως τὰ χρήματα εἰληφέναι ὁμολογῶν." Ξανθόπουλος δὲ τῶν ἐκ Βυζαντίου ἀφιγμένων εἷς „οὐ δίκαιον" εἶπε „καταψηφίζεσθαι, πρὶν ἂν ὁ βασιλεὺς περὶ τῶν κατηγορουμένων λόγον δῷ· τότε γὰρ, εἰ D δικαιοῦν ἢ καταψηφίζεσθαι ἐκ τῶν λεγομένων δέοι, γνοίημεν ἄν. συνθεμένων δὲ καὶ τῶν ἄλλων, ὁ βασιλεὺς ἀπελογεῖτο τοιαῦτα·

μή. „Καὶ δίκαιον εἶναι νομίζω καὶ κατὰ γνώμην ἦν ἂν ἐμοὶ, εἰ τὰ πραττόμενα βασιλεὺς μετὰ τῆς προσηκούσης ἐξήταζεν ἀκριβείας· ἢ γὰρ ἂν οὐκ ἂν ἐμὲ νῦν ἀναιδείας καὶ P. 143 ἀφοβίας καὶ, τὸ μέγιστον, ἐδίωκεν ἐπιορκίας. τὸ μὲν γὰρ μὴ προκατειλῆφθαι τὸν δικαστὴν τὴν γνώμην, ἐξάγειν μάλιστα ὀρθὰς ποιεῖ τὰς κρίσεις· ὃ δὲ μὴ τοῦτον τὸν τρόπον, σφάλλεσθαι ὡς τὰ πολλὰ ἀνάγκη. ἐὰν γὰρ τάς τε κατὰ τοὺς προτέ-

15. *γνοίη μὲν ἂν* legebatur.

avo, a quaestoribus per vim abstulisti quatuor aureorum millia. Ad hoc ille: Abstulisse me pecuniam confitebor; at idcirco me vere affinem esse periurii aut impudentiae, aut avum despexisse, id pernego. Rursum iudices: Quasi aenigmata loqueris, si, cum scriptum sit, ne tu quid praeter voluntatem avi perpetres, ipse eo invito pecuniam avertas, et nihilo minus te iusiurandum haud transgressum praedices. Aut enim scriptum non est, ut avus plenam rerum omnium administrationem habeat, et tu nihil eo nolente audeas: aut, hoc dato, nondum periurii crimen effugisti, cum avo ignorante pecuniam te intervertisse confiteare. Hic Xanthopulus, qui cum ceteris Byzantio venerat, sibi haud aequum videri reum damnare, antequam ad accusationem respondisset: tunc enim cognosci posse, albo an atro lapillo dignus esset. Reliquis assentientibus, imperator nepos apologiae suae hoc habuit exordium:

48. Si imperator avus, quod iustitia requirit et ego maxime vellem, convenienti accuratione acta examinaret, non me nunc impudentiae et audaciae, quodque minime tolerandum, periurii reum faceret. Nam iudex tum demum vere et incorrupte iudicat, cum eius mentem non obsidet anticipata opinio: alioqui plurimum falli necesse est. Itaque si causas foederis prioribus bellis componendi

ρους πολέμους αἰτίας γεγενημένας, δι' ἃς αἵ τε ξυνθῆκαι προὐ- A.C. 1327 χώρησαν καὶ οἱ ὅρκοι, ὅθεν τε κἀκ τίνος συνεώρα, καὶ τὴν ἐμὴν πρὸς τὴν τοῦ πολέμου κατάλυσιν ἐπιμέλειαν καὶ σπουδὴν καὶ προθυμίαν, ἔτι τε ἣν ἐνεδειξάμην ἐν τῷ παρασχόντι παντὶ κηδεμονίαν καὶ εὐπείθειαν καὶ στοργὴν πρὸς αὐτὸν, οὐκ B ἂν νῦν τοιαῦτα ἔφευγον ἐγὼ, ἀλλὰ τῶν τε παρόντων ἂν αὐτὸς ἐγὼ καὶ τῶν προσδοκωμένων οἱ Ῥωμαῖοι κακῶν ἦμεν ἀπηλλαγμένοι, βασιλεύς τε αὐτὸς θορύβου τε παντὸς ἔξω καὶ τῆς ἀπὸ τοῦ ἑκοντὶ Ῥωμαίοις ἐπὶ φθορᾷ δοκεῖν τὸν πόλεμον ἐπάγειν δυσκλείας γινομένης. νυνὶ δὲ, ὡς ἔοικεν, ἐκείνων ἁπάντων ἐπιλελησμένος, ἃ ὑμεῖς πάντες ἀκηκόατε κατηγόρηκέ μου V. 115 πολλὰ καὶ δεινά. ἐγὼ δὲ, καίτοι δεινῶν ὄντων τῶν ἄλλων ἁπάντων, ἠνεσχόμην ἂν σιγῇ αἰδοῖ τε τῇ πρὸς βασιλέα καὶ τῷ, μὴ τῆς ἀπολογίας ἕνεκα τῶν μέμψιν τινὰ αὐτῷ οἰσόντων εἰπεῖν εἰς ἀνάγκην τι ἐλθεῖν· τὸ δὲ ἐπιορκίαν ἐμαυτῷ προστρίψασθαι, C ἐνὸν ἀσφαλῶς καὶ μετὰ πολλοῦ τοῦ περιόντος τὴν δίκην διαφυγεῖν, οὔθ' ὅσιον ἥγημαι οὔτ' ἀνεκτόν. διὸ καὶ πειράσομαι ἐμαυτὸν ὡς οἷόν τε τάς τε σπονδὰς καὶ τοὺς ὅρκους ἀκεραίους ἄχρι νῦν μάλιστα διατετηρηκότα ἀποδεῖξαι· ἂν δ' ἐκεῖνον διὰ τούτων ἀποφαίνω καὶ τοὺς ὅρκους λελυκότα καὶ τὰς σπονδὰς, μηδεμίαν ἐμοῦ καταγινώσκειν ἰταμότητα μήτε προπέτειαν ἀξιῶ, ἀλλὰ τῇ τοῦ πράγματος λογίζεσθαι ἀνάγκῃ τὴν κατηγορίαν. πρῶτον μὲν οὖν ἐκεῖνο ἂν εἴποιμι, ὡς τοὺς ἐπὶ ταῖς συνθήκαις ὅρκους οὐκ αὐτὸς ὀμώμοκα μόνος, ἀλλὰ καὶ βασιλεὺς, καὶ τὴν αὐτὴν ἀνάγκην ἑκατέροις ἀπαραβά-

13. τῷ corr. pro τοῦ.

iureiurandoque stabiliendi considerasset, unde et a quo ortae sint, et meam in bello tollendo sedulitatem, contentionem, alacritatemque perpendisset; praeterea quam antehac semper ostendi erga eum sollicitudinem, obsequelam et amorem respexisset, non ego talium criminum modo accusarer, essemque ipse praesentibus, Romani futuris aerumnis liberi, imperator extra omnem tumultum viveret, nec infamia conflagraret, cum bellum ad perniciem Romanorum sciens volensque introducere videatur. Nunc horum oblitus omnium, complurium nec levium me arcessit, ut ipsimet audistis. Ego vero quamvis gravia sint omnia, tamen continerem me, tum ob reverentiam erga regem, tum ne in defensione mea edere cogerer aliquid, quod ei vituperationem afferret. At periurii notam mihimet inurere tacendo, cum abunde possim absolvi, nec fas, nec tolerabile duco. Quod si dum me insontem doceo, ipsum contra egisse probavero, ne id temeritati, neve linguae incontinentiae, sed rei ipsius necessitati ut adscribatis, a vobis peto. Hoc itaque primum dico, non me solum, sed illum quoque in foedus iuravisse, eandemque ambobus eius sancte servandi necessitatem impositam: et alterum, si in foedifra-

A. C. 1327 τους τηρεῖν εἶναι· ἂν δὲ ἐξ ἑνὸς παραβαθῶσι, μηκέτι τὸν ἕτε- D ρον, ἂν ἀμύνηται, ἐνέχεσθαι ταῖς αἰτίαις. ὃ δὴ καὶ βασιλεὺς αὐτὸς ἐδίκασε καλῶς φθάσας. λελυκότος γὰρ ἐμοῦ τοὺς ὅρκους καὶ τὰς σπονδὰς, οὐδεμιᾷ φησιν αὐτὸς ἐνέχεσθαι αἰτίᾳ, ἄν τι βλάπτῃ ἀμυνόμενος. καὶ ὑμεῖς δὲ, ὑπολαμβάνω, τὸ αὐτὸ συμφαίητε ὀρθῶς ἂν ἔγωγε εἴποιμι καὶ δικαίως. πάνυ δὲ ἡδέως ἐδεξάμην, ὅτι καὶ Κωκαλᾶς ὁ μέγας λογαριαστὴς συμπάρεστιν ὑμῖν. συμβαλεῖται γὰρ ἐμοὶ πρὸς τὴν ἀπολογίαν οὐ μικρά τινα ἐπὶ μαρτυρίαν, ἀχθησόμενος ὧν μέλλω λέγειν· καίτοι γε αὐτὸς κηδεστὴς ὢν πρωτοβεστιαρίου τοῦ θείου τοῦ ἐμοῦ, ὅ,τι τε κατηγοροῦμαι καὶ ὁποίας ποιήσομαι τὰς ἀπολογίας παρεγένετο ἀκοῦσαι, ὡς ἂν εἰδέναι ἔχῃ πρὸς τὸν κηδεστὴν γράφων ἀπαγγέλλειν τἀληθές. ἐγὼ δὲ τὸ καὶ αὐτὸν P. 144 παρεῖναι μάλιστα ἀπεδεξάμην. σκέψασθε τοίνυν ὁπότερος πρότερος παραβέβηκε τοὺς ὅρκους. παρέξομαι δὲ οὐ λόγους εὐπρεπεῖς πρὸς τὴν ἀπολογίαν, οὐδὲ μάρτυρας ἀνθρώπους διεφθαρμένους, οἷς ἄν τινι καὶ ἀπιστεῖν καὶ παραγράφεσθαι ἐξεῖναι, ἀλλ' αὐτὰ τὰ βασιλέως γράμματα μαρτυρήσειεν ἐκ πολλοῦ καὶ μετ' ἐπιμελείας καὶ φροντίδος τὸν πρὸς ἐμὲ πόλεμον κεκινηκώς. καὶ πρῶτον ἀναγνωσθήτω ἡμῖν τὸ τοῦ βασιλέως πρόσταγμα, ὃ πρωτοβεστιαρίῳ ἀπέστειλε τῷ ἐμῷ θείῳ, Ἰουλίῳ μηνὶ τῆς δεκάτης ἰνδικτιῶνος, ἔχον ἐπὶ λέξεως οὑτωσί· B „περιπόθητε ἀνεψιὲ τῆς βασιλείας μου πρωτοβεστιάρις κύρις Ἀνδρόνικε Παλαιολόγε. ἡ ἀναφορὰ, ἣν ἀνέφερες τῇ βασιλείᾳ

8. ὑμῖν corr. ex Intpr. pro ἡμῖν. 9. Lege *μικράν τινα ἐπιμαρτ.*
20. *κεκινηκότα* coni. ED. P. ὑμῖν ms. Intpr. *recita patribus.*

gum vindicarit, nullo scelere astringi: id quod etiam ipsemet imperator pro bono approbavit. Etenim si ego foedus violassem, et is de me perfidiae poenas sumeret, nulli ob id culpae obnoxius haberi voluit. Et idem mihi nunc contendenti recte ac merito vos quoque, ut arbitror, assentiemini. Periucundum porro mihi accidit, una vobiscum et Cocalam magnum logariasten venisse: qui tametsi protovestiarii proamitini mei socer sit, non parvam defensioni meae fidem conciliabit, cum moleste feret quae sum dicturus. Et quia accusationi responsionique meae interest, poterit genero quod res est integre perscribere. Quod utinam protovestiarius quoque ipse afforet. Dispicite igitur, uter nostrum prius religionem foederis exuerit. Utar autem non fucata oratione ad me tuendum, nec testes producam corruptos, quibus fidem negare et quos summovere fas sit, sed ipsas avi litteras, quae luculento erunt testimonio, illum iampridem bellum contra me studiose diligenterque meditatum esse. Primum recitetur a nobis ad verbum, quod mense Iulio, Indictione decima, mandatum ad protovestiarium misit: Desideratissime nostrae maiestati, mi nepos, domine Andronice Palaeologe protovestiarie; quam

μου, ἀπεσώθη καὶ ἐξ αὐτῆς ἐγνώρισα ὅσον ἔγραψες καὶ ἀνέ- A.C. 1327 φερες. ἀπεδεξάμην γοῦν πολλὰ τὴν σπουδὴν καὶ ἐπιμέλειαν καὶ τὸν εἰς τοῦτο ἀγῶνά σου· καὶ πάλιν εἰς τὸ ἔμπροσθεν ἐπιμελήθητι ἵνα τελεσθῇ. καλὰ γὰρ γινώσκεις, ὅτι οὐ δι' ἄλλο τι ἀπεστάλης εἰς τὸ αὐτόθι κεφαλατίκιον παρ' ὃ διὰ τὴν δουλείαν αὐτήν. ἐπεὶ γοῦν καὶ πρὸ τῆς σῆς ἀναφορᾶς ἀπέστειλε καὶ ὁ Κράλης ἀποκρισιάριον αὐτοῦ ἐνταῦθα, καὶ ἐδήλωσε πρὸς τὴν βασιλείαν μου, ὅπως ἤδη κατεστάθη μετὰ σοῦ, καὶ εὑρίσκεται ἕτοιμος, ἵνα κατὰ πᾶσαν τὴν αὐτοῦ δύναμιν βοη- C θήσῃ ἡμῖν, μὴ μόνον μετὰ τοῦ φοσσάτου αὐτοῦ, ἀλλὰ καὶ αὐτὸς παρών, πάλιν ἐπιστώθη τοῦτο ἡ βασιλεία μου ἔτι πλέον ἀπὸ τῆς σῆς ἀναφορᾶς. ποίει γοῦν τὴν δουλείαν σου μετὰ πολλῆς συντομίας, ὅτι καὶ ἡ βασιλεία μου ἐπιμελῶς πράττει, καὶ πρόσεξαι μή πως προλάβωμεν ἡμεῖς ὑμᾶς." τοῦτο μὲν δὴ τοιοῦτον. ἐγὼ δὲ καὶ δευτέραν παρέξομαι μαρτυρίαν, πρὸς τὸν αὐτὸν πρόσταγμα βασιλέως, Σεπτεμβρίῳ γραφὲν ἑνδεκάτης ἰνδικτιῶνος· „περιπόθητε ἀνεψιὲ τῆς βασιλείας μου πρωτοβεστιάριε κύριε Ἀνδρόνικε Παλαιολόγε· οἶδας ὅσον διωρίσατο πρός σε ἡ βασιλεία μου περὶ τῶν δουλειῶν ὧν ἀνετέθης, καὶ V. 116 ὅτι δέον σε σπουδάσαι, μή πως προλάβῃ ὑμᾶς ἡ βασιλεία D μου· καὶ ἰδού, ὡς βλέπω, οὕτω μέλλει γίνεσθαι. ἐγὼ γὰρ ἄλλο οὐδὲν ἐκδέχομαι ἢ ἀπὸ τῶν αὐτόθι μήνυμα. ποῦ γοῦν ἐστιν ἡ ἐπιμέλειά σου; ποῦ ἐστιν ἡ σὴ ὑπόσχεσις; ἀπὸ γὰρ τοῦ Ἰουλίου μηνὸς οὐδὲν ἐγνώρισά τι ἀκριβῶς ἀπὸ τῶν αὐ-

ad nos misisti relationem, tuto pervenit: ex qua quae voluisti, cognovimus omnia, tuumque in hoc studium, diligentiam contentionemque vehementer probavimus. Rursum cura sedulo, ut perficiatur. Probe enim intelligis, non alia de causa illuc ad gerendam praefecturam te missum esse, quam ut huic rei inservires. Quoniam igitur et ante relationem tuam Crales legatum suum huc misit, nostraeque maiestati significavit, quo sitis iam inter vos animo, et ad nos omni qua valet potentia adiuvandos paratus est, non fossato tantum, sed sua quoque praesentia, ex relatione tua denuo maior rei fides nobis facta est. Praesta igitur officium tuum quam citissime: nam nec nos operae parcemus: et cave, ne forte a nobis antevertamini. Et hoc quidem huiusmodi. Exhibebo et alterum mandatum loco testimonii, scriptum ad eundem mense Septembri, Indictione undecima: Desideratissime maiestati nostrae cognate, mi Andronice Palaeologe protovestiarie; meministi, quid ad te scribentes statuerimus de negotio administrando, et quomodo monuerimus, dares operam sedulo, ne posses a nobis anteverti. Et ecce ita futurum est, ut video. Ego enim aliud non exspecto, quam ab iis, qui illic sunt, signum aliquod. Ubi diligentia tua? ubi promissa? A mense enim Iulio nihil expresse cognovimus ab iis, qui ibi versan-

A. C. 1327 τόθι, ἀλλ' ἢ μόνον ἀπὸ τῆς φήμης, καὶ ἄς γνωρίσω κατὰ πᾶσαν συντομίαν, ὅτι, ὡς ἀνωτέρω εἴρηται, οὐδὲν ἄλλο ἐκδεχόμεθα, ἢ τὸ μήνυμα ὑμῶν." καὶ Κωκαλᾶς δὲ οὑτοσὶ πρωτοβεστιαρίῳ τῷ γαμβρῷ γράφων, ἀμέλειαν αὐτοῦ πολλὴν καὶ ῥαθυμίαν καταγινώσκει, καὶ ὡς μὴ τὰς ἐπαγγελίας ἐκπληροῦντι ἐπιπλήττει, ὡς λυπουμένου μὲν βασιλέως διὰ ταῦτα, αἰσχυνομένου δὲ αὐτοῦ, ὃς ἐπηγγείλατο μετὰ πάσης ἐπιμελείας αὐτὸν καὶ ταχυτῆτος πληρώσειν τὰ ἐπηγγελμένα. ἵνα δὲ
P. 145 διὰ τὸ μὴ καθαρῶς τὰ ἀναγνωσθέντα προστάγματα γράφειν περὶ ἐμοῦ, περί τινων ἄλλων τισὶ δόξωσι γεγράφθαι, ἕτερον παρέξομαι, τά τε πρότερα ὡς περὶ ἐμοῦ εἴησαν γεγραμμένα βεβαιοῦν, καὶ τὸν πρὸς ἐμὲ πόλεμον κηρύττον ἐμφανῶς, γραφὲν Ὀκτωβρίῳ τῆς ἑνδεκάτης ἰνδικτιῶνος· „περιπόθητε ἀνεψιὲ τῆς βασιλείας μου πρωτοβεστιάριε κύριε Ἀνδρόνικε Παλαιολόγε· αἱ ἀναφοραὶ ὑμῶν πάντων διεκομίσθησαν εἰς τὴν βασιλείαν μου καὶ ὑπανεγνώσθησαν, καὶ ὑπεραπεδεξάμην πάντας ὑμᾶς περὶ πάντων ὧν ἀναφέρετε. ἀπελογήσατο καὶ διωρίσατο καὶ ἡ βασιλεία μου κατὰ μέρος πρὸς πάντας ὑμᾶς
B μετὰ τοῦ κατέργου, μᾶλλον δὲ μετὰ τοῦ περιποθήτου ἀνεψιοῦ τῆς βασιλείας μου τοῦ Ἀσάνη κυρίου Μιχαὴλ τοῦ ἐξαδελφοῦ σου· καὶ ἐξ ἐκείνου μέλλετε γνωρίσειν εἷς ἕκαστος ἀφ'

1. Quamquam istud ἄς sit Graecum, si modo integer Hesychius, sitque haec particula in Graeco vulgari; nil tamen integri sensus facit. Interpres autem legisse videtur *καὶ σοὶ γνωρίζω κατὰ πᾶσαν* etc. *ED. P.* 9. Ante *διὰ* excidit *μὴ*. 19. Intpr. *Calergum;* Calergorum familia Cretensis fuit. *ED. P.* Unice verum est, quod praebet ms. P. *κατέργου*, sed ita accipiendum, ut triremis (v. Ducang. Gloss. Gr. s. v.) hoc nomine significetur, non legatus, quod perperam ED. P. existimavit. *μᾶλλον δὴ* legebatur.

tur, nisi e fama tantum. Et tibi quam brevissime indicamus, nos, ut supra diximus, non aliud, quam signum a vobis exspectare. Et Cocalas hic protovestiario genero suo scribens, eum de magna negligentia et inertia accusat, deque promissis non servatis reprehendit; aitque imperatorem ex eo tristitiam cepisse, et se erubescere, quia pollicitus sit, ipsum quam studiosissime celerrimeque promissa confecturum. Ne autem quae recitatae sunt litterae, quia obscuriores sunt, ad alios quosdam pertinere videantur, alias afferam, unde et superiores illas de me conscriptas, et bellum contra me promulgatum fuisse constabit. Datae sunt mense Octobri, Indictione undecima: Desideratissime maiestati nostrae, mi nepos, domine Andronice Palaeologe protovestiarie; relationes omnium vestrum ad nos perlatae sunt ac perlectae, gratissimumque nobis factum est a singulis secundum omnia, quae retulistis. Responsa et mandata nostra separatim omnibus perferet triremis, seu potius amantissimus cognatus noster dominus Michael Asanes, consobrinus tuus. Ex eo quis-

ὑμῶν πλατυκώτερον τὸν ὁρισμὸν τῆς βασιλείας μου. μήπως A.C. 1327 δὲ, γενομένης τινὸς ἀργίας παρὰ τῆς θαλάσσης εἰς τὸ κάτεργον, ἀγνοῆτε τὸν καθόλου ὁρισμὸν τῆς βασιλείας μου, ἰδοὺ καὶ διὰ ξηρᾶς διορίζεται καὶ δηλοποιεῖ ὑμῖν ἡ βασιλεία μου, ὅτι τόσοι καὶ τοιοῦτοι εὑρίσκεσθε αὐτόθι, ὅτι εἴπερ εἷς καὶ μόνος ὑμῶν ἦν εἰς τὰ αὐτόθι μέρη, ἀρκετὸς ἔμελλεν εἶναι εἰς τὴν τοῦ ἐγγόνου μου μάχην· πόσῳ μᾶλλον ὅτι εὑρίσκεσθε τοσοῦτοι καὶ τοιοῦτοι, οἷοι εὑρίσκεσθε; λόγος οὐδείς. καὶ ἀπὸ τοῦ C νῦν λύω τὸν πάρδον μου τὸν δεδεμένον, καὶ ποιεῖτε ἣ ἂν ὑμῖν ἡ σύνεσις ὑφηγῆται, ὅτι καὶ ἐγὼ ἤδη ὁρμῶ." τοιαῦτα μὲν βασιλεὺς ἐπέταττε τῷ ἀνεψιῷ οὐδὲν ἔχων ἐγκαλεῖν ἐμοὶ, ἀλλ' αὐτὸς πρῶτος λύων τὰς σπονδὰς καὶ τοὺς ὅρκους. ἵνα δὲ εἰδῆτε, ὅτι καὶ πολλοῖς ἐχρῆτο συνεργοῖς πρὸς τὸν πόλεμον τὸν κατ' ἐμοῦ καὶ ἐκ πολλοῦ τοῦ χρόνου παρεσκευάζετο πρὸς αὐτὸν, καὶ ἑτέραν παρέξομαι γραφὴν τοῦ Κωκαλᾶ τουτουῒ πρὸς τὸν γαμβρὸν πρωτοβεστιάριον ἀπεσταλμένην ἔχουσαν οὑτωσί· „πρῶτον μὲν ἐβαρύνετο καθ' ὑμῶν ὁ αὐθέντης ἡμῶν ὁ βασιλεὺς, μᾶλλον δὲ κατὰ σοῦ, πῶς οὐδὲν γράφετε καὶ ἀναφέρετε τί ποιεῖτε καὶ πῶς πράττετε· τὰ νῦν δὲ ἀπεδέξατο μὲν ὅτι D ἐγράψατε, ἐμέμψατο δὲ ὑμῖν ὅπως οὕτως ἀπερισκέπτως ἐπέμψατε τὰς ἀναφορὰς ὑμῶν, καὶ εἴπερ συνέβαινεν ἐμπεσεῖν εἰς τὰς χεῖρας τοῦ ἐγγόνου τοῦ βασιλέως, ὁμολογουμένως γνωσθῆναι ἔμελλεν, ὅτι πρὸ καιροῦ καὶ μετὰ μεμεριμνημένου σκοποῦ

2. Locus intricatior et, ut videtur, corruptus. *ED. P.* Immo sana et perspicua sunt omnia, dum de navi intelligas, quam mala tempestas moratur.

que vestrum latius cognoscet, quid maiestas nostra statuerit. Ne autem, si forte navigatio mala tempestate impedita esset, ignoretis quid generatim censuerimus, en pedestri quoque nuntio significamus, tot et tales vestrarum partium hic inveniri, ut si vel unus dumtaxat vestrum ibidem viseretur, sufficere posset ad proelium cum nepote nostro ineundum: quanto magis, cum tam multi, tam pugnaces inveniamini; nihili prorsus res est momenti. Et nunc pardum nostrum e catenis emittimus. Vos quod prudentia hortabitur facitote: nos iam erumpimus. Haec mandavit avus sororis suae filio, nihil habens, in quo me accusaret: sed prior ipse a sacramento foederis desciscens. Ut porro videatis, eum administris usum pluribus ad bellum adversum me adornandum, et iampridem se ad idem comparasse, alia proferetur adhuc epistola, nempe Cocalae huius ad protovestiarium generum data: Primum iratus erat vobis dominus noster imperator, vel potius tibi, quod nihil litterarum mittitis, nec refertis, quid agatis et quo in statu versemini. Nunc quoniam scripsistis, laudat factum: reprehendit tamen, quod ita improvide relationes vestras miseritis. Nam si eae in manus nepotis forte inci-

A.C. 1327 ἐκινήθη ἡ παροῦσα μάχη. ὅπερ οὐ γέγονε καλῶς· ἀλλὰ ὥσπερ
κατὰ τὸ παρὸν ἡμεῖς τὸ πρόσταγμα καὶ τὴν παροῦσαν γραφὴν
ἐβάλομεν ἐντὸς πούκλου, (καὶ τίς δύναται ἐνθυμηθῆναι, ὅτι
ἐστί τι ἐντὸς τοῦ πούκλου;) οὕτως ποιεῖτε καὶ ὑμεῖς· καὶ ἀπὸ
V. 117 τοῦ νῦν ἄρξασθε, ὅτι, καθὼς καὶ ἀπὸ τοῦ προστάγματος μέλ-
λεις μαθεῖν, ἰδοὺ καὶ ὁ βασιλεὺς ἄρχεται. ὅμως δοκεῖ μοι, ὅτι
P. 146 πρὸ τοῦ ἀκοῦσαι τὴν ἀρχὴν μέλλετε ἰδεῖν τὸ τέλος. πάντες γὰρ
οἱ μετὰ τοῦ ἐγγόνου τοῦ βασιλέως εὑρισκόμενοι ἄρχοντες καὶ
τὰ ἀρχοντόπουλα, κατεστάθησαν ὑπὸ τοῦ βασιλέως, καὶ τὰς
αὐτοῦ εὐεργεσίας ἔχουσι διά τε οἰκονομιῶν διά τε χρυσοβούλ-
λων· καὶ πάντες εἰσὶν ἕτοιμοι καὶ ἐκδέχονται ὁρισμὸν τοῦ
αὐθέντου ἡμῶν τοῦ βασιλέως τοῦ ἁγίου, ἵνα ἐάνπερ ὁρίσῃ αὐ-
τοῖς, φέρωσι τὸν ἔγγονον αὐτοῦ δεδεμένον εἰς τὰς χεῖρας· καὶ
ἀπὸ τοῦ αὐτοῦ νῦν ἐπιμελήθητι καὶ σὺ, ἵνα δείξῃς ἔργον τῆς
γνώσεως καὶ τῆς πείρας, ἧς ἔχεις πρὸς τὸ πράττειν." ἐκ τού-
των μὲν οὖν ἁπάντων, ὁπότερος λέλυκε τοὺς ὅρκους αὐτοὶ
κρινεῖτε. ὥστ' εἰ καὶ αὐτὸς μετὰ τὴν οὕτω περιφανῆ παρά-
B βασιν τῶν ὀμωμοσμένων ἔξω τι εἴργασμαι τῶν συνθηκῶν, οὐ
δίκαιον οὐδὲ λόγον ἔχον ἐπιορκίαν ἐγκαλεῖν. ὥστε εἰ καὶ χρή-
ματα εἴληφα, ὡς αὐτοί φασι, παρὰ τὰς συνθήκας, οὐκ ὀφεί-
λειν δίκην λελυμένων τῶν συνθηκῶν. ἐγὼ δὲ καὶ τούτων χω-
ρὶς εὐορκεῖν ἀποδείξω ἐμαυτὸν τὰ χρήματα εἰληφώς. ἐν τοῖς

3. Intpr. coni. κούκλου, Ducangius in Gloss. Gr. s. v. πούκλον mavult βάκλου, ut epistola in cavo baculo latuerit. 12. αὐτοῖς em. ED. P. pro αὐτούς.

dissent, in confesso est, cognosci potuisse, multo ante et sollicita cura hoc bellum inchoatum fuisse. Haud recte vos quidem: sed quemadmodum in praesenti nos mandatum, et epistolam in puclum coniecimus, in quo inesse quippiam quis cogitaret? sic vos facite, et iam nunc incipite. Nam ecce et imperator, id quod ex mandato discetis, opus aggreditur. Quamquam, ut mihi videtur, vos prius finem videbitis, quam de principio audietis. Omnes enim qui cum nepote sunt duces et praefecti ab imperatore stant eiusque beneficiis fruuntur partim in administrationibus, partim in bullis aureis: paratique sunt, et quid dóminus noster sanctus imperator decernat exspectant, ut quando illi placuerit, nepotem vinctum in manus ei tradant. Tu quoque hinc satage, cognitionisque et experientiae, quam in agendo habes, exemplum aliquod prode. Ex his ergo omnibus, uter foedus transgressus sit, vos eritis iudices. Quod si ipse post iusiurandum adeo palam violatum quippiam contra foedus patravi, non potest merito et cum ratione in periurio numerari. Quare etiamsi pecuniam contra foedus accepi, ut ipsi dictitant, non idcirco poenam rupti foederis debeo. Ego vero et aliter, quamvis pecuniam acceperim, me nihilo minus secundum iusiurandum pactis stare con-

ὅρκοις γὰρ γέγραπται, ὡς ἂν ἐκ τῶν δημοσίων χρημάτων τῶν A.C. 1327
τε τῆς ἐμῆς οἰκίας ἕνεκα ἀναλωμάτων καὶ βασιλίδος τῆς ἐμῆς
γυναικὸς, ἔτι δὲ καὶ τῆς μισθοφόρου στρατιᾶς χρήματα ἐμοὶ
χορηγεῖσθαι ὅσα γέγραπται ἐν ταῖς συνθήκαις· καὶ τοῦτο οὐχ
ἁπλῶς, ἀλλὰ δι' ὅρκων ἐγγράφων, ὡς πάρεστιν ὁρᾷν ἐκ χρυ-
σοβούλλου βασιλέως τοῦ πρὸς ἐμέ. ἐκ τοίνυν τῶν καιρῶν C
ἐκείνων ὅτε ἐγεγένηντο οἱ ὅρκοι ἄχρι καὶ νῦν τέτταρες ἐπ'
ἔτεσι τέτταρσι παρῆλθον μῆνες, ἐν οἷς ἐκ τῶν γεγραμμένων
ὀφείλονταί μοι λογιζομένῳ πέντε καὶ τριάκοντα χρυσίου μυ-
ριάδες. καὶ τοῦτο ἔξεστιν ἀποδεικνύειν ἐναργῶς ἐκ τῶν γραμ-
ματείων τῶν εἰς ἀπόδειξιν γινομένων παρὰ τῶν τὰ χρήματα
εἰσκομιζόντων, προστάττοντος βασιλέως. τί τοίνυν ἀδικῶ, εἰ
τοσούτων ἐμοὶ χρημάτων ὀφειλομένων, ὀλίγα ἄττα εἴληφα ἐκ
πολλῶν; ἢ που δίκαιον, βασιλέα μὲν ἐμὲ τοσούτων ἀποστε-
ροῦντα, μήτ' ἀδικεῖν οἴεσθαι, μήτε μὴν ἐπιορκεῖν, ἐμὲ δὲ εἴ
τι τῶν ὀφειλομένων πολλοστὸν ἀπείληφα μέρος, εἰς δικαστή-
ρια ἕλκεσθαι καὶ ἐπιορκίαν ἐγκαλεῖσθαι καὶ ἀπελαύνεσθαι καὶ D
τὰ ἔσχατα ὑπομένειν; καίτοι, εἴγε τῶν τῆς οἰκίας τῆς ἐμῆς
ἕνεκα μόνον ἀποτεταγμένων ἀπεστερούμην, δίκαιον μὲν οὐκ
ἂν ἦν, ἐγὼ δὲ ἤνεγκα ἂν σιγῇ, αἰδοῖ τε τῇ πρὸς βασιλέα καὶ
τῷ νομίζειν τὰ παρὰ πατρὸς ἐπαγόμενα ἀλγεινὰ, ὁποῖ' ἄττα
ἂν ᾖ, δίκαιον εἶναι τὸν παῖδα φέρειν καὶ μήτε ἐγκαλεῖν, μήτε
θορυβεῖσθαι, ἀλλὰ δεῖσθαι μόνον ἠπιώτερον ἐμοὶ καὶ ἥμερον
ἐπιβλέψαι τὸν πατέρα καὶ τὰ λυποῦντα λῦσαι δεινά. νυνὶ δὲ

vincam. Perscriptum quippe exstat in iuramento, ut mihi de publico pecunia in sumptum domus ac familiae et uxoris meae, item ad stipendia militum erogetur quanta ibidem exprimitur: id quod ex aurea bulla avi ad me missa perspici potest. Iam ex quo concepta sunt iuramenta, ad hunc diem quatuor anni cum mensibus totidem interfluxerunt, quibus mihi, ut rationem subduco, trecenta et quinquaginta aureorum millia debentur. Et hoc perspicuum fit ex tabellis, quas ad testificandum vectigalium exactores conficiunt. Quod igitur nefas admisi, si cum tam multa mihi debeantur, de multis pauca sumpsi? An vero iustum et aequum est, avum, qui me tanta summa privavit, neque iniustitiae, neque periurii insimulari; me, quia ex mihi debitis quotamcunque partem decerpsi, ad tribunalia raptari, ut periurum accusari, in exilium pelli et in extremas miserias devolvi? Atqui si ea tantum pensione fraudatus essem, quae domui meae erat constituta, parum iuste fuisset actum mecum; siluissem tamen, cum imperatorem reveritus, tum quia existimassem, qualescunque tandem a patre crearentur molestiae, filio aequa mente sufferendas, neque accusandum, neque turbas illi ciendas, sed rogandum duntaxat, ut placide filium dignaretur aspicere malaque moestifica tollere. Nunc ablatis simul iis, quae in annua mi-

A.C.1327 καὶ τῆς στρατιᾶς ἀπεστερημένων τῆς ἐτησίου μισθοφορᾶς, ἣν
μόνην ἔχουσι τοῦ βίου ἀφορμὴν, οὐκ ἀνεκτὸν ἡγησάμην με-
P.147 γαλοψύχως τὰς ἀλλοτρίας φέρειν συμφοράς. καίτοι σκέψασθε
ὡς ἀδικοῦνται. πρῶτον μὲν γὰρ οὔτ' ἐμπορίαις οὔτε γεωργίαις
οὔθ' ἑτέροις ἐπιτηδεύμασί τισιν, ἐξ ὧν ἂν πορίζοιντο τὰ ἐπι-
τήδεια, παρ' ἡμῶν συγχωροῦνται χρῆσθαι ἕνεκα τοῦ πρὸς
τὰς ἐκστρατείας ἀεὶ ἑτοίμοι εἶναι καὶ μὴ κωλύματά τινα
ἔχειν ὥστε ἀναγκάζεσθαι οἴκοι μένειν. ἔπειτα δὲ παρὰ βασι-
λέως καὶ αὐτοῦ τοῦ τεταγμένου ἀπεστέρηνται μισθοῦ, ὃν οὐχ
ἁπλῶς, ἀλλ' ὅρκοις ἐπηγγείλατο ἀποδιδόναι ἐτησίως. καὶ τρί-
V.118 τον, ἠμέληνται παρ' ἐμοῦ ἐπὶ τοσοῦτον χρόνον ἕνεκα τοῦ μὴ
βασιλεῖ δοκεῖν φορτικὸς καὶ ἐπαχθής. καίτοι γε ἐχρῆν ἐμὲ
B πρὸς μὲν τὰ οἰκεῖα φαίνεσθαι μεγαλόφρονα καὶ καταφρονητὴν
χρημάτων καὶ πάντα τῇ τοῦ πατρὸς ἐξακολουθοῦντα γνώμῃ,
πρὸς δὲ τὰ τούτων κηδεμονικὸν καὶ ἀπαραίτητον, καὶ πάντα
καὶ ἐπινοοῦντα καὶ πράττοντα, ὥστε μὴ ἀποστερεῖσθαι τοῦ
μισθοῦ αὐτοὺς, μηδὲ εὐγνωμοσύνῃ τῇ πρὸς τὸν βασιλέα κα-
κοῖς τοῖς ἐσχάτοις περιβάλλειν· οὐ γὰρ εὐγνωμοσύνη τοῦτό
γε, ἀλλ' ὠμότης καὶ ἀπανθρωπία ἐσχάτη, τὸ, ἑτέρων ὑπὸ τοῦ
λιμοῦ κινδυνευόντων ἀπολεῖσθαι, μεγαλοψυχεῖν αὐτόν. οὐ
μὴν παρέλιπον τὸ μὴ βασιλέως δεῖσθαι ἀεὶ τῇ στρατιᾷ χο-
ρηγεῖσθαι τὸν μισθόν. ἐς τοσοῦτον γὰρ ἀπορίας ἤλασαν πολ-
C λοὶ αὐτῶν, ὡς ἀποκαρτερῆσαι τὰς γυναῖκας αὐτῶν, νυκτὸς

litum stipendia erant conferenda, et ex quibus solis vitam sustentare habebant, improbum duxi alienas calamitates excelso animo velle intueri. Perpendite paulum, quanta illis fiat iniuria. Primum siquidem neque mercatura, neque agricultura, neque aliarum rerum studiis, de quibus sibi victum pararent, a nobis sinuntur occupari: propterea quod ad expeditiones semper parati esse coguntur, neque ulla impedimenta praetexere, ob quae domi maneant. Deinde ab imperatore destinata mercede fraudati sunt, quam ille non simpliciter, sed interposito sacramento in annos singulos se persoluturum spopondit. Accedit tertium: neglecti sunt a me tamdiu, ne avo onerosus ac molestus viderer; quamquam in causa domestica magnum et pecuniae contemptorem animum gerere omninoque ad paternam voluntatem me conformare debui: horum autem in egestate procurationem suscipere, nec eam cuiusquam precibus deserere, sed cogitare tentareque omnia, ne stipendia sua amitterent, neque dum in avum me pium praestare nitor, teterrimis eos calamitatibus involvi sinerem. Non enim est ista aequanimitas, sed inhumanissima crudelitas, aliis ob extremam inediam tantum non animam agentibus, ipsum interea in magnis spiritibus acquiescere. Non tamen destiti imperatorem orare assiduo, ut militibus nomina persolverentur. Sic enim ad incitas plerique redacti erant, ut, ne fame morerentur, mulieres

ἐπιγενομένης, ὡς ἂν μὴ κατάδηλοι ὦσι τοῖς γνωρίμοις, τὰς A.C. 1327 ἑτέρων οἰκίας περιϊούσας ἑαυταῖς καὶ ἀνδράσι τροφῆς τινος αἰτούσας γλίσχρως ἐκπορίζειν. οἷς ἐπικλασθεὶς καὶ αὐτὸς τὴν ψυχὴν, τὰ χρήματα ὑπὲρ ὧν ἐγκαλοῦμαι ἀφελόμενος, μικράν τινα παρέσχον παραψυχήν. εἰ τοίνυν διὰ τοῦτο ἐπίορκος ἐγὼ καὶ ἄδικος καὶ τοῦ πατρὸς καταφρονητὴς, κρίνατε ὑμεῖς. πρῶτον μὲν οὖν ἀπέδειξα ἐμαυτὸν μηδὲν μηδαμῶς παραβεβηκότα τὰς συνθήκας, ἀλλὰ καὶ φανερῶς παρασπονδηθεὶς καὶ τὰς ἀποδείξεις τοῦ λελυκέναι βασιλέα πρῶτον τοὺς D ὅρκους ἔχων παρ' ἐμαυτῷ, καθάπερ εἴδετε, αὐτὸς μένω τὴν εἰρήνην ἀσπαζόμενος καὶ δεόμενος ἐπὶ τοσοῦτον χρόνον βασιλέως, μὴ τὸν πόλεμον κινεῖν. εἰ δέ τις ἔχει με ἀποδεικνύειν παραβεβηκότα πρότερον τοὺς ὅρκους, παρίτω καὶ δεικνύτω. ἔπειτα καὶ περὶ τῶν χρημάτων, εἰ ἐκ πέντε καὶ τριάκοντα μυριάδων τῶν ὀφειλομένων τοσαῦτα λαβὼν ἀδικῶ, καταψηφίζεσθε ὑμεῖς."

μθ'. Τοσαῦτα μὲν βασιλεὺς ὁ νέος ἀπολογούμενος εἶπε· P.148 Κωκαλᾶς δὲ μεταξὺ βασιλέως ἀπολογουμένου, πρὶν μὲν τὰ B πρὸς τὸν πρωτοβεστιάριον γράμματα ἀναγνωσθῆναι, πολὺς ἦν ἐγκείμενος αὐτῷ, αὐτὸν τοῦ πολέμου φάσκων αἴτιον εἶναι, ἀνθρώποις πειθόμενον συκοφάνταις, τόν τε βασιλέα διαβάλλουσι πρὸς αὐτὸν καὶ πρωτοβεστιάριον καὶ τοὺς ἄλλους τοὺς ἐν τέλει ὡς βεβουλευμένους πόλεμον κινεῖν. ἐπεὶ δὲ τά τε γράμματα ἀνεγνώσθη, καὶ ἀπεδείχθη καὶ αὐτὸς τῶν ἄλλων οὐχ ἧττον τὴν εἰρήνην καταλύων, αὐτὸς μὲν οὐδὲν ἔχων ἀν-

23. βεβουλευμένους ED. P. pro βεβουλομένους.

suas noctu, ne a notis agnoscerentur, circum domos ad pauxillum escarum precario conquirendum mitterent. Quos, dolore et commiseratione fractus, subducta de qua nunc accusor pecunia, qualicunque solatio delinivi. Nunc, an ideo periurus, improbus, patris contemptor fuerim, iudicate. Primum itaque docui, me foedus neutiquam violasse: sed cum ille aperte id mihi fecerit, et probationes ipsas eius periurii apud me habeam, sicut vidistis, nihilo minus pacem retineo, et tam diuturnis precibus illum fatigo, uti bellum ne moveat. Si quis autem me iuramento priorem defecisse potest ostendere, age, procedat et ostendat. Tum deinde vos, si de trecentis quinquaginta nummum aureorum millibus, quae mihi debentur, tantillum accipiens, peculatus me alligavi, peculatorem damnatote.

49. Hactenus causam pro se dixit iunior imperator. Cui Cocalas, antequam eius ad protovestiarium epistola recitaretur, importune instabat affirmabatque, ab ipso belli profectum initium, qui sycophantis avum, protovestiarium ceterosque principes de agitato inter se belli consilio apud se criminantibus credidisset. Ubi vero litteris palam lectis patuit, non minus ipsum, quam ceteros pacem labefa-

A.C. 1327 τειπεῖν, οὕτως ἐξεληλεγμένος φανερῶς, καθῆστο σιωπῶν. βασι-
λεὺς δὲ ἐπιστραφεὶς πρὸς αὐτὸν, „ὦ μέγα λογαριαστὰ" εἶπε
C „τὸ μὲν ἁμαρτάνειν τινὰ καὶ τὸν πλησίον ἀδικεῖν καὶ πλεο-
V. 119 νεκτεῖν, θαυμαστὸν οὐδέν· ἄνθρωποι γὰρ ἅπαντες τοῖς ὁμοίοις
ὑποκείμεθα πάθεσι καὶ πρὸς κακίαν πρόχειροι μᾶλλον ἢ πρὸς
ἀρετήν ἐσμεν· τὸ δ' ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμε-
νον, ἔπειτα δόλους ῥάπτειν καὶ συκοφαντίας καὶ παντὶ σθέ-
νει πειρᾶσθαι τὰς αἰτίας εἰς τοὺς ἀθώους περιτρέπειν, ὡς ἂν
πρὸς τῷ ἀποκτεῖναι καὶ δίκαια δοκῇ ποιεῖν, οὐκ ἀνθρώπου
πάντως, ἀλλὰ τοῦ ἐξ ἀρχῆς ἔργον ἀνθρωποκτόνου." παρὼν
δὲ καὶ ὁ λογοθέτης τοῦ στρατιωτικοῦ Θεόδωρος ὁ Καβασίλας,
συνετὸς μὲν ὢν καὶ σοφὸς καὶ παρὰ τῷ πρεσβυτέρῳ βασιλεῖ
πολλῆς ἀπολαύων εὐμενείας καὶ οἰκειότητος, οὐδὲν δὲ ἧττον
D καὶ παρὰ τῷ νέῳ, ἐκ τῶν ἀπεσταλμένων παρὰ βασιλέως ὤν,
καὶ φίλος ἐς τὰ μάλιστα Κωκαλᾷ, τὸν νέον βασιλέα ἰδὼν
πρὸς τοὺς διαβάλλοντας διαταραχθέντα καὶ βουληθεὶς εὐτρα-
πελίᾳ λόγων τὸ βασιλέως ἦθος εἰς ἡμερότητα μεταβαλεῖν,
„οὐ θαυμάζειν" εἶπεν „ὦ βασιλεῦ, χρεών· τοιαῦτα γὰρ τὰ
τοῦ πλάνου ἔνεδρα καὶ σκάμματα." ἦν γὰρ δὴ ὁ Κωκαλᾶς
ἐν ταῖς παιδιαῖς ὑπὸ τῶν ἡλικιωτῶν πλάνος ὠνομασμένος.
καὶ ἔδοξε καιρίως εἰρῆσθαι· μετέβαλε γὰρ τὸ τοῦ βασιλέως
ἦθος ἐκ τοῦ ἐμβριθοῦς πρὸς μειδίαμα σεμνόν. ἀλλὰ ταῦτα
μὲν εἰς τοσοῦτον. τοῖς δ' ἀρχιερεῦσιν ἐκέλευεν ὁ βασιλεύς, εἰ
ἀδικῶν αὐτὸς καὶ ἐπιορκῶν φαίνοιτο, καταψηφίζεσθαι. οἱ

6. ἐπαρκοῦντα legebatur.

ctare, cum tam evidenter convictus, contra afferre nihil posset, resedit et obmutuit. Ad quem conversus imperator, Nihil mirum, magne logariastes, inquit, peccare quemquam, et alium laedere potioraque affectare; homines enim iisdem perturbationibus subiecti, ad vitia quam ad virtutem omnes propensiores sumus: sed iniuriam inferre, peierare, mentiri, ac deinde dolos consuere et sycophantias comminisci, conarique remis et velis culpam in innocentes derivare, ut praeterquam quod perniciem iis paras, etiam iuste videaris agere, id non hominis, sed eius est, qui fuit homicida ab initio. Aderat in consessu iudicum Theodorus Cabasilas logotheta militaris, vir cordatus et sapiens, seniori imperatori inprimis carus ac familiaris, nec minus nepoti, et praeterea Cocalae amicissimus. Is cum imperatorem iuniorem ob calumnias commotiorem cerneret velletque urbanitatis quodam sale eum mitigare, Noli mirari, inquit, imperator: hae enim sunt impostoris huius insidiae atque fossae. Nam inter ludicra puerilia Cocalas a coaevis impostor appellabatur. Visum tempestive dictum: nam imperator, nonnihil remissa gravitate, modeste risit. Sed de his satis. Deinde hortatus est episcopos, si iniustus ac perfidiosus appareret, uti sententiam ferrent. Illi responderunt,

δ' ἔφασαν, ἔχειν μὲν αὐτοῦ καταψηφίζεσθαι μηδὲν, δεῖσθαι A.C. 1327
δὲ μόνον αὐτοῦ, τρόπους τινὰς καὶ ἐπινοίας, ὥσπερ καὶ πρό- P. 149
τερον, ἐξευρεῖν, ἐξ ὧν ἂν τὰ προσδοκώμενα κακὰ διαλυθείη. „καὶ σφόδρα γε" εἶπεν ὁ βασιλεὺς „μηδὲ τὴν ἀρχὴν ἐβουλόμην τὸν πόλεμον κεκινῆσθαι, ἢ κινηθέντα τάχιστα καταλυθῆναι. ὅτι δὲ οὐχ ὑπόκρισις οὐδ' εἰρωνεία τὰ τοιαῦτα, ἐξ αὐτῶν τῶν πραγμάτων ἐναργῆ πάρεστι τὴν ἀπόδειξιν λαβεῖν· τρίτον γὰρ ἤδη μῆνα κάθημαι ἐνταῦθα δεόμενος βασιλέως, τὸν πόλεμον καταθέσθαι καὶ μὴ διὰ φιλονεικίαν τὴν Ῥωμαίων ἡγεμονίαν περιϊδεῖν ἀνηκέστοις κακοῖς περιπεσοῦσαν· ἀλλ' οὐδεὶς ὁ εἰσακούων· καὶ ταῦτα πεπεισμένος φανερῶς, ὡς ἐπιβουλεύομαι, μηδὲν ἀδικῶν. οὐ γὰρ πάνυ ἀγνοῶ, ὅτι μὴ B
ταῦτα μόνον, ἅπερ ἀκηκόατε, γράμματα ἐπέμφθησαν κατ' ἐμοῦ, ἀλλ' ἐκ πολλῶν τῶν διασωθέντων ἑάλωσαν ὀλίγα. τῷ σφόδρα δὲ βούλεσθαι τὴν εἰρήνην, τήν τε ἐμαυτοῦ καὶ τῶν συνόντων ἀσφάλειαν τιθέμενος ἐν δευτέρῳ, θεῷ δὲ μόνῳ τὰς ἐλπίδας ἀναθεὶς, ὃν εὐορκῶ, κατὰ τὸ ἐνὸν ἐμοὶ τὰ προσδοκώμενα κακὰ ἐκ μέσου ποιεῖν πειρῶμαι. ἡγοῦμαι δὲ, ἂν καὶ βασιλεὺς ἐθελήσῃ τῶν ὀφειλομένων χρημάτων τὰ ἡμίση ἀποδοῦναι τῇ στρατιᾷ, ἐκείνους τε μηδὲν πλέον πολυπραγμονήσειν ἀγαπήσαντας, καὶ ἡμᾶς τῶν ἐκ τοῦ πολέμου προσδοκωμένων ἀπαλλάξεσθαι κακῶν." εἰπόντων δὲ τῶν ἀρχιερέων, C
ὡς νῦν μὲν οὐκ ἂν εἴη ῥᾴδιον ἀπορίᾳ χρημάτων τοσαῦτα ὄντα ἀποδοθῆναι, ὅσα δ' ἂν ἐξῇ λαβόντας νῦν, τὰ λειπόμενα

21. ὑμᾶς coni. ED. P. idemque legit Intpr.

non habere se, cur eum condemnarent: solum rogare, ut, quemadmodum antehac, modos et vias inveniret, quibus imminentia mala in irritum caderent. Ad haec imperator: Vellem ego omnino hoc bellum non esse natum: aut certo priusquam convalesceret, restinctum fuisse. Hoc me nulla simulatione aut dissimulatione dicere, ipsae res evidenti argumento sunt: tertium siquidem mensem hic desideo, neque avum pacem poscendi finem facio, ne ob nostram discordiam Romanum imperium incommodis longe gravissimis concutiatur. Sed surdo fabulam, ut aiunt. Certus interim sum, eius insidiis me peti, quamquam in eum nil molitus sim. Nec enim ignoro, non has modo, quas audistis, sed plures insuper contra me missitasse litteras, e quibus hae perpaucae interceptae sunt. Quia tamen pacis sum cupidissimus, meam meorumque securitatem in posterioribus ducens, solique Deo spes meas committens, quem sancte iuravi, quantum in me est, ingruentes clades avertere annitor. Opinor autem, si et avus dimidium debitae pecuniae militibus numerare velit, boni consulentes, nihil deinceps molestiarum exhibituros, et vos casibus, quos e bello metuitis, ereptum iri. Occurrentibus episcopis, difficile futurum hoc tempore, exhausto aerario, tantum aes dis-

A.C. 1327 κομίσασθαι χρόνῳ ῥητῷ· „οὐκοῦν" ὁ βασιλεὺς ἔφη „εἰ τοῦτο δυσχερὲς δοκεῖ, καὶ τὰ ἡμίση καταλιπόντες τούτων, τῷ τετάρτῳ μορίῳ τοῦ ὅλου ἀρκεσθησόμεθα τῆς εἰρήνης καὶ τῆς ὁμονοίας χάριν." οἱ δὲ ἀκούσαντες ἐπῄνεσάν τε ὡς κρείττω χρημάτων τὸν βασιλέα, καὶ ἀναμφιβόλως ἔφασκον ἀποδοθήσεσθαι τὰ εἰρημένα. ὡς δὲ εἶδεν ἐπὶ τούτοις συνθεμένους, βουλόμενος ὁ βασιλεύς, ὡς καὶ τῶν πᾶσι δοκούντων μετριω-
D τάτων διὰ τὸ τὸν πόλεμον καταλυθῆναι ἐξίσταται ἑκών, ποιῆσαι φανερόν, „δέον" ἔφη „καὶ ὑμῖν, κατά τε τὴν ὁδὸν πεπο-
V. 120 νηκόσι καὶ ἀσιτίᾳ προσταλαιπωρήσασιν ὅλην τὴν ἡμέραν, χάριν καταθεῖναί τινα. οὐκοῦν καὶ τὸ τέταρτον τῶν ὀφειλομένων χρημάτων ἀφίημι ὑμῶν χάριν, καὶ οὐδὲν παρὰ βασιλέως ἀπαιτῶ πλὴν ὅσα οἱ τὰ δημόσια διοικοῦντες αἰτίας τινὰς πλασάμενοι ψευδεῖς, ἀποστερήσαντες βασιλέως ἔχουσιν αὐτοί, ἀποδείξεως γενομένης ἐναργοῦς, ταῦτα λαβόντα διανεῖμαι τῇ στρατιᾷ μικρᾶς ἕνεκά τινος παραμυθίας. μὴ θαυμάσητε δέ, εἰ περὶ τοῦ μὴ δεῖν ἐπὶ ταῖς ἑτέρων κακοπραγίαις ἕτερον μεγα-
P. 150 λοψυχεῖν καὶ φιλοτιμεῖσθαι πολλὰ πρότερον εἰπών, νῦν οὕτω ῥᾳδίως τὰ τοῖς στρατιώταις ὀφειλόμενα χρήματα πρόειμαι. ἐὰν γὰρ εἰς τὸν ἐφεξῆς χρόνον κατὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας ἡ τεταγμένη μισθοφορὰ παρέχηται αὐτοῖς, τὰ ὀφειλόμενα ἐπὶ τῷ προτοῦ πάνυ φιλοῦντες ἐμοὶ χαριοῦνται χρόνῳ. ἄλλως τε ἔδεισα μή τις καὶ διὰ ταῦτα γένηται ἀναβολὴ πρὸς τὴν εἰρήνην, καὶ δόξωμεν μᾶλλον ἐξεπίτηδες τὸν πόλεμον αἰ-

solvere: proinde pro copia nunc acciperent, reliquum ad diem praefinitam accepturi. Si hoc difficile putatis, excipit imperator, etiam dimidio remisso, quarta parte pacis et concordiae causa contenti erimus. Quo audito, episcopi eum ut a pecunia invictum commendarunt, spoponderuntque, citra controversiam partem dictam solutum iri. Imperator ut in hoc secum facientes vidit, volens constare omnibus, se libenter belli tollendi causa de iure suo etiam in iis, quae essent omnium confessione moderatissima, decedere, Oportet, inquit, et vobis de via fessis et totius diei inedia vexatis, gratiam aliquam rependere. Itaque et quartam partem debitae pecuniae in gratiam vestram remitto: et ab avo nihil exigo, nisi quod quaestores, confictis quibusdam causis imperatore defraudato, sibi retinent, id quod probari perspicue potest, ut hanc summam ad qualecunque solatium in militem dispertiam. Ne tamen vos admiratio capiat, quomodo, cum ante affirmarim, non oportere in alienis miseriis magnanimitatem ostentare, nunc adeo non repugnanter debita militibus stipendia condonem. Si namque de cetero ex foedere constituta stipendia persolventur, quae ex antegresso tempore illis debentur, pro eximio amore, quo me diligunt, mihi remittent. Praeterea timeo, ne propter haec pax differatur videamurque consulto bellum trahere. Quare

ρεῖσθαι. καὶ διὰ τοῦτο δεῖν ᾠήθην πᾶν ζήτημα καὶ ἀμφιβο- A. C. 1327 λίαν ποιῆσαι ἐκποδὼν, καὶ μᾶλλον τοῖς ἡμετέροις φανῆναι φορτικὸς καὶ ἐπαχθὴς, ἢ πρὸς τὸν πόλεμον αἰτίαν παρασχεῖν." τοιαῦτα βασιλέως εἰπόντος τοῦ νέου, οἱ παρὰ τοῦ πρεσβυτέρου ἀπεσταλμένοι ἀρχιερεῖς καὶ συγκλητικοὶ θαυμάσαντες B τῆς μεγαλοψυχίας τὸν βασιλέα καὶ τοῦ σφόδρα οὕτω τὴν εἰρήνην αἱρεῖσθαι, χάριν ὁμολογήσαντες πολλὴν, χαίροντες ᾐτοῦντο τὴν ἐπάνοδον ἐπιτραπῆναι, νομίζοντες, ὡς ἅμα τῷ τὰ πεπραγμένα ἀπαγγεῖλαι βασιλεῖ κώλυμα οὐδὲν ἔσται τῇ εἰρήνῃ ὥστε εἶναι. ἐκείνοις μὲν οὖν ὥσπερ ᾐτοῦντο ἐπέτρεπεν ἐπανελθεῖν. δι' αὐτῶν δὲ πρὸς βασιλέα τὸν πάππον ἐπρεσβεύετο τοιάδε· „τὴν μὲν ἐμὴν πρὸς τὸ σὲ τὴν Ῥωμαίων ἔχειν ἡγεμονίαν σπουδήν τε καὶ προθυμίαν θεός τε οἶδε καλῶς ὁ πάντα εἰδὼς, καὶ αὐτὸς ἂν ἐπιμαρτυρήσαις. ἐνὸν γὰρ, εἴγε ἐβουλόμην, σὲ λυπεῖν καὶ κατὰ τοὺς προτέρους πολέμους ἢ συμπάσης ἢ τῆς C πλείονος ἀρχῆς κρατεῖν, οὐκ ἠθέλησα ἑκὼν, ἀλλὰ σοὶ νομίζων εἶναι δίκαιον ἐξίστασθαι ταύτης ὄντι πατρὶ, ἕως ἂν περιῇς, δυνάμενος κατασχεῖν, παρεχώρησα ἑκὼν εἶναι· καὶ τοῦτό γε οὐκ ἄνευ πόνων καὶ κινδύνων. τῶν γὰρ σὺν ἐμοὶ πολεμουμένων πάντων τοὺς μὲν πόνους καὶ τοὺς κινδύνους ἐν τῷ πολεμεῖν ὑφισταμένων, τῶν ἄθλων δὲ καὶ τῶν γερῶν ἀποστερουμένων, διὰ τὸ ἐμὲ, σοῦ προστάττοντος, εὐθὺς ἄσμενον χωρεῖν πρὸς τὴν εἰρήνην καὶ πάντων σοι παραχωρεῖν, ὧν ἐκτήσαντο αὐτοὶ κρατοῦντες ἐν τῷ πολέμῳ, ἀμφοτέρωθεν ἐμοὶ συνέβαινε τὸ θορυβεῖσθαι. τό, τε γὰρ πείθειν καταθέσθαι τὸν

etiam idcirco quaestionem et ambiguitatem omnem rescindendam putavi, potiusque meis gravis et incommodus videri, quam bello ansam dare volui. His dictis, missi a seniore episcopi ac proceres tantam animi altitudinem admirati, et ob tam praeclarum pacis desiderium gratiis actis singularibus, hilares domum redeundi veniam petiverunt, rati, simul acta avo renuntiassent, pacem nihil remoraturum. Ergo reditionem illis permittit, et ad avum haec ferenda committit: Quam studiose atque impigre elaborem, ut tu principatum Romanum teneas, Deus novit, quem nihil latet, et tu ipse, si voles, testabere. Nam cum potuissem, si libuisset, bellis superioribus aut toto imperio aut maiore illius parte potiundo, tibi moerorem dare, nolui iustumque existimavi, tibi eo ut parenti, quamdiu in vita maneres, cedere. Neque vero sine laboribus periculisque cessi. Cum enim commilitones mei omnes belli aleam ac labores subiissent, praemiis autem et honoribus carerent, quod ego tua iussa secutus, pacem libens complecterer tibique relinquerem omnia, quae ipsi armis acquisierant, utrimque conturbabar. Nam adducere illos ad arma deponenda difficile erat, cum se iusta praedicare assevera- rent, et in hostem ire lege bellica semper postularent. Invitis autem

A.C. 1327 πόλεμον, ἐπίπονον ἦν, αὐτῶν δίκαια λέγειν ἰσχυριζομένων
D καὶ μέχρι παντὸς ἐπεξιέναι τοὺς πολεμοῦντας ἀξιούντων πο-
λέμου νόμῳ, τό, τε ἀκόντων αὐτῶν τι ποιεῖν, οὐκ ἀδεές. φι-
λίᾳ γὰρ ξυστρατευόντων τῶν πλειόνων καὶ ἐλπίδι τοῦ ἄρξαν-
τα ἀντευποιήσειν, εἰ μὴ γνώμῃ αὐτῶν ἐπράττετο τὰ τῆς εἰ-
ρήνης, εἰκὸς ἦν αὐτοὺς περικακήσαντας χωρεῖν πρὸς τοὺς
ἐναντίους, ὅπερ ἀκινδύνως οὐκ ἂν ἐπράττετο ἐμοί. ἐγὼ δὲ τοῦ
τὰ φίλα ἕνεκα πράττειν σοὶ τούς τε πόνους ὑφιστάμην ἐν τῷ
πείθειν, ἑνός τινος ἢ καὶ δύο συναιρομένων, καὶ τῶν ὑφορω-
μένων κινδύνων κατεφρόνουν, νομίζων, ἂν αὐτοῖς ἔργοις ἀπο-
δειχθῶ εὔνους ἐς τὰ μάλιστά σοι καὶ ἐν τοῖς κατεπείγουσι
καιροῖς οὐ πολεμίως, ἀλλὰ φιλίως διακείμενος, θαῤῥῆσαι ἂν
P. 151 ἐμοὶ καὶ τὴν ἔχθραν καταλῦσαι. τὸ δ' ἐναντίως ἔχον νῦν
ἢ προσεδόκων αὐτὸς ὁρᾶται. πάντα γὰρ ἐκεῖνα καὶ, τὸ μέ-
γιστον, αὐτὴν ἀλήθειαν θέμενος ἐν οὐδενὶ, ἀνθρώποις δὲ
διεφθορόσι καὶ ψευδομένοις καὶ μηδὲν ἐξ ὧν ἂν τὰ κοινὰ βέλ-
V. 121 τιον σχοίη, ἀλλ' ἐξ ὧν ἂν ἰδίᾳ τι ὠφεληθεῖεν αὐτοὶ, σκο-
ποῦσι πεισθεὶς, εἵλου μᾶλλον πολεμεῖν ἐμοί· ἐγὼ δὲ καίτοι
δίκαιος ὢν οἷα προεπιβουλευόμενος καὶ παρασπονδούμενος
ἑτοιμότερον πρὸς τὸν πόλεμον χωρεῖν, αἰδοῖ τε τῇ περί σε καὶ
πόθῳ ἀσχέτῳ τῷ πρὸς τὴν εἰρήνην τρίτον ἤδη μῆνα κάθημαι
ἐνταῦθ' ἱκετεύων καὶ παραιτούμενος τὴν σὴν ὀργήν. νυνὶ δὲ
τῶν ὑπό σου ἀρχιερέων καὶ τῶν ἄλλων συγκλητικῶν ἀπεσταλ-
B μένων ἐπὶ τὸ τὰ ἐγκλήματα τὰ ἐμὰ ἐξετάσαι ἡκόντων, αὐτὸς
μὲν πολλῆς ἐνεπλήσθην ἡδονῆς, ὡς καιρὸν ἀπολογίας εὑρη-

illis quippiam facere metu non vacabat. Ex amicitia etenim pluribus mihi militantibus et spe, principem beneficio responsurum, si, quemadmodum ipsi volebant, pax facta non esset, consentaneum erat, eos malis cedentes ad adversarios pro sociis accessuros: quae res discrimen mihi periculumque attulisset. Ego vero ut tibi gratificarer, persuadere illis enisus sum, uno aut duobus adiuvantibus, et quae timebam contempsi; arbitratus, si factis tibi me benevolentissimum perturbatissimisque temporibus non hostilem, sed amicum in te animum ostendissem, confidere posse, etiam odium in me tuum sanaturum. Quod nunc secus, quam rebar, video evenisse. Omnia siquidem illa, quodque summum est, veritatem ipsam pro nihilo ducens, hominibus autem perversis et mendaciloquis, non reipublicae emolumenta, sed sua ipsorum compendia sectantibus fidem habens, bello me tentare voluisti. At ego, quamvis iure optimo, tamquam prior insidiis appetitus temeratoque foedere violatus, promptius ac prius arma capessere poteram, tamen pudore erga te et pacis desiderio incredibili tertium iam mensem hic contero, supplicans et iram tuam deprecans. Nunc cum venissent, quos ad exercendam de me quaestionem misisti, gaudio exsilui, quod tempus mei defendendi nactus

κός· ἐκκλησίας δὲ γενομένης, τὴν ἀπολογίαν ἐφ' οἷς ἐνεκαλού- A.C.1327
μην ἀληθῆ καὶ δικαίαν ἐποιησάμην. ἃ μὲν οὖν εἶπον πρὸς τὰ
ἐγκλήματα, αὐτοὶ ἐλθόντες ἀπαγγελοῦσιν· ἐγὼ δ' αὖθίς σου
δέομαι, βασιλεῦ, μήθ' ἡμᾶς μήτε τοὺς ἄλλους περιϊδεῖν Ῥω-
μαίους διὰ τὸν πρὸς ἀλλήλους ἡμῶν πόλεμον φθειρομένους,
ἀλλ' ἐν ἡμέραις ὀκτὼ τά τε δέοντα σκέψασθαι καὶ ἡμῖν ὡς
ἔχεις γνώμης δηλῶσαι. ἂν μὲν οὖν, καὶ θεοῦ τοῦ χορηγοῦ τῆς
εἰρήνης συνευδοκοῦντος, πρᾳότερον ἡμῖν διατεθῇς καὶ μᾶλ-
λον ἕλοιο τὴν εἰρήνην, πανταχόθεν ἂν ἔχοι καλῶς· ἂν δ' ἡ C
τῶν ἡμετέρων ἁμαρτημάτων πλῆθυς καὶ τὸ μάλιστα βούλε-
σθαι διαφθαρέντας ἡμᾶς ἰδεῖν πρὸς τὸ πολεμεῖν μᾶλλον παρα-
σκευάσωσιν ὁρμῆσαι, καὶ οὕτως ἐγώ σοι τρόπον ὑφηγήσομαι
ἰσχυρότατον τοῦ πρὸς ἐμὲ πολέμου, ὡς ἂν τάχιστά τε καὶ
χωρὶς κινδύνων πραγμάτων ἀπαλλαγῇς. θεὸς ὁ χορηγὸς πάν-
των τῶν ἀγαθῶν, ὁ πατὴρ πάντων καὶ κύριος τῶν βασιλέων
ἄμαχόν τινα καὶ θαυμασίαν παρέσχετο δύναμίν σοι, πρὸς ἣν
οὐχ ὅτι γε ἀντιστῆναι, ἀλλ' οὐδ' ἀντιβλέψαι δυνατὸς εἶναι
ὁμολογῶ. ἔστι δ' αὕτη τις, τὸ σὲ μὲν εἶναι κύριον καὶ πατέρα,
ἐμὲ δὲ υἱὸν καὶ δοῦλον ἀκριβῶς. ταύτῃ δὴ χρησάμενος τῇ δυ- D
νάμει, ἐν ὀλίγῳ πᾶν, ὃ βούλει, ῥᾳδίως ἔσῃ κατωρθωκώς. ἐὰν
γὰρ κελεύσῃς ὡς πατήρ, κλοιὰ περιθέμενον αὐτόθι δεσμωτή-
ριον οἰκεῖν ἐλθόντα, ἑτοιμότατα τὸ κελευόμενον ποιήσω. καὶ
τί λέγω δεσμωτήριον καὶ κλοιά; καὶ εἴ τι βούλει τῶν αἰσχρο-
τάτων ἕτερον, προθύμως σοῦ κελεύοντος ὑπομενῶ· ἂν δὲ ταύ-
την ἀφεὶς τὴν δύναμιν, ἐπὶ τὴν ἑτέραν, ἣν ἐκ πολλοῦ λανθά-

essem. In conventu autem ad capita accusationis vere ac iuste respondi: de quo ipsi apud te memorabunt. Rursum te oro, imperator, ut neve nos, neve Romanos alios, nostri caussa acerba perpeti ac perdi sinas, sed diebus octo quid opus sit consideres, tuamque nobis sententiam declares. Si, Deo pacis auctore approbante, placidam in nos mentem indueris pacemque susceperis, bene facies modis omnibus. Sin peccatorum nostrorum multitudo et incensa videndi interitus nostri cupiditas potius in bellum te praecipitem agent, etiam sic modum te docebo validissimum me armis oppugnandi, ut citissime citraque periculum molestiis absolvare. Deus bonorum omnium suppeditator, pater et dominus regum omnium, admirabilem tibi et inexpugnabilem potentiam dedit: cui non solum resistere, sed contra quam ne intueri quidem me posse fateor. Est autem haec, quod tu dominus et pater, ego filius et servus omnino. Hac usus potentia, brevi quae volueris omnia feliciter efficies. Si enim iusseris, ut pater, me, collaria in collum iniecta, venire et illic carcerem habitare, imperata promptissime exsequar. Quid autem dico de carcere? si vel ignominiosissimum mandaveris, perferam hilariter. Si hac potentia omissa, ad alteram te convertes, quam pridem tibi, credens te latere

A.C. 1327 νειν οἰόμενος παρεσκεύασας σεαυτῷ, τραπῆς, ἐλπίζων ἐμὲ κα-
τεργάσεσθαι πολέμῳ, ὀκνῶ μὲν εἰπεῖν, εἰρήσεται δὲ ὅμως,
δέδοικα μὴ, ὥσπερ καὶ πρότερον, ἐπὶ τῶν ἔργων αὐτῶν ἀλυ-
σιτελῶς σεαυτῷ βεβουλευμένος φανῇς. τότε μὲν οὖν θεοῦ τε
συναιρομένου καὶ τῶν ἐμὲ πάνυ φιλούντων τουτωνὶ συμπρατ-
P.152 τόντων, ἱδρῶσι πολλοῖς καὶ πόνοις οὐχ ὅπερ αὐτὸς ἔργον εὐ-
χῆς ἡγοῦ τελεσθῆναι, ἀλλ' ὅπερ σὺ μὲν οὐδὲ ἐνεθυμήθης, ἐμοὶ
δὲ ἦν διὰ σπουδῆς, κατωρθώθη· νῦν δὲ δέδοικα, ἂν τὰ πρά-
γματα ἑτέρως ἢ αὐτὸς ἐλπίζῃς ἀποβῇ, μὴ καὶ αὕτη ἡ ἐλπὶς
περιαιρεθῇ. διὸ καὶ δέομαι αὖθις καὶ συμβουλεύω, ἢ τὴν εἰ-
ρήνην ἑλέσθαι, ἢ εἴγε πάντως ὥρμησαι πρὸς τὸ πολεμεῖν, τῇ
μεγάλῃ χρήσεσθαι ἰσχύϊ, ἣν ἔχεις ὡς πατὴρ, δι' ἧς ῥᾳδίως
ἅπαν ἂν σοι τὸ βουλόμενον κατορθωθείη, (ἴστω δὲ θεὸς ὡς
ἀληθῆ λέγω,) καὶ μὴ τῇ συκίνῃ θαῤῥεῖν ἐπικουρίᾳ, τοῖς ἐκ-
B πεμφθεῖσιν ἐπὶ τὴν ἑσπέραν ἄρχουσιν ἐπὶ τὸ τὸν κατ' ἐμοῦ
πόλεμον ἐξαρτύσασθαι. πολλῶν γὰρ ὄντων, ὡς αὐτὸς οἴει,
καὶ θαυμασίων στρατηγῶν, πολλῷ τῷ μέτρῳ διαφέροντας ἴσθι
ἐμὲ καὶ τοὺς μετ' ἐμοῦ. ἂν μὲν οὖν ἐμοὶ πεισθεὶς, ἐπιψηφί-
σῃ τὴν εἰρήνην, θεόν τε εὐφρανεῖς καὶ τοὺς ἀγαθοὺς ἀγγέλους
αὐτοῦ, καὶ ἡμᾶς πολέμων καὶ κινδύνων ἀπαλλάξεις. ἂν δ'
V.122 ἑτέρως βουλεύσῃ, ἐγὼ μὲν ἐπιμαρτύρομαι τὸν πάντα ἐφορῶντα
ὀφθαλμὸν καὶ τὰς διοικούσας τὰ ἡμέτερα πράγματα δυνάμεις
οὐρανίους, ὡς καὶ ἀδικούμενος καὶ παρασπονδούμενος, ὅμως
C ἀσπάζομαι τὴν εἰρήνην· αὐτὸς δ' ἂν εἰδείης ὅ,τι καὶ σεαυτῷ

et sperans, bello me confecturum, paravisti, vereor dicere, sed dicam tamen, vereor, ne ut alias, sic modo male tibi consuluisse ipso eventu deprehendare. Ac tunc quidem et Deo inprimis et his amicissimis meis adiuvantibus, multis sudoribus ac laboribus, non quod tibi in votis erat, sed quod ne in cogitationem quidem tuam unquam ceciderat, mihi autem in desideriis erat, prospere perfectum est. Nunc metuo, si aliter, quam confidis, res ceciderint, ne spes tuas fallaces fuisse appareat, Quocirca iterum te hortor atque rogo, pacem ne aspernere: aut si belli cupidine adeo ferves, utare magnis illis viribus, quibus vales ut pater, et quae tibi totum hoc, quod cupis, facili feliciqne successu praestabunt, (Deum testor, vera me proloqui,) et ne ficulneo nitare auxilio, nempe ducibus illis, quos in occidentem ad bellum contra me apparandum emisisti. Multis enim illis et insignibus, ut quidem tu opinaris, longo intervallo scias velim me quique mecum sunt antecellere. Quare si monitis meis locum relinquens, pacem decreveris, Deum ipsum et bonos angelos eius exhilarabis, nosque a bellicis istis incommodis tutos conciliabis. Si in diversum abis, Deum, cuius oculus intuetur omnia, et coelestes illas virtutes, rerum nostrarum administratrices, invoco testes, me quamquam affectum iniuria et perfidiose violatum, nihilo minus pa-

συμφέρον καὶ τοῖς ἄλλοις Ῥωμαίοις καὶ βουλεύσασθαι καὶ A.C. 1327 πρᾶξαι." Τοιαῦτα μὲν βασιλεὺς ὁ νέος διεπρεσβεύσατο πρὸς βασιλέα τὸν πάππον.

ν'. Εἰς Βυζάντιον δὲ τῶν πρέσβεων ἀφικομένων, πρότερος D ἐλθὼν ὁ Κωκαλᾶς, πάντα κατὰ μέρος διεξῄει πρὸς βασιλέα, ὅσα τε αὐτοὶ ἐγκαλοῦντες εἴποιεν τῷ νέῳ βασιλεῖ, καὶ οἵαις αὐτὸς πρὸς ἕκαστα χρήσαιτο ταῖς ἀπολογίαις, καὶ τελευταῖον ὅσα διαπρεσβεύσαιτο πρὸς αὐτόν. καὶ ἔδοξεν οὐ κατὰ καιρὸν τὴν ἐκεῖσε τῶν ἀρχιερέων καὶ τῶν ἄλλων ἄφιξιν γεγενῆσθαι, ὡς ἀνάγκης ἤδη οὔσης ἢ πρὸς τὴν εἰρήνην χωρεῖν, ἢ ὡρμημένους πολεμεῖν προδήλως ἤδη πᾶσιν ἀδικεῖν δοκεῖν. μετὰ μικρὸν δὲ καὶ οἱ λοιποὶ ἐλθόντες καὶ προσκυνήσαντες τὸν βασιλέα, οὐδὲν ἐπετράπησαν εἰπεῖν τῶν κατὰ τὴν πρεσβείαν, P. 153 ἀλλ' ἕκαστον οἴκαδε ἀπελθόντας ἠρεμεῖν, ἄχρις ἂν βασιλέως προστάξαντος ἀπαγγείλωσι τὰ τῆς πρεσβείας. τοῦτο δὲ ἦν σκῆψις εὐπρεπής. ἔδοξε γὰρ βασιλεῖ μᾶλλον λυσιτελεῖν σιωπῇ τὸ πρᾶγμα παρελθεῖν, δεδοικότι μή, δημοσίᾳ ἀπαγγελλομένης τῆς πρεσβείας, ἢ ἀναγκάζοιτο παρὰ πάντων εἰρηνεύειν πεπεισμένων ἤδη, τὸν νέον βασιλέα καὶ δίκαια καὶ συμφέροντα ἀξιοῦν, ἢ εἰ μὴ πείθοιτο, δοκοίη φανερῶς ἀδικεῖν. ἓξ μὲν οὖν ἡμέραι παρῆλθον, καὶ τῆς πρεσβείας λόγος ἦν οὐδείς. ἀχθόμενος δὲ ὁ πατριάρχης ἐπὶ τῇ τοῦ χρόνου παρατάσει, μεμήνυκε πρὸς βασιλέα, ὡς „ἓξ ἡμερῶν παρελθουσῶν, οὐδὲν B παρὰ τῶν πρὸς βασιλέα τὸν ἔγγονον τὸν σὸν ἀπεσταλμένων

cem servare; quam tu quoque servares, si et cogitare et facere nosses quod ad tuam Romanorumque utilitatem pertinet. Haec iunior ad seniorem per legatos.

50. Iis Byzantium reversis, antevertens alios Cocalas, omnia particulatim imperatori edisserit, quaecunque nimirum nepoti obiecissent, et quomodo ille singulis occurrisset; et tandem quae avo renuntianda commisisset: visumque, haud utiliter episcopos ceterosque illuc profectos fuisse, quandoquidem necesse iam sit, aut pacem admittere aut ad arma prosiliendo palam malefaciendi voluntatem prodere. Paulo post accedentes reliqui imperatoremque adorantes, de legatione, quam haberent a nepote, tacere, domum quisque suam redire et quiescere iussi sunt, donec illius mandatu eam exponerent. Hoc nihil aliud, quam honestum quoddam velamentum erat. Commodius enim statuebat, rem silentio dissimulare, cum timeret, ne si publice narrarent quae debebant, aut cogeretur ab omnibus pacem accipere, utpote iam persuasis, nepotem imperatorem iusta et utilia petere: aut si recusaret, aperte contra aequum et bonum agere censeretur. Iam dies seni effluxerant, nulla interim legationis mentione facta, cum patriarcha diem proferri aegre ferens, admonet, diem sextum iam praeteriisse, nec adhuc quidquam ab episcopis ad nepotem missis

A.C. 1327 ἀρχιερέων ἐπύθου· δέον οὖν, ἐπεὶ καὶ ὁ χρόνος πρὸς διάσκεψιν ἱκανὸς, πυθέσθαι αὐτῶν ὅ,τι λέγουσιν." ὁ δὲ ἐπηγγείλατο ποιήσειν. ὡς δ' ἕτεραι τοσαῦται διεληλύθασιν ἡμέραι καὶ λόγος οὐδεὶς ἐγίνετο αὐτῶν, πάλιν πέμψας ὁ πατριάρχης, ἐδεῖτο τοῦ βασιλέως μὴ οὕτω τρίβεσθαι τὸν καιρὸν, ἀλλὰ τόν τε ἀρχιεπίσκοπον μετακαλεσάμενον καὶ τοὺς ἄλλους ἀρχιερεῖς, ὅ,τι τε ὁ ἔγγονος ἀπολογεῖται ἀκοῦσαι καὶ αὐτὸν σκεψάμενον ἐξ αὐτῶν τὰ λυσιτελοῦντα Ῥωμαίοις ποιεῖν. ὁ βασιλεὺς
C δὲ ἀπεκρίνατο, μηδενὶ αὐτὸν ἐξεῖναι ἀνερευνᾷν, ὅπως τὰ κατ' οἶκον πράγματα διεξάγει· αὐτῷ γὰρ μελήσειν ὁπότε καὶ ὅπως αὐτὰ δέοι οἰκονομεῖν· αὐτὸν δὲ, πατριάρχην ὄντα, τῶν ἐκκλησιαστικῶν ἐκέλευεν ἔχεσθαι φροντίδων, τῶν κοινῶν δὲ καὶ τῶν βασιλικῶν ἀπέχεσθαι πραγμάτων. τοιαῦτα μὲν ὁ βασιλεὺς εἰρήκει, οἰόμενος τὸν πατριάρχην καταπτήξαντα τοὺς
V. 123 λόγους, μᾶλλον ἂν ἀσπάσασθαι τὴν σιωπήν. ὁ δὲ εἰς τὴν ὑστεραίαν τοιαῦτα καὶ αὐτὸς μεμήνυκε πρὸς βασιλέα· „κράτιστε βασιλεῦ, τὸ τὰ δέοντα παραινεῖν καὶ συμβουλεύειν καὶ
D ἔτι προσαναγκάζειν πράττειν, οὔθ' ἑκὼν προήσομαι αὐτὸς, οὔτ' ἄκων δέει ληφθείς. εἰ δ' αὐτὸς τοιαύτῃ συζῆν ἐμὲ ἀπραγμοσύνῃ ἀξιοῖς, ὥστε μὴ φθέγγεσθαι μήτ' ἀκούειν μήτε δρᾷν, ἐχρῆν πρὶν τῆς ἐκκλησίας προστάτην προβαλέσθαι εἰπεῖν. κἂν μὲν καὶ αὐτῷ μοι καὶ δίκαια ταῦτα καὶ λυσιτελοῦντα ἐδόκει, στέργειν ἦν ἀνάγκη νῦν· ἂν δ' ἕτερα ἐνόμιζον

9. Intpr. leg. αὐτῶν.

eum audivisse: oportere igitur, quando satis diu deliberasset, audire quid dicerent. Facturum se promittit. Totidem diebus elapsis, rursum mittit patriarcha, rogans, ne ita tempus tereret: sed archiepiscopo et episcopis accersitis, quo pacto se nepos defendisset, cognosceret indeque videret, quid in rem Romanam esset. Respondet, nulli eorum licere inquirere, quonam modo ipse res domesticas moderetur: sibi enim curae fore, quando quave ratione illas administret: ipsum, ut patriarcham, ecclesiasticas curas versare, et a politicis imperatorumque negotiis abstinere debere. Talia denuntiavit imperator, quod patriarcham ea denuntiatione terrefactum, libentius taciturum confideret: qui sequenti luce per internuntium sic respondit: Ego, imperator optime, hortari, suadere et cogere insuper ad officium neque volens, neque invitus, ob timorem nimirum, praetermittam. Quod si tu in tali otio mihi degendum opinare, ut nec lingua utar, nec auribus, nec oculis, id mihi antequam ecclesiae huius antistes legerer, significare debuisti. Si tum ego quoque id pro aequo et bono probavissem, nunc necesse haberem boni consulere: sin aliud patriarcham decere iudicassem, alteri, cui talis vita proposita fuisset, thronum cessissem. Quoniam autem divino munere non solum germanam ecclesiae doctrinam defendo,

προσήκειν πατριάρχῃ, παρεχώρουν ἂν ἑτέρῳ τῶν θρόνων A.C. 1327
οὕτω ζῆν προῃρημένῳ. ἐπεὶ δὲ θεοῦ χάριτι οὐ τῶν ὀρθῶν
τῆς ἐκκλησίας δογμάτων προβέβλημαι μόνον, ἀλλὰ καὶ τῶν
ἀδικουμένων προΐστασθαι καὶ ὑπερμαχεῖν ἀνάγκην ἔχω, τοῖς
ἀδικεῖν ἐθέλουσι καὶ πλεονεκτεῖν οὐ παύσομαι διαφερόμενος
καὶ ἀντιλέγων, ἄν τε τῶν φαυλοτάτων τινὲς ὦσιν, ἄν τε τῶν P. 154
ὑπερλάμπρων καὶ εἰς αὐτὸ τὸ ἀκρότατον ἀφιγμένων τῆς εὐ-
τυχίας· καὶ μᾶλλον πρὸς ἐκείνους, ὅσῳ καὶ τὰ ἀδικήματα
μείζω καὶ πρὸς πλείονας ἐξάγοντα τὴν βλάβην. εἰ γὰρ μέλ-
λοιμεν τοῖς μὲν μικροῖς μικρά τινα ἀδικοῦσι μόνον ἐγκαλεῖν
καὶ τὴν ἀδικίαν ὀνειδίζειν, πρὸς δὲ τοὺς μεγίστους καὶ τὰ
μέγιστα βλάπτοντας ἑκόντες ὄντες διὰ τὸ ἀξίωμα σιωπᾶν καὶ
μηδὲ γρύζειν τολμᾶν, οὐδὲν διοίσομεν ἰατρῶν τῶν περὶ τρί-
χας μὲν καὶ ὄνυχας ἠσχολημένων καὶ τὴν τέχνην ἐν αὐτοῖς
ἐπιδεικνυμένων, ἐὰν δέ τι νόσημα παρεμπέσῃ τῷ ζώῳ λυμαι- B
νόμενον ὅλῳ, τούτου δὲ μηδεμίαν πρόνοιαν ποιουμένων, ἀλλ'
ἡγουμένων ἀρκεῖν, εἴγε καὶ αὐτοὶ καθήμενοι μετὰ τῶν ἄλλων,
ἀπολλύμενον ὁρῷεν. ἐγὼ δὲ καὶ πάνυ θαυμάζω μεμνημένος,
ὡς ἐκέλευσας ἐμὲ μὲν τὰ τῆς ἐκκλησίας πράττειν καὶ περὶ
αὐτὰ ἠσχολῆσθαι μόνα, σὲ δὲ ἐᾷν ὅπως ἂν δοκῇ τὰ τῆς βα-
σιλείας διοικεῖν. παραπλήσιον γάρ ἐστιν ὥσπερ ἂν πρὸς τὴν
ψυχὴν εἴποι τὸ σῶμα· οὐ δέομαι τῆς κοινωνίας καὶ τῆς συν-
αφείας τῆς σῆς, οὐδὲ συνεργὸν πρὸς τὰ πραττόμενα βούλο-
μαι ἔχειν, ἀλλ' ἐγὼ μὲν ὡς οἷόν τε ᾖ καὶ βούλωμαι, διοική-
σω τἀμά, σὺ δὲ φρόντιζε περὶ τῶν ἰδίων. πᾶσι μὲν οὖν
ἁμαρτάνουσιν ὥσπερ τι κοινὸν φάρμακον τὸ μετανοεῖν ἐπὶ

sed etiam iniuriam passis patrocinari eorumque tutelam gerere debeo, adversari et contradicere his non cessabo, qui, deserta aequitate, plus nimio sibi arrogant, sive illi infimi, sive summi ordinis et beatissimi fuerint. Atque istis quidem vehementius, quando videlicet eorum iniuriae maiores et pluribus detrimentosae sunt. Si enim obscuros tantummodo et modice iniuriosos in ius vocabimus et iniustitiam illis exprobrabimus, adversum summos autem summe nocentes, eorum splendorem dignitatemque reveriti, mutire non audebimus, nihil a medicis differemus, qui in capillis et unguibus occupati, suam ibi scientiam ostentant: sin morbus arripuerit, qui totum animal perdat, ei depellendo nihil faciunt, sed si una cum aliis sedentes, eius interitum aspiciant, sufficere arbitrantur. Nec mediocriter miror, dum recordor, iussisse te, ut res ecclesiae curem illisque solis vacem; te pro libidine imperium regere sinam. Simile enim est, ut si corpus animae diceret: Communione et coniunctione tua non indigeo, neque in rebus agundis administram sustineo: verum per me, ut potero et voluero, negotia mea procurabo: tu tibi

A.C. 1327 τοῖς πεπλημμεληκόσιν ἐδόθη, ἄν τε πρὸς θεὸν, ἄν τε πρὸς
C ἀνθρώπους ἡ πλημμέλεια ᾖ. οὐκ ἂν δὲ μεταγνοίη τις, ἂν μὴ
πρότερον ὑπεύθυνον νομίσας ἑαυτὸν, μετριώτερός τε γένηται
ἑαυτοῦ καὶ φέρων ἑαυτὸν τῷ παρ' αὐτοῦ δοκοῦντι ἠδικῆσθαι,
ὑποχείριον ποιήσῃ. τοῦτο τοίνυν βασιλεὺς ὁ σὸς ἔγγονος πρό-
τερόν τε φαίνεται ποιήσας, καὶ μᾶλλον ἢ προσῆκε καὶ νῦν
οὐχ ἥκιστα. καὶ γὰρ τότε δυνάμενος, εἴπερ ἠβούλετο, τῆς Ῥω-
μαίων ἡγεμονίας οὐκ ἔλαττον μέρος παρασπάσας ἔχειν, οὐκ
ἠθέλησεν, ἀλλὰ φέρων ἑαυτὸν ὑπέταξέ σοι, καὶ ταῦτα μηδε-
μίαν αἰτίαν πρὸς τὸν πόλεμον ἐκεῖνον παρασχών· καὶ, τὸ μέ-
D γιστον, ὅτι, τῆς εἰρήνης γενομένης, πρός σε ἐλθὼν, οὐκ ἠθέ-
λησεν ἔφιππός σοι προσελθεῖν, ὥσπερ νόμος τοῖς βασιλεῦσιν,
ἀλλὰ πεζῇ τε προσεκύνησε καὶ ἠσπάσατό σου τὸν πόδα, ὅπερ
δουλείας ἀκριβοῦς τεκμήριον ἦν. καὶ νῦν τοῦ πολέμου κινου-
μένου τουτουῒ, τοσοῦτον χρόνον καθήμενος, δεῖταί σου μὴ τὴν
εἰρήνην καταλῦσαι. ἐλθόντων δὲ καὶ τῶν ἀρχιερέων καὶ συγ-
κλητικῶν, οὓς ἔπεμψας πρὸς αὐτὸν, πρῶτον μὲν ἀπέδειξεν ἑαυ-
τὸν μηδὲν ἀδικοῦντα μετὰ πολλοῦ τοῦ περιόντος, ἀλλ' ἀδι-
κούμενον καὶ συκοφαντούμενον· ἔπειτα δὲ καὶ τοῦ μὴ λυθῆ-
V.124 ναι τὴν εἰρήνην εἰπέ τε πολλὰ καὶ ἔπραξεν ἄξια λόγου, καὶ
πρὸς σὲ μεμήνυκε πολλὰ, ἅπερ αὐτός τε ἀκούσας θεῷ τε εὐ-
P.155 χαρίστησα τῷ τοιαύτην αὐτῷ σύνεσιν χαρισαμένῳ καὶ ἐκεῖ-
νον ἐπῄνεσα τῆς καλοκἀγαθίας, καὶ σὲ ἐλογιζόμην ταῦτα πυ-
θόμενον, θεῷ τε χάριν ὁμολογῆσαι καὶ τὸν υἱὸν πέμψαντα

9. ἐπέταξε legebatur.

tua curato. Omnibus itaque peccantibus commune remedium dolor de peccatis praescribitur, sive in Deum, sive in homines offensum sit. Atqui nemo resipiscet, ni prius, culpa agnita, se ipso moderatior evaserit, illi se submittens, qui se ab ipso laesum putat. Hoc est, quod nepotem tuum et prius plus aequo, et nunc cumulatissime fecisse constat. Nam cum potuisset tunc parem principatus Romani partem tibi ablatam possidere, tamen noluit; sed tibi se subiecit, idque cum bello ulciscendum nihil peccavisset: quodque caput est, pace conciliata, ad te veniens, in equo propius adequitare pepercit: sed pedester te adoravit tuumque pedem osculatus est. Et nunc post bellum hoc excitatum tamdiu sedet, suppliciter orans, ne pacem velis irritam. Episcopis et primoribus abs te missis, primum quidem copiose ostendit, nihil se iniuriarum intulisse, quin potius accepisse et obtrectationibus exagitatum fuisse. Deinde pacis conservandae multa dixit fecitque memorabilia, et multa ad te perferenda commisit; quibus auditis, et Deo gratias egi, qui tali eum prudentia ornasset, et de probitate eundem commendavi, ac te, iisdem auditis, Deo gratias egisse opinabar, missisque certis hominibus, filium ad te quamprimum adducendum curavisse, mala imminentia profligasse, omnes

A.C. 1327

διὰ τάχους ἀγαγεῖν πρὸς σεαυτὸν, καὶ τὰ προσδοκώμενα δυσχερῆ λῦσαι καὶ εὐφροσύνης ἅπαντας καὶ θυμηδίας ἐμπλῆσαι τῆς ἐπὶ τῇ εἰρήνῃ τῶν βασιλέων ἡμῶν γενησομένης. σὺ δ' οὐ μόνον οὐκ ἐποίησας τοιοῦτον οὐδὲν, ἀλλὰ καὶ ἐμὲ τὰ δέοντα συμβουλεύοντα ἀπώσω, καὶ σιωπᾷν ἐκέλευσας καὶ μὴ περιεργάζεσθαι τὰ μὴ προσήκοντα. ἐμοὶ δὲ ἀνάγκην ἔχοντι τῶν ἀδικουμένων προΐστασθαι καὶ βοηθεῖν αὐτοῖς ὅση δύναμις, καὶ ὑπὲρ βασιλέως τὸ αὐτὸ ποιήσω, καὶ μᾶλλον ὑπὲρ B τούτου, ὅσῳ καὶ τὰ μέγιστα ἀδικεῖται καὶ οὐκ εἰς αὐτὸν μόνον, ἀλλ' εἰς πάντας Ῥωμαίους τῆς εἰς αὐτὸν ἀδικίας διαβαινούσης· ὃ δέ με τῶν ἄλλων μᾶλλον οὐκ ἐᾷ σιωπᾷν, ὅτι, σοῦ προστάξαντος, ὀλίγῳ πρότερον αὐτὸς αὐτὸν ἔχρισα βασιλέα. τὸν οὖν οὕτω νομίμως καὶ δικαίως καὶ κατὰ γνώμην σὴν γεγενημένον βασιλέα, νῦν ἀπελαύνεσθαι, καὶ ταῦτα ἐπ' οὐδεμιᾷ προφάσει, ποῦ δίκαιον; ἢ πῶς οὐκ ἂν νομισθείην ἄξιος πολλῶν κεραυνῶν, ἐπὶ τοιαύτῃ παρανομίᾳ σιωπῶν αὐτός; διὰ τοῦτό σου καὶ αὖθις δέομαι πρὸς τῆς ἀληθείας αὐτῆς, εἴ τι καὶ παρεσύρης πεισθεὶς ἀνθρώποις διεφθορόσι, ταχεῖαν ποιήσασθαι τὴν διόρθωσιν καὶ μὴ τῷ ψεύδει κατὰ τῆς ἀλη- C θείας ἰσχύσαι δοῦναι ῥοπήν." Τοιαῦτα μὲν ὁ πατριάρχης μεμήνυκε πρὸς βασιλέα, μηνυταῖς χρησάμενος τῷ τε χαρτοφύλακι Γρηγορίῳ τῷ Κουτάλῃ καὶ τῷ τῶν μοναστηρίων ἄρχοντι τῷ Κυβεριώτῃ. ἀκούσας δὲ ὁ βασιλεὺς, θυμῷ τε ἐλήφθη οὐκέτι ἀνασχετῶς καὶ προσέταξεν εὐθὺς, τοὺς μὲν μηνύσαντας τοὺς λόγους εἰς δεσμωτήριον ἐμβληθῆναι, Μακάριον δὲ τὸν μητροπολίτην Σεῤῥῶν ἐν τοῖς βασιλείοις καὶ αὐτὸν ὑπὸ φρου-

laetitia et iucunditate propter futuram inter vos concordiam complevisse. At tu non modo horum nihil praestitisti: sed insuper frugifera me consulentem repulisti, et tacere alienisque negotiis non immiscere iussisti. Cum autem muneris ac officii mei sit, oppressos tueri atque adiuvare quantum queam, id ipsum pro nepote tuo imperatore praestabo, tantoque magis praestabo, quanto abs te iniquius tractatus est: quam iniquitatem non ille modo, sed Romanorum universitas sentit. Quem ego (minus istuc, quam cetera silere possum,) tuo mandato paulo ante meis manibus imperatorem adeo legitime et iuste, te libentissimo, unxi et consecravi, eum nunc abs te sic nulla sua culpa expelli, quomodo iustum est? aut quomodo non multis perdendus essem fulminibus, si in tanto scelere linguam occlusam gererem? Quare denuo te per ipsam veritatem obsecro, ut in viam, unde perversorum mortalium opera detortus es, cito redeas, neve mendacium veritati praeponderare sinas. Haec patriarcha imperatori, internuntiis Gregorio Cutala chartophylaco et monasteriorum praeside Cyberiota. Quae cum audisset, intole-

A.C. 1327 ρᾷ εἶναι· τὸν μέντοι πατριάρχην τοῦ πατριαρχείου ἐκβληθέντα, ἐν τῇ μονῇ τῶν Μαγκάνων ἀπρόϊτον μένειν· τοὺς δὲ πρὸς D τὸν νέον βασιλέα παραγενομένους ἀρχιερέας μήτ' αὐτοὺς προϊέναι τῶν οἰκιῶν αὐτῶν, μήθ' ἑτέρους παρ' αὐτοὺς φοιτᾶν. ταῦτα μὲν οὖν ᾗ προσέταξεν ἐγένετο ὁ βασιλεύς. μετὰ δὲ τὴν ἐκ τοῦ νέου βασιλέως τῶν πρέσβεων ἀναχώρησιν πέντε πρὸς τῶν δέκα ἡμερῶν διηνυσμένων, ἐπεὶ μήτε παρὰ βασιλέως τοῦ πρεσβυτέρου, μήτε τοῦ πατριάρχου ἀπολογία τις ἀφίκετο πρὸς αὐτὸν, οὐκ ἐπ' ἀγαθῷ τεκμαιρόμενος εἶναι τὴν σιγὴν, ἅμα τῷ μεγάλῳ δομεστίκῳ καὶ πρωτοστράτορι ἐβουλεύοντο τί δέοιτο ποιεῖν. εἶπεν οὖν ὁ μέγας δομέστικος· „οὐκέτι δέον, ὦ βασιλεῦ, ἀπράκτους καθῆσθαι, ἀλλ' ἔργου ἔχεσθαι. οὐδὲ γὰρ ἔτι τινὸς ἐνδεῖν, ὃ πράξαντας ἐλπὶς τὸν πόλεμον καταλῦσαι. ὅ, τε γὰρ χρόνος, ὃν ἐνταῦθα καθήμενοι δεόμεθα βασιλέως, τοσοῦτον ὑπερήλασε καὶ τὸ δέον, ὥστ' ἤδη οὐ μεγαλοψυχία καὶ P. 156 καρτερία ἡ ἐπὶ πλέον παράτασις, ἀλλ' ἔκπληξις πρὸς τὰ δεινὰ καὶ ἀτολμία δόξαι ἄν τισι δικαίως· πρός τε βασιλέα οὐδὲν ὅ,τι παραλέλοιπας τῶν δεόντων, ἀλλὰ πρότερόν τε πολλάκις ἐπρεσβεύσω πρὸς αὐτὸν δεόμενος μὴ καταλῦσαι τὴν εἰρήνην, καὶ νῦν πρὸς τοὺς ἐκεῖθεν ἀφιγμένους πρέσβεις ὅσα ἦν ἐπιθυμοῦντος τὴν εἰρήνην, ἐνταῦθά τε εἶπας καὶ πρὸς ἐκεῖνον διεπρεσβεύσω. ὅ,τε παρελθὼν χρόνος μετὰ τὸ τοὺς πρέσβεις

2. Palatium et monasterium huius nominis aliis scriptoribus *Μάγγανα*; promiscue, ut *Φράγγος* et *Φράγκος*. *ED. P.* Interpres *ἀπρόσιτον*: *et ad eum neminem prorsus admitti*; sed hic et apud Gregoram est *ἀπρόϊτον*. *ED. P.*

rabili ira efferbuit praecepitque, illos in carcerem statim abduci, Macarium Serrarum metropolitam in palatio sub custodia teneri, patriarcham patriarchio eiectum, in Manganensi monasterio manere nec foras progredi, profectos vero ad nepotem episcopos neque ipsos aedibus suis pedem efferre, neque ad illos quemquam ventitare. Facta ad eius arbitrium omnia. Diebus quindecim a recessu legatorum transactis, cum neque ab avo, neque a patriarcha responsum afferretur, nihil boni ex hoc silentio coniiciens iunior, cum magno domestico et protostratore quid agendum esset, deliberationem instituit. Ibi magnus domesticus, Non ultra sedendum, sed manus operi admoliendas: nihil enim restare amplius, quo ab ipsis praestito, bellum quieturum spes sit. Nam et tempus, quo hic morarentur, imperatorem avum rogitantes, usque eo terminum excessisse, ut iam longior exspectatio non magnanimitati ac tolerantiae, sed consternationi in rebus arduis et ignaviae merito tribuenda videatur: et omnes officii partes erga illum expletas esse, cum et antea toties per legatos, ut pactis conventis staret, ab eo petiverit, et nunc cum iis qui illinc venerant legatis, quaecunque potuit quispiam pacis

ἐντεῦθεν ἀπελθεῖν ἱκανὸς καὶ περὶ τοῦ πράγματος βασιλέα A. C. 1327 διασκέψασθαι καὶ ἀπολογίαν δοῦναι, εἴ τι μετριώτερον διενοεῖτο. τὸ δ' ἐν τοσούτῳ χρόνῳ παρὰ βασιλέως τινὰ ἀπολογίαν μὴ ἐλθεῖν, τεκμήριον ἐναργὲς τοῦ μὴ προσδέξασθαι τὴν B εἰρήνην, ἀλλὰ πρὸς τὸν πόλεμον ἤδη φανερῶς χωρεῖν· καὶ V. 125 τοῦτο ἄν τις καὶ ἐξ αὐτοῦ τοῦ πράγματος στοχάσαιτο ἀσφαλῶς. ὁ γὰρ ἐν τοσούτῳ χρόνῳ τὰ πρὸς τὸν πόλεμον ἐξαρτυόμενος καὶ τοσούτους ἐς αὐτὸ τοῦτο πρὸς τὴν ἑσπέραν ἐκπέμψας, ὡς ἂν ἔχῃ χρῆσθαι μεγάλῃ παρασκευῇ πρὸς αὐτὸν καταστάς, οὐκ ἂν ῥαδίως τὰς ἐκεῖθεν πρόηται ἐλπίδας. διὸ οὐδὲ ἡμᾶς ἀπράκτους δεῖ καθῆσθαι, ἀλλὰ πανταχόθεν, ἀπεγνωκότας τὴν εἰρήνην, πρὸς τὸ ἀμύνεσθαι παρασκευάζεσθαι τοὺς ἐπιόντας." Τοιαῦτα τοῦ μεγάλου δομεστίκου εἰπόντος, καὶ ὁ πρωτοστράτωρ ἔργου ἅπτεσθαι παρῄνει. „εἰ μὲν γὰρ ἠγνοοῦ- C μεν" εἶπεν „ὅτι βασιλεὺς ἐκ πολλοῦ κεκίνηται πρὸς τὸ πολεμεῖν ἡμῖν καὶ πανταχόθεν ἑαυτῷ δύναμιν συναθροίζει καθ' ἡμῶν, ἐχρῆν διασκέπτεσθαι ἐπιπολὺ, μὴ, αὐτοῦ τῆς εἰρήνης ἐχομένου, ἡμεῖς δόξωμεν ἐξ ἀβουλίας πολέμου ἦρχθαι. ἐπεὶ δὲ τοῦτο ἐκ πολλῶν ἡμῖν γεγένηται καταφανὲς, καὶ οὐδ' αὐτὸς ἂν ἀρνήσαιτο βασιλεὺς, μὴ οὐκ αὐτὸς αἴτιος γεγενῆσθαι τοῦ νυνὶ πολέμου, ἀναγκαῖον καὶ ἡμᾶς ὅθεν ἄν τις ὠφέλεια ἥξει πράττειν." βασιλεῖ δὲ καὶ αὐτῷ μὲν οὐκ ἐπιπλέον ἔτι ἐδόκει μέλλειν, ἀλλ' ἀπελθόντας παρασκευάζεσθαι πρὸς τὸν πόλεμον, παρῄνει δὲ μηδὲ τὴν τελευταίαν ἐλπίδα τῆς εἰρήνης

cupidus, et hic coram locutus sit et per eosdem cum ipso egerit. Tempus elapsum post illorum discessum ad capiendum in hoc negotio consilium dandamque responsionem, si quid moderatum cogitaret, sufficere potuisse. Sed tanto intervallo tacere argumento esse manifesto, pacem repudiari, bellum apertum cogitari: id quod etiam ex re ipsa non dubia coniectura quispiam assequatur. Qui enim tantum temporis in apparatu militari consumpserit, tam multos ea gratia in occidentem emiserit, ut cum venisset, omnia affatim suppeditarent, spes sibi inde iniectas haud facile proiecturum. Quare nec ipsis tempus terendum, sed, pace iam desperata, ad propulsandam adversariorum vim undique subsidia comparanda. Excipiens magnum domesticum protostrator, eadem hortatus est. Si, inquit, imperatorem contra nos bellum pridem machinatum et undique copias in illud contrahere ignoraremus, circumspiciendum fuisset diligenter, ne, ipso pacem capessente, nos stulte bellum inceptaremus. Sed quoniam multa nobis liquidum faciunt, nec ipsemet inficiari possit, se armis istis causam et caput esse, nos quoque, undecunque utilitas aliqua affulserit, ea uti convenit. Ipsi quoque imperatori iuniori de cetero non cunctandum, sed e loco abeundum videbatur belloque insistendum. Admonebat tamen, spem pacis non

A.C. 1327 ἀπολιπεῖν, ἀλλ' αὐτοὺς πρὸς Βυζάντιον ἐλθόντας, δι' ἑαυτῶν
D τὴν εἰρήνην αἰτεῖν. κἂν μὲν αἰδεσθέντες καταλύσωσι τὸν πόλεμον, τὸ ζητούμενον ἠνῦσθαι· ἐὰν δὲ μὴ, θεὸν ἐπιμαρτυραμένους καὶ αὐτοὺς Βυζαντίους, ὡς παντὶ τρόπῳ τὴν εἰρήνην αἰτοῦντες ἀπωθοῦνται ὑπ' αὐτῶν, ἀναχωρεῖν. ὁ μέντοι μέγας δομέστικος „πρὸς μὲν Βυζάντιον" εἶπεν „ἐλευσόμεθα, καθάπερ ἐκέλευσας, βασιλεῦ· πάνυ δὲ θαυμάζω, ὅτι τοσαῦτα καὶ τοιαῦτα πρὸς τὸ μὴ καταλυθῆναι τὴν εἰρήνην πραγματευσαμένων ἡμῶν καὶ πλέον ἠνυκότων μηδὲν, τὴν αἰδῶ ἤλπισας μόνην τοῦτο ἂν ποτε δυνηθῆναι. συγγνώμη δ' ὅμως τοῦ λόγου, τοῖς ὑπὸ πυ-
P. 157 ρετοῦ λαύρου κατεχομένοις πάσχοντι ταὐτόν. ἐκεῖνοί τε γὰρ ἀεὶ κρήνας δὑάσι καὶ ποταμοὺς τῷ νῷ καὶ πάντα χρήματα ὕδωρ ἀναβλύζειν αὐτοῖς ἀξιοῦσι καὶ δυσχεραίνουσι τούτου μὴ γινομένου, καίτοι γε εἰδότες σαφῶς, ὡς ἀδύνατα ἀξιοῦσι· καὶ σοὶ τῆς εἰρήνης σφόδρα περικαῶς ἐχομένῳ, οὐδὲν θαυμαστὸν καὶ τὰ πάντη ἀνέφικτα ἡγεῖσθαι δυνατὰ, καὶ ἐξ ἀπόρων, τὸ λεγόμενον, πόρους ἐπινοεῖν. ἐγὼ δὲ ἄλλοις τε πολλοῖς ἀπηγόρευκα τὴν εἰρήνην καὶ τῷ ἐπὶ τοσαύταις ἡμέραις μηδὲν τὸν πατριάρχην σοὶ μεμηνυκέναι. ἔστι μὲν γὰρ ὑπονοεῖν διὰ τὸ τὰς
B τῆς πόλεως πύλας ἀσφαλῶς φρουρεῖσθαι, μηδ' αὐτῷ ἐξεῖναί τινα πέμψαι πρὸς ἡμᾶς· ἐμοὶ δὲ δοκεῖ οὐ διὰ τοῦτο μᾶλλον ἢ διὰ τὸ μὴ κακῶν ἄγγελος γενέσθαι ἀσπάσασθαι τὴν σιωπήν." οἱ μὲν οὖν τοιαῦτα πρὸς ἀλλήλους βουλευόμενοι εἶπον.

10. Excidit, ni fallor, *σοὶ* post *λόγου*.

ἕνεκα καὶ τέκνων, ἅμα δ', ὅτι μικρόν τε ὂν τὸ πόλισμα καὶ καρτερὸν ἀπό τε τειχῶν καὶ τῆς τοῦ τόπου κατασκευῆς, ῥᾴδιόν ἐστιν εἰς φυλακήν. κἂν φθάσωσιν αὐτὸ προκατασχεῖν, διαφεύξεται μὲν οὐδ' οὕτω τὸ μὴ ἁλῶναι παρ' ἡμῶν, παρέξει δὲ πολλὴν τὴν δυσχέρειαν καὶ τὴν τριβὴν καὶ τὸν πόνον ἐν τῷ πολιορκεῖσθαι. ἐὰν δὲ νῦν παραγενώμεθα ἡμεῖς, οἱ αὐτόθι δυνατώτατοι καὶ τοὺς ἄλλους ἄγοντες καὶ φέροντες οἷ ἂν βούλωνται, ἐκ πολλοῦ προσκείμενοι ἐμοὶ, ῥᾶστα παραδώσουσι τὸ πόλισμα ἡμῖν· μᾶλλον δὲ καὶ πρὶν ἡμᾶς ἥκειν ἐκεῖ, ἂν βα- D
σιλέως τε προστάγματα καὶ γράμματα ἐμὰ πρὸς αὐτοὺς ἥξει, ἐκ παντὸς τρόπου σπουδάσουσι τὰ κελευόμενα ποιεῖν. κἂν τις καὶ τῶν εἰρημένων ἀφίκηται πρὸς αὐτοὺς, οὐκ ἂν εἰσδέξωνται. Καστορίας δὲ καὶ αὐτῆς ὀχυρωτάτης οὔσης διὰ τὸ παντα-

1. πραττόντων egregie supplevit ED.P., quod excidisse apparet ob similitudinem vicini vocabuli.

cupiebant, mox abiit et in palatio cum primoribus, quos secum adduxerat quique Thessalonicae erant, quo potissimum iret consultavit, quando res cogeret non quiescere. Omnes Berrhoeam eundum suadebant. Magnus domesticus Berrhoeam omittendam, Edessam et inde Castoriam iter dirigendum censebat, causis adiunctis, nempe, Demetrium despotam et Monomachum praefectum et Raulem Isaacium habere Edessae uxores suas cum liberis, esseque consentaneum, ut omni studio conatuque adhibito et horum causa eam subigerent; et quia cum sit parvum oppidum, natura et operibus firmum, facile contra hostem defendi posse. Et quamvis eam illi praeoccuparint, ne sic quidem effugituram, quin ab ipsis recipiatur: multas tamen in eius obsidione difficultates ac labores et diu subeundos fore. Si vero nunc advenerimus, inquit, qui illic sunt, auctoritate principes plebeiosque ac tenuiores versant quo lubet, cum iam pridem sint in amicis meis, promptissime oppidulum tradent. Immo vero etiam antequam eo venerimus, si imperatoris mandata cum litteris meis acceperint, omni ratione iis parere enitentur: et si quis de praedictis ducibus ad eos accesserit, eum haud intromittent. Castoriam autem et ipsam, propter

A. C. 1328 χόθεν περικλύζεσθαι τῇ λίμνῃ, ὁ τοῦ πρωτοβεστιαρίου γαμβρὸς ὁ Ἄγγελος ἄρχει, ὃς ἐμοί τε ἔγγιστα προσήκει κατὰ γένος καὶ πολλὴν ἐμοὶ τὴν εὔνοιαν καὶ τὴν εὐπείθειαν ὀφείλει, ἐκθρεψαμένῳ τε αὐτὸν καὶ τὰ πολέμια διδάξαντι· καὶ διὰ τὴν πρὸς ἐμὲ φιλίαν ῥᾷστα πρωτοβεστιάριον ἂν πρόηται τὸν κηδεστὴν, καὶ ἡμῖν τὴν πόλιν παραδοίη. ταῦτα δὲ ἡμῖν κατασχοῦσιν, αὐτόκλητοι προσχωρήσουσιν οἱ Βεῤῥοιῶται· δοκῶ P. 169 μοι δὲ, αὐτοὺς καὶ πρὶν ταῦτα εἰς πέρας ἥκειν εἰς τὴν ὑστεραίαν ἢ καὶ τρίτην ἡμέραν ἂν ἐλθεῖν παραδώσοντας τὴν πόλιν." τοιαῦτα τοῦ μεγάλου δομεστίκου βουλευσαμένου, ὅ, τε βασιλεὺς συνέθετο εὐθὺς, καὶ οἱ ἄλλοι συνεπεψηφίζοντο ἐπαινέσαντες τὴν βουλὴν, καὶ ἐκεκύρωτο τὴν ἐπὶ Ἔδεσσαν ἰέναι. αὐτίκα τε προστάγματα βασιλέως καὶ τοῦ μεγάλου δομεστίκου γράμματα διὰ ταχυδρόμων ἱππέων πρός τε Ἔδεσσαν ἐπέμφθησαν καὶ Καστορίαν. καὶ Ἄγγελος μὲν ὁ Καστορίας ἐπίτροπος εὐθὺς τὴν πόλιν εἶχε διὰ φρουρᾶς, ὡς βασιλεῖ τῷ νέῳ, B ὅταν ἀφίκηται, παραδώσων. οἱ δ' ἐν Ἐδέσσῃ δυνατοὶ, οἵ τε Ἄγγελοι Ῥαδίποροι ἐπικεκλημένοι, τρεῖς ὄντες ἀδελφοὶ, καὶ ὁ Λάσκαρις, ἐπεὶ τὰ προστάγματα ἐδέξαντο βασιλέως, μηδεμίαν ποιησάμενοι ἀναβολὴν, ἐπεὶ καὶ ὁ δῆμος Ἐδεσσηνῶν τῆς αὐτῶν ἐξήρτητο γνώμης, τήν τε βασίλισσαν τὴν Δημητρίου τοῦ δεσπότου γαμετὴν καὶ τὴν ἐπάρχου τοῦ Μονομάχου καὶ τὴν Ῥαοὺλ περιώρισαν ἐν οἰκίαις, καὶ ἐφύλαττον περιστήσαντες φρουράν. μετὰ μικρὸν δὲ οἱ ἄνδρες αὐτῶν ἐλθόντες, ἐπεὶ εὕρισκον Ἐδεσσηνούς τε αὐτῶν ἀφεστηκότας καὶ εἰρχθείσας

25. εἰρχθείσας corr. N. pro ἠχθείσας idemque legit Intpr.

lacum, quo cingitur, munitissimam, Angelus protovestiarii gener procurat; qui mihi et cognatione propinquissimus est, et ut educatori ac magistro suo in re bellica gratiam obedientiamque non vulgarem debet: ac propter necessitudinem mutuam protovestiarium quamvis socerum facillime deserens, nobis oppidum dedet. Cum ista obtinuerimus, Berrhoeitae ultro se dedent: quos etiam, priusquam haec peragantur, cras aut perendie urbem suam traditum venturos existimo. Huic consilio subscripsit statim imperator, aliique id ipsum laudantes approbarunt. Iamque fixum ac ratum erat Edessam petere, et illico tam ipsius imperatoris mandata, quam magni domestici litterae per citatissimos equites eo et simul Castoriam mittebantur. Atque Angelus quidem Castoriae praefectus mox urbi custodes adhibuit: utpote imperatori adventanti deditionem facturus. Qui Edessae potentia eminebant, Angeli Rhadipori cognominati, fratres trigemini, et Lascaris, acceptis mandatis, citra procrastinationem, quod et populus Edessenus ab eorum nutu auctoritateque pendebat, uxores trium eorum, quos supra nominavimus, ipsarum aedibus circumscripserunt

τὰς γυναῖκας, τραπόμενοι ἔφευγον πρὸς τὸν ἄρχοντα τῶν Τρι- A. C. 1328
βαλῶν. ὡς γὰρ ἐπύθοντο ἔτι ἐν Φεραῖς ὄντες, ὡς βασιλεὺς
τὴν πρὸς Θεσσαλονίκην φέρουσαν ἐτράπη, ἤλπισαν μὲν οὐδ' C
ἐπὶ μικρὸν αὐτῷ τὴν πόλιν προσχωρήσειν, ἀσφαλείας δὲ ἕνε-
κα τοὺς τριακοσίους ἔπεμψαν ὡς τὴν ἀκρόπολιν καθέξοντας·
ἐπεὶ δὲ ἐπύθοντο ὡς ἥ τε Θεσσαλονίκη προσεχώρησε βασιλεῖ,
καὶ οἱ τριακόσιοι, οἱ μὲν ἀπέθανον, οἱ δ' ἐζωγρήθησαν ὑπὸ
τῶν βασιλικῶν, πᾶσαν ἐλπίδα σωτηρίας ἤδη περιαιρεθέντες,
πρὶν ἔκπυστα τοῖς πᾶσι γενέσθαι τὰ συμβάντα, τὴν στρατιὰν
ὅση ἦν ἀναλαβόντες, προσχήματι μὲν ᾔεσαν ὡς ἐπὶ Θεσσαλο-
νίκην, ὡς οὔπω ἑαλωκυῖαν περιποιήσοντες, ἵνα μὴ δοκοῖεν
ἐκλιπόντες Φερὰς καὶ τὰς ἄλλας τῆς Μακεδονίας πόλεις φεύ-
γειν· τῇ δ' ἀληθείᾳ, ὡς ἕκαστος χωρήσοντες οἷ ἂν αἵ τε γυ- D
ναῖκες καὶ τὰ τέκνα ᾖ. ἐπεὶ δὲ ἐξελθόντες ἀπὸ Φερῶν εἴχοντο
ὁδοῦ ὅσοι τε ἐκ Θεσσαλονίκης συνεστρατεύοντο αὐτοῖς, ἐπεὶ
ἐπύθοντο ἑαλωκυῖαν, ἀποστάντες αὐτῶν, ἐχώρησαν πρὸς βασι-
λέα· καὶ οἱ Βεῤῥοιῶται τὰ ἐν Βοδηνοῖς πυθόμενοι συμβάντα,
ταὐτὰ τοῖς ἐκ Θεσσαλονίκης ἐποίουν· τό, τε συστρατευόμενον V. 136
αὐτοῖς ὑπήκοον Ῥωμαίοις στράτευμα Μυσῶν ἤδη καὶ ἐνεω-
τέρισε φανερῶς. ἐντυχόντες γὰρ τοῦ πρωτοβεστιαρίου βοσκή-
μασι πολλοῖς, διήρπασαν αὐτά, αὐτοῦ παρόντος καὶ προσεποιή-
σαν ἑαυτοῖς. ἐπιχειροῦντι δὲ ἀνασώζειν τὰ διαρπασθέντα,

17. *ἐν Βοδηνοῖς* Intpr. vertit *Edessae*, quippe urbs ista hoc etiam nomen sortita est; unde et in Graecia Sophiani dicitur *Vodena*, et in tabulis Georgii Chrysococcae *Βόδενα*. *ED. P.* Vid. Meletii Geograph. II. p. 472.

et excubiis circumdederunt. Paulo post advenientes mariti, cum Edessenos in se insurrexisse suasque mulieres conclusas invenissent, fugam ad Tribalorum principem fecerunt. Nam cum adhuc Pheris audissent, imperatorem Thessalonicam iter suscepisse, ne minimum quidem in timorem venerant, urbem se illi permissuram: ad arcem tamen tutius retinendam trecentos illos submiserunt. Deinde ubi Thessalonicam se sub imperatoris potestatem subiecisse et illos trecentos partim occisos, partim captos intellexerunt, omni iam spe salutis deplorata, priusquam evulgarentur quae omnibus contigissent, copiis quantae erant assumptis, simularunt quidem, se Thessalonicam ire, quasi nondum captam asserturi, ne, Pheris ceterisque Macedoniae urbibus relictis, fugam inire putarentur, sed revera quisque ubi uxor et liberi erant abituri. Posteaquam Pheris egressi, viam invaserunt, quotquot Thessalonicenses sub iis militabant, urbem occupatam resciscentes, ab eis ad imperatorem transierunt; idemque Berrhoeitae, cognitis quae Edessae contigerant, facere non dubitarunt: et qui sub illis merebant Moesi Romanis subiecti, iam libere novas res audebant. Nam cum in magnos protovestiarii greges incidissent, ipso inspectante, ad usum suum eos abigebant. Qui cum

A.C. 1328 οὐ μόνον οὐκ ἐπείθοντο, ἀλλὰ καὶ τῶν σκευοφόρων αὐτοῦ τινα ἀφείλοντο τὸν ἵππον, ἔργῳ διδάσκοντες ὡς εἰ μὴ ἀγαπῴη, χωρήσοντες καὶ κατ᾽ αὐτοῦ. ἥ τε λοιπὴ ἅπασα στρα- P. 170 τιὰ καὶ οἱ ἐκ τῶν ἑσπερίων πόλεων παρόντες δυνατοὶ, τῶν βασιλέως πραγμάτων ἤδη φανερῶν γεγενημένων, ἐκλιπόντες τοὺς στρατηγοὺς, πάντες ἦλθον ὡς αὐτόν. δείσας δὲ ὁ πρωτοβεστιάριος εἰς Ἀχρίδα ἐλθεῖν, (ἐκεῖ γὰρ ἦν καταθέμενος τὴν γυναῖκα καὶ τὰ τέκνα,) ὅτε κατὰ βασιλέως ἅμα τῷ στρατεύματι ἐχώρει, ἅμα δεσπότῃ καὶ τοῖς λοιποῖς, εἰς πεντήκοντα καὶ ἑκατὸν ὄντες, ἐχώρησαν πρὸς Κράλην τὸν ἄρχοντα τῶν Τριβαλῶν. Φεραῖοι δὲ, ὅσοι ἦσαν ἐκ Βυζαντίου δεσπότῃ καὶ τοῖς ἄλλοις ἑπόμενοι στρατηγοῖς, ἐπεὶ ἐλεί- B ποντο ἐκεῖ ἀναχωρούντων, πάντα συσχόντες, τὰ ὄντα μὲν διήρπασαν αὐτοῖς, αὐτοὺς δὲ ὑπὸ δεσμοῖς ἤγαγον ὡς βασιλέα. βασιλεὺς δὲ ἐπεὶ ἐδέδοκτο τὴν ἐπὶ Ἔδεσσαν ἰέναι, ἐξελθὼν Θεσσαλονίκης, δευτεραῖος ἦλθεν εἰς αὐτά. οἱ Ἐδεσσηνοὶ δὲ ἐξελθόντες πανδημεὶ, προσεκύνησάν τε βασιλέα καὶ τὸ πόλισμα παρέδοσαν. τὰ μὲν οὖν ἄλλα ᾗ αὐτῷ ἐδόκει διῴκει ὁ βασιλεύς· ὅσα δὲ ἦν αὐτόθι χρήματα δεσπότῃ καὶ τοῖς ἄλλοις στρατηγοῖς, ἃ μὲν ἂν ᾖ ἴδια ταῖς γυναιξὶ, ταῦτ᾽ ἔχειν προσέταξεν αὐτὰς, καὶ μηδένα ἀδικεῖν, ἃ δ᾽ ἂν ᾖ τῶν ἀνδρῶν, αὐτῷ μηνυθῆναι, ὡς ἂν αὐτὸς διαγνῷ περὶ αὐτῶν. αἱ μὲν οὖν ἄλλαι τὰ ἴδια μεμηνύκεσαν καὶ τὰ τῶν ἀνδρῶν, βα- C σίλισσα δὲ ἡ τοῦ δεσπότου γαμετὴ, δείσασα μὴ τὰ χρήματα ἀφαιρεθείη, ὀλίγα μὲν ἐκ τῶν ἐνόντων ἐποίησε φανερὰ, τὰ

rapta recuperare contenderet, non modo non cesserunt, sed cuidam praeterea eius caloni equum sarcinarium abstulerunt; facto monentes, ni boni consuleret, se illum quoque invasuros. Reliqua insuper copia, quique ex occidentalibus oppidis opulenti et illustres aderant, fortuna imperatoris iam conspicua, universi, desertis ducibus, ad eius rationes se adiungebant. Protovestiarius formidans Achridem ire, ubi uxorem cum prolibus deposuerat, quando exercitum adversus imperatorem ducebat, item despota ceterique ad Cralem Tribalorum principem discesserunt, numero quinquaginta supra centum. Pheraei autem quicunque Byzantio despotam aliosque duces secuti fuerant, cum ab aliis ibi abeuntibus desererentur, comprehensis omnibus ac despoliatis, ad imperatorem eos in vinculis adduxerunt; qui Thessalonica egressus, postridie, ut decreverat, Edessam venit; cui extra portam obviam procedentes incolae eumque adorantes, urbem dediderunt. Ac cetera quidem qua illi ratione collibitum est, instituit: de rebus autem despotae et ducum ceterorum, quae essent uxorum propriae, eas illis citra iniuriam dimitti iussit: quae autem virorum, ad se referri, ut de iis ipse decerneret. Aliae igitur omnia, regina despotae coniux verita, ne privaretur, pauca de summa indicavit,

πλείω δὲ μοναχῷ τινι παρακατέθετο φυλάττειν. καὶ διέλαθόν A. C. 1328 γε ἄχρι καιροῦ· ἔπειτα φωραθέντος τοῦ μοναχοῦ μετὰ χρόνον τινὰ ὑπὸ τῶν ἐπιτροπευόντων ἐν ἐκείνοις τοῖς χωρίοις, ἄλλοτε ἄλλα διηρπάσθη. ἐπεὶ δὲ ἀνηνέχθη τῷ βασιλεῖ περὶ τῶν χρημάτων, τά τε ἴδια καὶ τὰ τῶν ἀνδρῶν προσέταξεν ὁ βασιλεὺς ἔχειν τὰς γυναῖκας, ὡς ἂν ἔχοιεν καὶ τοῖς ἀνδράσι χορηγεῖν ἐπὶ τῆς ξένης· αὐτὰς δὲ ἐκ Βοδηνῶν ἀχθῆναι εἰς Θεσσαλονίκην, κἀκεῖθεν εἰς Διδυμότειχον, ἵν' ἐκεῖ D συνδιάγοιεν τῇ βασιλίδι. καὶ ἐπληροῦτο τὰ κεκελευσμένα.

νέ. Εἰς τὴν ὑστεραίαν δὲ ἀπάρας ἐξ Ἐδέσσης, ἦλθεν εἰς Καστορίαν· καὶ εἰσεδέξατο αὐτὸν ὁ ταύτης ἐπιτροπεύων Ἄγγελος χαίρων, καὶ παρέδωκε τὴν πόλιν. ἦν γὰρ δὴ καὶ P. 171 πρότερον τὴν ἄφιξιν προσδεχόμενος αὐτοῦ, ἐξ ὅτου πρὸς αὐτὸν V. 137 ἐκ Θεσσαλονίκης προστάγματά τε ἐκείνου καὶ τοῦ μεγάλου δομεστίκου γράμματα ἐπέμφθη, καὶ τὴν πόλιν εἶχεν ἐν φυλακῇ ἕνεκα αὐτοῦ. μεταξὺ δὲ τὴν πρὸς Καστορίαν ὁδεύων ὁδὸν, τόν τε Βοησίλαν τῶν Μυσῶν δεσπότην καὶ Βρυέννιον τὸν μέγαν δρουγγάριον καὶ Ἐξώτροχον τὸν μέγαν ἑταιρειάρχην ἅμα δισχιλίοις ἱππεῦσι στρατιώταις ἀπολεξάμενος, τὴν πρὸς Ἀχρίδα ἐκέλευσεν ἰέναι, εἴ πως δυνηθεῖεν τὸν πρωτοβεστιάριον φθάσαντες παρελθεῖν εἰς αὐτήν. καὶ βαδίσαντας συντόνως, ἐπεὶ προτεραίᾳ ἦλθον, εἰσεδέξαντο αὐτοὺς οἱ Ἀχριδηνοὶ B ἀνοίξαντες τὰς πύλας· ἤδη γὰρ ἅπαντα ἀφίσταντο πρὸς βασιλέα τὸν νέον, καὶ ἀναγκάζοντος μηδενός· πρωτοβεστιάριος δὲ ἐπεὶ ὑστέρησε, πυθόμενος ἑαλωκυῖαν τὴν Ἀχρίδα,

4. ἄλλοσε Intpr. legisse videtur: *alió.*

maiore parte apud monachum quendam deposita. Et latuerunt sane ad tempus; deinde monacho ab illorum locorum praefectis deprehenso, alio alia direpta sunt. Ubi vero de rebus illorum imperatori significatum est, et suas et maritorum res ipsas feminas sibi habere iussit, ut in viros, locis exteris viventes, quod erogarent ne deesset; ipsas autem Edessa Thessalonicam, inde Didymotichum abduci, illic cum imperatrice victuras. Quod quidem ita factum est.

55. Postera luce Edessa excedens, Castoriam init, cuius praefectus Angelus cum laetitia illum excipit et urbem tradit. Nam ex quo Thessalonica eius mandatum cum magni domestici litteris acceperat, adventum opperiebatur oppidumque ea gratia custodiebat. Castoriam iter agens, Boësilam Moesorum despotam et Bryennium magnum drungarium et Exotrochum magnum hetaeriarcham cum duobus selectorum equitum millibus Achridem mittit, si qua possent protovestiarium antevertentes, eam ingredi. Qui continenter equitantes, quia priores venerant, ab Achrideno populo, portis apertis, intromissi sunt; iam enim omnes, quamquam nullius coactu, ad iuniorem im-

A.C. 1328 τὰς σωζούσας ἐλπίδας ἀπογνοὺς, ηὐτομόλησε μετὰ τῶν ἄλλων εἰς Κράλην. καὶ ἐπεχείρουν πείθειν αὐτὸν, πόλεμον ἄρασθαι πρὸς βασιλέα, εἴ πως δι' αὐτοῦ δυνηθεῖεν ἀναμαχέσασθαι τὴν ἧτταν. καὶ πεισθεὶς αὐτοῖς, ἦλθεν ἄχρι μεθορίων τῆς αὐτοῦ καὶ Ῥωμαίων γῆς, στρατὸν ἐπαγόμενος πολύν. βασιλεὺς δὲ ἡμέραν μίαν αὐλισάμενος ἐν Καστορίᾳ, ἄρας ἐκεῖθεν, ἦλθεν εἰς Ἀχρίδα. καὶ ἐκέλευσε τὴν πρωτοβεστιαρίου C γαμετὴν ὅσα ἔχει χρήματα λαβοῦσαν, εἰς Θεσσαλονίκην ἐλθεῖν, ὡς ἅμα ταῖς ἄλλαις ἀφιξομένην εἰς Διδυμότειχον. ἡ δὲ ὑποπτεύσασα, μὴ οὐκ ἀληθῆ τὰ λεγόμενα ᾖ, καὶ δείσασα περὶ τοῖς χρήμασι, τοῖς φίλοις παρακατέθετο φυλάττειν· αὐτὴ δὲ ἰσχυρίζετο μηδὲν ἔχειν. ἐκείνη μὲν οὖν ὡς εἶχεν ἅμα καὶ ἑτέραις γυναιξὶν ἤχθη εἰς Θεσσαλονίκην. καὶ μετὰ μικρὸν εὕρηνται αὐτῆς παρά τινι κεκρυμμένα κόσμοι τε γυναικεῖοι καὶ ἕτερ' ἄττα, χρυσίων δισμυρίων ἄξια τιμῆς· ὀλίγαις δὲ ὕστερον ἡμέραις προσελθών τις τῷ μεγάλῳ δομεστίκῳ καὶ D ἀναμνήσας παλαιᾶς τινος εὐεργεσίας, ἣν ὑπ' αὐτοῦ ἦν πεπονθὼς, ἔλεγε δίκαιον εἶναι καὶ αὐτὸν ὅ, τι ἂν δύναιτο ἀντευποιεῖν, καὶ ἐμήνυεν αὐτῷ, ὡς εἰδείη τοῦ πρωτοβεστιαρίου χρήματα ὅπου κρύπτοιτο πολλά. πέμψας δὲ ὁ μέγας δομέστικος τῶν πιστοτάτων οἰκετῶν τινα, ὑφηγουμένου τοῦ μεμηνυκότος, τὰ χρήματα ἤχθη πρὸς αὐτὸν ἐν δυσὶ κιβωτίοις, ἐν οἷς ἦν ἀγγεῖόν τι ἐκ χαλκοῦ πεποιημένον, δισχιλίους καὶ μυρίους ἔχον χρυσοῦς, καὶ ζῶναι καὶ ἐκπώματα ἐκ χρυσοῦ πεποιημέ-

2. Scripsit, ni fallor, ὡς Κράλην. 3. Pro ἀναμαχέσασθαι legebatur ἀνακαλέσασθαι.

peratorem desciverant. Protovestiarius serius adveniens oppidumque receptum audiens, spe, qua sustentabatur, abiecta, cum reliquis ad Cralem profugit: cui bellum contra imperatorem persuadere instituit, si forte per ipsum sua damna reparare posset. Crales eorum verbis impulsus, ad confinia sua Romanorumque ingentem exercitum adducit. Imperator unum diem Castoriae commoratus, Achridem venit uxoremque protovestiarii cum omni re sua Thessalonicam ire, inde cum ceteris feminis Didymotichum profecturam iussit. Illa suspicata, sibi verba dari, et gazae suae metuens, amicis asservandam concredidit affirmavitque, nullam se habere: atque ita Thessalonicam deducta est. Haud diu post eius mundus et alia nonnulla, vicenis aureorum millibus aestimata, apud nescio quem reperta sunt. Pauci dies abierant, cum quidam ad magnum domesticum adiens, veteris cuiusdam meriti, quod ille in se collocasset, memoriam ei renovavit dixitque aequum videri, ut bene merito beneficium redderet pro viribus: se nosse, ubi protovestiarii magna vis pecuniae lateret. Misso de famulis uno et fidelissimo, indice illo praemonstrante, allatae sunt arculae duae, in quibus vas aeneum et in eo

να καὶ ἄργυρος ἄσημος καὶ γυναικεῖοι κόσμοι καὶ ἕτερ' ἄττα A.C. 1328 τετρακισμυρίων ἄξια χρυσίων. τῷ μὲν οὖν τὰ χρήματα μεμηνυκότι λόγοις τε ὁ μέγας δομέστικος ὡμολόγει χάριτας καὶ ἔργοις ἐποίει εὖ· βασιλεῖ δὲ προσελθὼν, τά τε χρήματα ἐμήνυεν ὡς εὕρηνται, καὶ ἐδήλου καὶ τὸν ἀριθμόν. βασιλέως δὲ „οὐκοῦν" εἰπόντος „σὲ τὸν εὑρηκότα δίκαιον ἔχειν" „ἀλλ' οὔ- P.172 τε πρότερον" εἶπεν αὐτὸς „ἐν τοῖς τοῦ πολέμου καιροῖς οὔτε πλείω οὔτ' ἐλάττω χρήματα ἀφειλόμην τινὸς, ὥσπερ οἶσθα καὶ αὐτός· οὔτε τούτων ἂν ὀφθείην ἥττων νῦν." „ἀλλ' οὐδὲν" ἔφη „θαυμαστὸν" ὁ βασιλεὺς „εἰ πολλὰ ὑπ' αὐτῶν ἀφῃρημένος καὶ μάλιστα πρωτοβεστιαρίου τουτουῒ, ὀλίγα ἄττα ἐκ τῶν αὐτοῦ ὠφεληθήσῃ." „αὐτὸ μὲν οὖν τοῦτο μᾶλλον" εἶπε „θαυμαστὸν, εἰ πολλὰ ὑπ' αὐτῶν καὶ μάλιστα κατὰ τὸν δεύτερον πόλεμον ζημιωθεὶς, καιροῦ παρασχόντος, οὐκ ἠθέλησα ἀμύνασθαι τοῖς ἴσοις, νυνὶ δὲ ὀλίγων ἕνεκα χρημάτων τό, τε B ἐξ ἀρχῆς ἦθος διαφθερῶ καὶ ἥττων ἀδίκου λήμματος καὶ κέρδους ἂν φανῶ· ἀλλὰ μᾶλλον αὐτὰ στρατιώταις καὶ ἄλλοις οἷς ἂν ἐθέλῃς κέλευσον διανεμηθῆναι." βασιλεὺς μὲν οὖν ἐπείθετο εἰπόντι, καὶ τὸν χρυσὸν ὅσος ἦν ἐκέλευσε διανεμηθῆναι V.138 τῇ στρατιᾷ· ὅσα δὲ ἦν ἔπιπλα καί τινα ἐκ τῶν σκευῶν τῶν εὐπατριδῶν διεδόθη τισὶ, καὶ τὰ λειπόμενα τῷ βασιλικῷ προσήχθη ταμιείῳ. ὀκτὼ δὲ ἡμέραις τῇ Ἀχρίδι ἐνδιατρίψαντα βασιλέα οἵ τε τὰς Δεαβόλεις νεμόμενοι Ἀλβανοὶ νομάδες καὶ

22. Ἀχρίδι recte ED. P. pro Ἀχρίδα.

aureorum nummum duodena millia et zonae et pocula aurea: argentum praeterea non signatum et ornamenta muliebria et alia quaedam, quorum omnium pretium ad quadraginta millia ascendebat. Indici igitur magnus domesticus et verbis gratias egit et rebus benefecit. Convento imperatore, de pecunia, quomodo inventa et quam grandis esset, narravit. Tum imperator, ergo tu inventor ista tibi habeas, ut iustum est. Atqui, inquit domesticus, nec antea belli tempore vel multam vel modicam cuiusquam tuli pecuniam, quemadmodum tute nosti: nec ab ista modo vinci velim. Haud mirum ac novum, subiicit imperator, cum multa alii tibi abstulerint, praecipue protovestiarius, si vicissim pauca quaedam ex eius rebus ad tuam utilitatem redeant. Rursum domesticus: Hoc vero mirum fore, si tot praesertim altero bello detrimentis ab illis affectus, quamvis oblata occasione, par referre noluisset, nunc pecuniolae causa antiquos mores suos in peius immutaret et iniquo munere ac lucro minor appareret; immo enimvero potius militibus et aliis, quibus placeret, iuberet distribui. Morem gessit imperator et nummum aureorum quantum esset in militem dispertiri mandavit: supellex et vasa aliquot nobilibus quibusdam donata, reliqua in fiscum imperatoris illata sunt. Quem post octiduum Achridem adoratum venerunt agro-

A.C.1328 οἱ τὰς Κολωνείας, ἔτι δὲ καὶ οἱ Ἀχρίδος ἐγγὺς, προσεκύνησαν ἐλθόντες καὶ δουλεύειν ἐπηγγείλαντο προθύμως. τοὺς
C δὲ πόῤῥω κατῳκισμένους πρὸς ἐσχατιαῖς τῆς Ῥωμαίων ἡγεμονίας γράμματα ἐκάλει βασιλικὰ πρὸς Θεσσαλονίκην ἐλθεῖν, ὡς προσκυνήσοντας ἐκεῖ· καὶ οὐ πολλῷ ὕστερον ἦλθον. ὁ μέντοι Κράλης ἅμα στρατῷ παντὶ τῷ ὑπ' αὐτὸν ἐν μεθορίοις τῆς αὐτοῦ καὶ Ῥωμαίων ἡγεμονίας ὢν, ὑπὸ μὲν τῶν φυγάδων Ῥωμαίων ὁσημέραι παρεκαλεῖτο κατὰ βασιλέως ἐλθεῖν καὶ μάχην συνάπτειν, ὑπήκουε δὲ οὐδαμῶς, δεδιὼς μὴ οὐ κατὰ γνώμην αὐτῷ τὰ πράγματα χωρήσῃ. περιέμενε δὲ τὸν Χρέλην, ὃς ἦν ἐν Φεραῖς, Ῥωμαίοις κατὰ τοῦ νέου βασιλέως
D συμμαχῶν, (ἔτι γὰρ ἀπῆν,) παρ' αὐτοῦ περὶ βασιλέως καὶ τῆς ὑπ' αὐτὸν στρατιᾶς βουλόμενος πυθέσθαι, εἰ ἐπιχειρητέα εἴη ἢ μή. ἐπεὶ δὲ ἀφῖκτο, ἐπυνθάνετο αὐτοῦ ὁ Κράλης, εἰ πρὸς βασιλέα πολεμητέον εἴη· ὁ δὲ συνεβούλευεν, εἰρήνην μᾶλλον ἄγειν καὶ μὴ τὸν οὐκ ὄντα πόλεμον ἑαυτῷ καὶ ὑπηκόοις ἐπάγειν. βασιλέα γὰρ αὐτὸς ἔλεγεν ἐν Φεραῖς ἑωρακέναι ἄγοντα μὲν στρατὸν οὐ πάνυ πολὺν, τοσοῦτον δὲ τὰ πολέμια ἐξησκημένον καὶ ἵπποις τε καὶ ὅπλοις διακεκοσμημένον ἐκπρεπῶς, ὡς ἔκπληξιν καὶ ἀπὸ μόνης ὄψεως παρέχειν· οὕτω δὲ ἀθορύβως καὶ εὐτάκτως ἑπόμενον τοῖς ἡγεμόσιν, ὡς δοκεῖν οὐ πολλοὺς, ἀλλ' ἕνα ὄντα τῶν τε παραγγελμάτων ἀκούειν καὶ σπουδῇ τὰ κελευόμενα ποιεῖν. „ἀνδρίας δὲ τοσοῦτον αὐτοῖς περίεστι καὶ τόλμης, ὡς, καίτοι τῶν ἀντιτεταγμένων ὄντες ἐλάσσους πολλῷ,
P. 173 καὶ ἐπιόντες αὐτοῖς παρὰ πόλιν οἰκείαν στρατοπεδευομένοις,

stes Albani, quique Deaboles quique Colonias et qui iuxta Achridem habitant, se prompte ei parituros promittentes. Longius autem in ultimis videlicet Romanorum finibus incolentes, litterae imperatoriae Thessalonicam, ibi obsequia sua honorifice delaturos, accersiverunt: qui brevi adfuerunt. Iam vero Crales cum toto agmine suo in confiniis consistens, a fugitivis Romanis quotidie ad proelium cum imperatore committendum sollicitabatur; qui infaustum formidans exitum, nequaquam eos audiebat; Chreles illi in exspectatione erat, qui Pheris adversum imperatorem iuniorem Romanis auxilium ferens, nondum redierat. Ex eo de imperatore eiusque exercitu, invadendus esset necne, intelligere cupiebat. Praesentem iam percunctatur, ecquid confligendum putet. Ille pacem potius agitandam, nec bellum, quod adhuc nullum sit, sibi suisque accersendum hortatur: imperatorem ipsum Pheris se vidisse, ducentem copias exiguas, verum in arte militari tantopere exercitatas, equisque et armis tam eximie instructas, ut solo aspectu terrorem incuterent. Ad hoc tam sedate et ordinate duces suos sequentes, ut non multos, sed unum dumtaxat esse credas, qui praecepta et audiat et ce-

A.C.1328 οὔτε ἔδεισαν οὔτε ἐθορυβήθησαν οὐδαμῶς· ἀλλ' ἐγγὺς γενόμενοι Φερῶν ὅσον συναναμίγνυσθαι αὐτοῖς, ἔστησαν ἀνάπλεῳ ὁρμῆς διὰ πάσης τῆς ἡμέρας προκαλούμενοι ἐς μάχην. ἐπεὶ δὲ οὐδεὶς αὐτοῖς ἀντεπεξῄει, μικρὸν ἐκκλίναντες, ηὐλίσαντο τὴν νύκτα, καὶ ἐς τὴν ὑστεραίαν πάλιν φραξάμενοι ἅμα ἕῳ, ὡς ἐς μάχην ἔστησαν παρατεταγμένοι, καὶ πέμψαντες ἡμᾶς προὐκαλοῦντο ἐς τὴν μάχην· ἡμῶν δὲ οὐδὲ ἀντιβλέπειν ὑπομενόντων καὶ φανερῶς τὴν συμπλοκὴν ἀπειπαμένων, ἀναστρέψαντες μεθ' ὅσης ἂν εἴποις τῆς εὐταξίας, ἐστρατοπεδεύσαντο B ἐν Ζίχνα. τῇ δὴ οὕτω πανταχόθεν συγκεκροτημένῃ στρατιᾷ, καὶ ὑπὸ στρατηγοῖς ἀγομένῃ πολλοῖς τε καὶ ἀγαθοῖς, ἀνάγκης χωρὶς οὐκ ἂν συγχωρήσαιμι συμπλέκεσθαι ἐγώ. νυνὶ δὲ καὶ τῆς ἑσπερίου στρατιᾶς ἁπάσης, πολλῆς τε καὶ αὐτῆς καὶ ἀγαθῆς οὔσης, προσκεχωρηκυίας βασιλεῖ, ἔτι μᾶλλον ἀπορώτερα τὰ πρὸς τὸν πόλεμον αὐτῶν καθέστηκε."

Τοιαῦτα εἰπόντος τοῦ Χρέλη, ὅ,τε Κράλης ἐπείθετο καὶ οἱ ἄλλοι ἡγεμόνες τῆς στρατιᾶς, καὶ ἤδη ἀπέσχοντο ταῖς γνώμαις τοῦ πρὸς βασιλέα πολεμεῖν· ἔμενον δὲ ὅμως ἐπὶ τῆς αὐτῆς στρατοπεδείας. βασιλεὺς δὲ ἐκ τῆς Ἀχρίδος μετὰ ὀγδόην C ἡμέραν ἄρας, ἦλθεν εἰς Πελαγονίαν, τὴν εἰς Καστορίαν ἐκλιπὼν ὁδὸν, ἅμα μὲν, ἵνα καὶ τὰ ἐκεῖ περιποιήσηται πολίχνια καὶ τὴν ἄλλην χώραν, ἅμα δ', ἐπεὶ καὶ τὸν Κράλην ἐν ὁρίοις πύθοιτο τῆς σφετέρας ἀρχῆς εἶναι, ἵνα μὴ δοκοίη φό-

leriter conficiat: tantum autem fortitudine et audacia excellere, ut quamvis numero adversariis multo inferiores, eos ad urbem ipsorum nulla penitus consternaticne aut formidine sequerentur, et prope Pheras, quo acie cum illis dimicarent, diem totum sub signis starent, pleni Martio spiritu hostem ad certamen provocantes. Quos contra cum efferre pedem auderet nemo, declinasse paululum et in campis pernoctasse. Postridie, orto sole, rursum armatos et dispositos, ad congrediendum hostes per internuntium elicere voluisse. Qui cum eorum ne vultum quidem ferrent pugnamque praecise detrectarent, quanto dici potest ordine et modestia Zichnam repetivisse. Itaque cum exercitu sic omnimodis instructo ac duces habente complures atque egregios, sine necessitate, ut depugnetur, nunquam se auctorem futurum. Adde, quod occidentales copiae ipsae quoque nec parvae et non instrenuae, cum imperatoris agmen adauxerint, ut ipsi ab hoc bello abhorrere ac refugere magis debeant, effecerint. Haec oratio Crali ceterisque ducibus fidem fecit. Et quamquam belli gerendi voluntatem deponerent, in iisdem castris nihilo minus permanebant. Imperator Achride post diem octavum discedens, relicta Castoria, in Pelagoniam venit: et ut oppida illa ceteramque regionem reciperet, et ut ne, quia Cralem in finibus imperii sui castrametari acceperat, eius timore iter illud devitasse videretur. Romani

A.C. 1328 V. 1339 βίῳ τῷ πρὸς αὐτὸν ἀποσχέσθαι τῆς ὁδοῦ. οἱ μέντοι Ῥωμαίων φυγάδες ὡς ἐπύθοντο διὰ Πελαγονίας ἰέναι βασιλέα, τῷ Κράλῃ προσιόντες, ἠνάγκαζον συμπλέκεσθαι βασιλεῖ, ἤδη οὐ πολὺ ἀπέχοντι αὐτῶν. ὁ Κράλης δὲ ἀπεκρίνατο, μήτε νῦν μήτε εἰσαῦθις ἑκὼν πολεμήσειν βασιλεῖ, ἐὰν μὴ αὐτὸς ἐπίῃ· αὐ- D τοῖς δὲ τὴν δυνατὴν βοήθειαν εἰσενηνέχθαι, δυοκαίδεκα τάγματα ἅμα στρατηγοῖς παρασχόμενος ἐν Φεραῖς αὐτοῖς ἐπικουρεῖν. νυνὶ δὲ αὐτῷ καὶ τούτου ἕνεκα μεταμέλειν, ὅτι πρὸς οὐδὲν ἠδικηκότα πόλεμον ἤρατο ἐξ αἰτίας οὐδεμιᾶς. βασιλέας δὲ Ῥωμαίων πρὸς ἀλλήλους διαφερομένους, αὐτοὺς ἂν εἰδέναι, ὅπως τε πολεμήσουσιν ἀλλήλοις καὶ καθότι ξυμβήσονται, ἐμὲ δὲ μηδὲν ὑπ' οὐδενὸς ἠδικημένον, οὐδ' αὐτὸν πολεμήσειν οὐδενὶ, ἕως ἂν μὴ ἀδικῶμαι. οἱ μὲν οὖν τοιαύτης τυχόντες τῆς ἀπολογίας, καὶ τῆς μόνης ὑπολειπομένης ἐλπίδος σβεννυμένης, ἐθορυβοῦντο σφοδρῶς. οὐ μὴν ἀπέσχοντο τοῦ μὴ σφόδρα μετὰ σπουδῆς πολλῆς πρὸς τὸν κατὰ βασιλέως πόλεμον τὸν Κράλην ἐξορμᾶν. πείθειν δὲ ἐπιχειροῦσι P. 174 καὶ δεομένοις μὴ ἐᾶν αὐτοὺς ἀτιμωρήτους, ἐπεὶ καὶ τῶν Τριβαλῶν παρῆσαν οἱ ἐν τέλει, „οὐ δέον," εἶπον „ὦ οὗτοι, αὐτούς τε εἰκῇ καὶ μάτην κατατρίβεσθαι ἐπιχειροῦντας ἀνηνύτοις, καὶ ἡμᾶς ἀποκναίειν ἃ μὴ προσήκει δεομένους. πρότερον γὰρ ἐχρῆν, τοῦ πρὸς βασιλέας τοὺς ὑμῶν δεσπότας πολέμου κινουμένου, αὐτοὺς πᾶσαν πρόφασιν σκανδάλου περιαιρεῖν καὶ τὴν εἰρήνην ἐκ παντὸς τρόπου ἑαυτοῖς τε καὶ τοῖς ἄλλοις ἐκπορίζειν, εἰδότας, ὡς τοῦτο αὐτὸ βασιλεῦ-

fugitivi, ut imperatorem Pelagoniam pergere compererunt, Crale convento, eum ad conflictum cum illo iam vicino acuebant. Respondit Crales, nisi ille se adoriatur, neque nunc, neque posthac cum eo depugnaturum. Ipsis quanta potuerit auxilia, duodecim cohortes cum tribunis Pheras misisse. Nunc se id etiam idcirco factum nolle, quod eum armis offendendum susceperit, a quo ipse nullam senserit iniuriam. Romanorum imperatores inter se discordes, scituros utique per se, quomodo bellum mutuo gerant et quatenus consentiant; se a neutro laesum, donec iniuste laedatur, neutrum armis persecuturum. Romani hoc responso spe, quae sola supererat, cadente, valde quidem perturbari, nec tamen desinere, multa et acri contentione urgere atque impellere principem obtestarique, ne inulti relinquerentur. Quibus Tribali proceres tum praesentes: Heus, inquiunt, quid opus est et vos frustra ac temere defatigari, quae fieri nequeunt attentantes, et nos obtundere, quae praestari fas non est, obsecrantes? Bello inter imperatores, dominos vestros, excitato, vos omnem offensionis occasionem tollere pacemque vobis et aliis omni ratione conciliare oportebat, scientes, id ipsum et imperatoribus et vobis et communi

σί τε καὶ ὑμῖν καὶ τῷ κοινῷ λυσιτελεῖ Ῥωμαίων. ὑμεῖς A. C. 1328
δὲ τοὐναντίον ἅπαν αὐτοί τε ἐφαίνεσθε ποιοῦντες καὶ τοῖς
ἄλλοις παραινοῦντες. τὰς γὰρ πόλεις ἁπάσας περιϊόντες, τοὺς
μὲν τῷ πρεσβυτέρῳ βασιλεῖ τὸν πρὸς βασιλέα τὸν νέον πό- B
λεμον συναιρομένους ἐπῃνεῖτέ τε καὶ ἐπηγγέλλεσθε θαυμάσι'
ἄττα, τοὺς δὲ τὴν εἰρήνην ἄγειν αἱρουμένους καὶ τοὺς ἄλλους
πείθοντας, ὡς τὰ τοῦ νέου βασιλέως πράττοντας ἐπίσης ἐχρῆ-
σθε πολεμίοις, καὶ τὸν πόλεμον ἐγείρειν ἐσπουδάζετε τρόπῳ
παντί. ἃ οὖν ἐσπουδάζετε τότε, στέργοιτ' ἂν παρόντα νῦν δι-
καίως. ἡμεῖς δὲ Κράλῃ τῷ ἡμετέρῳ παραγγέλλομεν δεσπότῃ,
μὴ πρὸς βασιλέα πόλεμον κινεῖν, μηδὲ ἀδικεῖν ἐθέλειν προ-
επιχειροῦντα, λογιζόμενον, ὡς καὶ παρὰ θεῷ τίσις ἐστὶ τοῖς
ἀδίκως πραττομένοις τοῖς ἀνθρώποις· ἐὰν δὲ αὐτὸς ἐπίῃ,
ἀμύνεσθαι παντὶ σθένει. εἰ μὲν οὖν πείθοιτο ἡμῖν βουλευο- C
μένοις, καλῶς ἂν ἔχοι· εἰ δ' οὖν, ἀλλ' αὐτὸς ἀπελθὼν δια-
φερέτω τὸν πόλεμον μόνος, συμπαραλαβὼν ὑμᾶς· ἡμῶν γὰρ
ἀφίξεται οὐδείς." Τοιαῦτα εἰπόντων τῶν Τριβαλῶν, ὁ Κρά-
λης τε ἐπείθετο καὶ πρὸς τοὺς Ῥωμαίους φυγάδας εἶπε· „τὴν
μὲν διάνοιαν τῶν παρ' ἐμοὶ δυνατῶν ὁρᾶτε οἵαν ἔχουσι περὶ
τοῦ πολέμου. ἐγὼ δὲ καὶ εἰ διὰ σπουδῆς τὸν πόλεμον ἦγον ἰδίων
τινῶν ἕνεκα πρὸς βασιλέα διαφορῶν, ἀπεσχόμην ἄν, ὁρῶν
αὐτοὺς οὕτως, ὥσπερ νῦν, διακειμένους· νυνὶ δὲ καὶ αὐτὸς οὐ-
δὲν ἧττον αὐτῶν τὴν ἴσην ἔχω γνώμην περὶ τῶν πραγμάτων.
διὸ οὐδὲ ἑλοίμην ἄν, ἐξὸν ἔξω τε κινδύνων εἶναι καὶ βεβαίως D
ἄρχειν τῆς σφετέρας, ἀδικεῖν τε δοκεῖν καὶ ἐν ἀδήλῳ καθί-

Romanorum conducturum. Atqui contrarium prorsus et ipsi designabatis et alios hortabamini. Omnes siquidem civitates obeundo, arma cum seniore imperatore adversus iuniorem coniungentes cum mirificis quibusdam promissionibus laudabatis: eos autem, qui pacem praeferrent et alios ad eam allicerent, velut a iuniore stantes, aeque in hostibus ducebatis, ac bellum per fas et nefas accendere conabamini. Ut igitur tunc studiose sementem fecistis, ita nunc messem gravidam metite. Nos Crali despotae nostro denuntiamus, ut imperatorem bello prior ne offendat secumque reputet, hominibus iniustis etiam apud Deum paratum esse supplicium. Si ab illo vis inferatur, tum se quantum potest defendat. His monitis nostris si obsecundarit, recte faciet: sin minus; eat, bellum, vobis assumptis, toleret: de nobis quidem nullus eum sequetur. Motus Crales, fugitivos in hunc modum compellat: Quae sit dynastarum meorum mens et sententia de bello, ipsi videtis. Equidem etiamsi propter privatas quasdam controversias imperatori arma molirer, tamen eos ita ut nunc affectos cernens, coepto desisterem. Nunc autem idem mihi, qui illis, super hoc negotio sensus: nec, cum

A. C. 1328 στασθαι κινδύνῳ, ἄλλως τε οὐδὲ τοῦ στρατεύματος ἐμοὶ παντὸς συνηθροισμένου. ὑμῖν δὲ πρὸς τὴν σωτηρίαν βοήθειαν εἰσενέγκοιμι ἂν ὅση δυνατὴ, καὶ, εἴγε βούλεσθε, πρὸς βασιλέα πρεσβείαν πέμψας, παραιτήσομαι ὑπὲρ ὑμῶν αὐτοῦ τὴν ὀργὴν ἐγώ. πρᾷος δὲ ὢν, ὡς ἀκούω, καὶ τοῖς προσκεκρουκόσιν ἕτοιμος πρὸς διαλλαγὰς, συγγνώμην τε ἂν παράσχοι καὶ τὰς συμφορὰς οὐ μετρίως κουφιεῖ. εἰ δὲ τοῦτο ὑμῖν οὐκ ἀνεκτὸν, ἀλλ' ἐγὼ πρὸς Μιχαὴλ τὸν βασιλέα Μυσῶν κηδεστὴν
V. 140 ὄντα ἐμὸν ὑμᾶς πέμψω, ὡς ἂν δι' αὐτοῦ πρὸς Βυζάντιον διασωθῆτε. καὶ τούτου δὲ ὑμῖν οὐ κατὰ γνώμην ὄντος, καὶ
P. 175 ἑτέραν ἔξεστι τραπέσθαι. εἰς Βενετίαν γὰρ ἀφιγμένοις, ῥᾳδίως ἐξέσται τριήρεσιν ἢ ὁλκάσιν ἐπανόδου πρὸς Βυζάντιον τυχεῖν. καὶ ἑτέραν δὲ ἐπὶ τούτοις ὑποθήσομαι ὑμῖν ἐλπίδα σωτηρίας. ἐπεὶ γὰρ Πρόσεκόν τε καὶ Πρίλλαπον καὶ Στρίμβιτζαν κατέχετε φρουραῖς, διανειμάμενοι τὰς πόλεις ταύτας, δυσαλώτους οὔσας διὰ καρτερότητα τειχῶν, καρτερεῖτε ἐν αὐταῖς, ἄχρις ἂν ὁ πρὸς ἀλλήλους τῶν βασιλέων εἴς τι πέρας πόλεμος ἀφίκηται." ἐπὶ τούτοις ἀμηχανία τε εἶχε τοὺς φυγάδας, καὶ ἀπαλλαγὴ κακῶν ἐφαίνετο ἐκ τῶν πραγμάτων οὐδεμία. ὅμως δὲ σκεψάμενοι ἐκ τῶν παρόντων εἵλοντο μᾶλλον
B ταῖς προειρημέναις ἐγκατακλεισθῆναι πόλεσι καὶ τὴν πολιορ-

14. Apud Gregoram legitur *Prosiacum*, Nicetas habet *Prosacum*; mire in his locorum appellationibus variant inferiores Graeci. *ED. P.* Στρούμβιτζαν legendum aut, ut habet Cedrenus, Στρούμπιτζαν. *ED. P.* Infra L. IV. p. 791. C. legitur Στρύμβιτζαν. Vid. Ducang. ad Alexiadem p. 382.

abesse a periculo provinciamque meam tuto possidere liceat, malim iniustus videri et in anceps me discrimen offerre, cum praesertim copias meas coniunctas non habeam. Interea ad salutem vestram tuendam, quantum in me est, auxilium vobis non negabo: et, si placet, missa ad imperatorem iuniorem legatione, eius iram a vobis deprecabor; qui cum sit miti clementique natura praeditus et reconciliatu facilis, ut perhibent, veniam dabit et onus miseriarum vestrarum magnam partem allevabit. Si hoc displicet, ad Michaelem Moesorum regem affinem meum vos mittam, cuius ope Byzantium incolumes perducamini. Si nec istuc arridet, adhuc alia gradiemur via. Nam Venetias profectis, non difficile erit triremibus aut onerariis Byzantium revenire. Quin et aliam vobis spem salutis suggeram. Cum Prosacum, Prillapum et Strumbitzam praesidiis teneatis, distributis inter vos hisce oppidis propter murorum soliditatem vix expugnabilibus, in iisdem perdurate, quoad bello inter imperatores finis aliquis imponatur. Fugitivi quid super his consilii caperent, in incerto habebant: et malorum nusquam se ostendebat exitus. Tamen circumspectis rebus praesentibus, praedictis oppidis

κίαν ὑπομένειν. καὶ πρωτοβεστιάριος μὲν ἅμα τισὶ τὸν Πρίλ- A.C. 1328 λαπον κατέσχε, τὸν δὲ Πρόσεκον Ἀσάνης ὁ Μιχαὴλ, οἱ δὲ λοιποὶ Στριμβίτζης ἐκράτουν. καὶ Βασιλικὸς ὁ Νικηφόρος Μελενίκου ἐπιτροπεύων, ὑπὸ τοὺς αὐτοὺς χρόνους ἑαυτῷ περιεποίησεν εἰς ἀρχὴν, φάσκων, οὐδενὶ προσθήσεσθαι τῶν βασι- C λέων, ἄχρις ἂν ὁ πόλεμος καταλυθῇ.

νϛ'. Πρωτοβεστιάριος μὲν οὖν τῷ ἀδοκήτῳ πληγεὶς, ὡς ἐλέγετο, τῆς συμφορᾶς, καὶ μὴ φέρων τὴν κακοπραγίαν, ἐτελεύτησε μετὰ μικρόν. καὶ ἀποθανόντος αὐτοῦ, οἱ περιλειφθέντες ἑαυτούς τε καὶ Πρίλλαπον ἐνεχείρισαν βασιλεῖ· Ἀσάνην δὲ τὸν Πρόσεκον ἀφείλοντο οἱ Τριβαλοὶ κλοπῇ. βασιλεὺς δὲ ἐκεῖθεν εἰς Θεσσαλονίκην ἐλθὼν, καὶ ἀναγκαίων τινῶν πέρι D ἡμέρας τινὰς αὐτῇ ἐνδιατρίψας, ὡς ἐδόκει ἀναγκαῖον εἶναι πρὸς Στρίμβιτζαν ἐλθεῖν, ἐξεστράτευσε πάλιν. καὶ γενόμενος ἐν αὐτῇ, τοὺς κατασχόντας ἐπεχείρει πείθειν, (βιάζεσθαι γὰρ οὐκ ἦν πολέμῳ διὰ καρτερότητα τειχῶν,) ἑαυτοὺς παραδιδόναι καὶ τὴν πόλιν. μὴ πειθομένων δὲ, ἀλλ' ἰσχυριζομένων τὴν πόλιν αὐτοὶ καθέξειν, ἄχρις ἂν ὁ πρὸς ἀλλήλους τῶν βασιλέων πόλεμος διαλυθῇ· ἐπεὶ οὐ προσεχώρει, ἄρας ἐκεῖθεν, ἦλθεν εἰς Μελένικον. τὰ ἴσα δὲ καὶ Νικηφόρου ἀποκριναμένου τοῦ Βασιλικοῦ, ἐπεὶ πρὸς πολιορκίαν τρέπεσθαι ἀδύνατος ἦν, ἄλλων ἀναγκαιοτέρων ἐπειγόντων, ἐπανέζευξεν εἰς Θεσσαλονίκην. γενομένῳ δὲ ἐκεῖ ἠγγέλθη ἐκ πρωτοστρά- P. 176 τορος ἐπιτροπεύοντος τῆς Θρᾴκης, ὡς βασιλεὺς ὁ πρεσβύτε-

includi et obsidionem perferre praeoptarunt. Protovestiario cum nonnullis Prillapus cessit, Prosacum Michael Asanes obtinuit, reliqui Strumbitzam iverunt. Sub idem tempus Nicephorus Basilicus, qui Melenici praefecturam tenebat, eam urbem sibi propriam asseruit; cum neutro imperatore se facturum profitens, donec bellum ad finem perductum esset.

56. Protovestiarius igitur inopinata quadam, ut ferebatur, calamitate oppressus nec miseriam sufferre potis, paucis post diebus e vita migravit. Quo exstincto, comites ac socii semet cum Prillapo imperatori permiserunt. Asanem Tribali Prosaco per dolum exuerunt. Imperator e Pelagonia Thessalonicam profectus, ob gravia negotia diebus aliquot ibi positis, militem rursum in necessariam, ut visum est, expeditionem ad Strumbitzam eduxit. Cumque civibus deditionem suaderet, (cogere enim armis ob murorum firmitudinem non poterat,) et illi non flecterentur affirmarentque, se oppidum retenturos, quoad bellum inter imperatores sedaretur, inde se Melenicum transtulit: ubi Nicephoro Basilico eadem respondente, quia, rebus maioris momenti urgentibus, obsidere eam non dabatur, Thessalonicam se recepit. Eo a protostratore Thraciae praetore affertur,

A. C. 1328 ρος ἣν τε εἶχε στρατιὰν ἐν Βυζαντίῳ καὶ ἑτέραν οὐκ ὀλί-
γην προσεκπορισάμενος, ἐκπέμψειε κατ' αὐτοῦ, ὑπὸ στρατη-
γῷ Ἀσάνῃ τῷ Κωνσταντίνῳ, παρὰ τὸν Μέλανα ποταμὸν στρα-
τοπεδευομένου. γενομένης δὲ ἐκεῖ τῆς συμβολῆς καὶ τῆς μά-
χης ἀγχωμάλου ἐπιπολὺ διαμεινάσης, οἱ τοῦ νέου βασιλέως
ὅμως ὑπερσχόντες, ἐτρέψαντό τε τοὺς ἀντιτεταγμένους καὶ
V. 141 τὴν δίωξιν ἐποιήσαντο ἄχρι Βυζαντίου. καὶ τοὺς μὲν ἀπέ-
κτειναν αὐτῶν, τοὺς δὲ καὶ εἷλον ζῶντας πλὴν ὀλίγων ὅσοι
B διεσώθησαν εἰς τὴν πόλιν· ἑάλω δὲ καὶ ὁ στρατηγός. καὶ νι-
κήσαντες περιφανῶς, ἀνεχώρησαν ἐπ' οἴκου. τούτων δὲ ἀγ-
γελθέντων, τῆς μὲν νίκης ἕνεκα ὁ βασιλεὺς εὐχαριστηρίους
εὐχὰς ἀπεδίδου θεῷ· ἐπιστραφεὶς δὲ πρὸς τοὺς παρόντας,
(πολλοὶ δὲ ἦσαν,) οὐ μᾶλλον ἥδεσθαι ἔφη κρατησάντων τῶν
σφετέρων, ἢ ὅσον ἀνιᾶται ἐπὶ τῇ τῶν ἀντιτεταγμένων ἥσσῃ.
„οὐ γὰρ μόνον ὅτι Ῥωμαῖοι οἱ πεσόντες, οὓς ἐχρῆν οὐ πρὸς
ἀλλήλους, ἀλλ' ὑπὲρ ἀλλήλων βαρβάροις μαχομένους ἀποθνή-
σκειν, δίκαιον ἀλγεῖν, ἀλλ' ὅτι δέος, μὴ καὶ τῶν οἰκειοτάτων
τινὲς ἢ τῶν φίλων ἦσαν οἱ ἀποθανόντες· καὶ τρίτον, ὅτι οὐχ
ὑπὸ βαρβάρων τῶν φύσει πολεμίων, ἀλλ' ὑφ' ἡμῶν ἀνάλων-
C ται τῶν πάνυ φιλούντων. καὶ ἐοικέναι ἡμᾶς νομίζω τοῖς ὑπὸ
μανίας τῶν ἰδίων σαρκῶν ἐμφορουμένοις, οἳ οὐκ ἐπαινεῖσθαι,
ἀλλ' ἐλεεῖσθαι δίκαιοι τῆς ἀτόπου τροφῆς. καὶ, τὸ δὴ μεῖζον,
ὅτι οὐχ ὑπὸ Ἑλλήνων μόνον καὶ βαρβάρων τῶν ἀκουόντων δι-

22. Malim τὸ δὲ μεῖζον et infra γενομένων.

imperatorem avum, quam habuisset Byzantii manum et aliam non spernendam aliunde collectam, duce Constantino Asane, contra ipsum, iuxta flumen Melanem castra habentem, misisse. Pugnatum esse diu ancipiti victoria: tandem iunioris imperatoris militem superiorem evasisse hostesque terga dantes, usque Byzantium insecutum, alios interfecisse, alios cum ipso duce cepisse, paucos in urbem salvos penetrasse: victores cum triumpho certissimo domum rediisse. Ob hunc nuntium imperator Deo gratias egit: conversusque ad astantium frequentiam, non magis se victoria suorum exsultare confessus est, quam constristari, adversarios superatos esse. Non enim ob hoc tantummodo iusto dolore tangi, quod qui cecidissent, Romani fuissent, quos non inter se, sed pro se mutuo adversum barbaros decertando occumbere oportuisset; sed quod timendum, ne quidam in eorum numero aut amici, aut necessitudine coniunctissima fuerint: deinde, quod non a barbaris natura hostibus, sed ab amicissimis deleti sint. Et opinor, inquit, nos eorum similes, qui insania ac furore perciti, suas ipsorum carnes commanducant: quos ob alimoniam teterrimam non laudare, sed miserari aequum est. Et quod maius profecto, quia non Graecorum solum et barbarorum,

καιοι μισεῖσθαι τῆς εἰς ἀλλήλους παρανομίας, ἀλλ' ἄδηλον, εἴ A.C. 1328 τι καὶ τῶν γινομένων ἀρέσκει θεῷ, καὶ μὴ ἐπίσης οἵ τε ἀμυνόμενοι καὶ οἱ ἐπιόντες ἄξιοι τιμωριῶν παρ' αὐτῷ κριτῇ. ἐβουλόμην μὲν οὖν μὴ ἀπὸ Ῥωμαίων, ἀλλ' ἀπὸ βαρβάρων ἑστηκέναι τὸ τρόπαιον τοῖς ἡμετέροις, ἵνα εἶχον τῆς νίκης καθαρὰν τὴν ἡδονήν. ἐπειδὴ δὲ οὕτω τὰ ἡμέτερα ὑπὸ φθονεροῦ D τινος δαίμονος συνεσκευάσθη, ὡς καὶ τὴν νίκην ἀλγηδόνος αἰτίαν φαίνεσθαι ἡμῖν, χάριτας ὁμολογῶ τῷ κρείττονι πολλὰς, οὐ μόνον ὅτι τοῖς ἐμοῖς συνήρατο πρὸς τὴν νίκην, ἀλλ' ὅτι καὶ μηδεμίαν αἰτίαν αὐτὸς ἐν τῷ νυνὶ πολέμῳ οὐ μόνον παρεσχόμην, ἀλλὰ καὶ κινουμένου τὴν ἀρχὴν, πολλὰ καὶ ἔπραξα ἄξια καὶ εἶπον λόγου, δεόμενος τὸν πόλεμον καταθέσθαι τοὺς κινοῦντας, εἰ καὶ καθ' ὑδάτων, τὸ τῆς παροιμίας, ἐδόκουν γράφειν." Οἱ μὲν οὖν ἀκούσαντες, οὐ μόνον τῆς ἀγχινοίας ἐθαύμασαν τὸν βασιλέα, ἀλλὰ καὶ τοῦ μὴ φυσᾶσθαι μηδ' ἐπαίρεσθαι ἐν ταῖς εὐτυχίαις, ἀλλ' ἐν ταῖς τῶν πραγμάτων μεταβολαῖς ἴσον καὶ ὅμοιον παρέχειν ἑαυτόν. βασιλεὺς δὲ τόν P. 177 τε πρωτοστράτορα γράμμασιν ἠμείβετο εὐχαριστηρίοις, καὶ τοὺς συνόντας αὐτῷ τῶν συγκλητικῶν τιμαῖς τε καὶ ἄλλαις εὐεργεσίαις, καὶ τοὺς στρατιώτας τοὺς μὲν ἐπιδόσει τῆς μισθοφορᾶς, τῶν ἐτησίων δὲ προσόδων τοὺς λοιποὺς μᾶλλον ἐπέῤῥωσε καὶ προθυμοτέρους πρὸς τὸ πολεμεῖν εἰργάσατο ὑπὲρ αὐτοῦ· αὐτὸς δὲ ἐν Θεσσαλονίκῃ ὑπογραφέας καταστήσας, δι' αὐτῶν διῴκει καὶ ἐξίσαζε τὴν ἑσπέραν, καὶ καταλόγους ἐτασ-

24. Intpr. perperam leg. *καταλόχους*: *alios insuper centuriabat.*

ad quos rei fama pervaserit, odio propter mutuum scelus digni erimus, sed dubitari potest, an quidquam horum Deo placeat; et non aeque se tuentes, ut invadentes, apud ipsum iudicem poenas commeruisse videantur. Nostros igitur non de Romanis, sed de barbaris trophaeum erexisse vellem, ut e victoria sua liquidum sincerumque gaudium perciperent. Sed quoniam daemonis alicuius invidentia factum est, ut ipsa etiam victoria dolendi materiam nobis porrigeret, numini gratias magnas ago, non modo quod meis ad vincendum praesto fuit; verum etiam, quod bello huic auctor nulla ex parte exstiterim. Exstiterim autem? immo et eo a principio conflato, multa memoratu digna et dixi et feci, auctores eius obsecrans, ut eo temperarent: tametsi in aqua, quod dicitur, videbar scribere. Qui haec audiebant, imperatorem non de solertia solum, sed de moderatione quoque, quod prosperis eventis non inflaretur neque efferretur, sed in ipsa rerum commutatione eandem et aequabilem servaret animi constantiam, admirabantur. Imperator litteris protostratori gratias egit, et qui cum eo erant de nobilitate, honoribus eos ac donis remuneratus est: militesque alios aucto stipendio, alios annuorum

A. C. 1328 σεν ἑτέρους πρὸς τοῖς οὖσιν, ὅπως πλείων γίγνοιτο ἡ στρατιά. ἐν τούτοις δὲ αὐτοῦ ἀσχολουμένου, πάλιν ἧκε γράμματα
B ἐκ πρωτοστράτορος μηνύοντα, ὡς ὁ πρεσβύτερος βασιλεὺς τῷ τῶν Μυσῶν βασιλεῖ Μιχαὴλ διάφορος πρότερον ὢν, νῦν πρὸς αὐτὸν τίθεται εἰρηνικὰς σπονδὰς καὶ συμμαχίαν· ἀγνοεῖν μέντοι τὰς ξυμβάσεις ἐφ' οἷς γίνονται αὐτοῖς, καὶ διὰ τοῦτο δέον ἐγνωκέναι τὴν μήνυσιν αὐτῷ ποιήσασθαι τῶν πραττομένων. βασιλεὺς δ' ἐπεὶ ἐπύθετο, συνῆκε μὲν τοῦ πρὸς αὐτὸν ἕνεκα πολέμου τὴν συμμαχίαν τῷ πάππῳ γεγενῆσθαι πρὸς Μυσοὺς, ἔγνω δὲ μὴ ἐκ πρώτης ἀκοῆς ἐκ τῆς ἑσπέρας ἀπανίστασθαι, ἀλλὰ μένειν τε ἔτι καὶ τῶν πραγμάτων καὶ τῆς στρατιᾶς πρόνοιαν ποιεῖσθαι, ἄχρις ἂν τι βεβαιότερον διδαχθῇ. ἡμέραις
C δὲ ὕστερον ὀλίγαις πάλιν ἐκ πρωτοστράτορος ἀφικνεῖται γράμ-
V. 142 ματα πρὸς βασιλέα μηνύοντα, ὡς αἱ πρὸς Μυσοὺς βασιλέως σπονδαὶ καὶ ἡ συμμαχία πέρας ἤδη ἔσχον, καὶ οἱ πράξαντες τὴν συμμαχίαν ἐκ τῶν πρὸς Μυσοὺς αὐτομόλων Ῥωμαῖοι ἐν Βυζαντίῳ εἰσὶν ἔτι. βουλευσαμένῳ δὲ μετὰ τῶν ἐν τέλει τῷ βασιλεῖ οὐκέτι διαμέλλειν ἐδόκει ἐν Θεσσαλονίκῃ, ἀλλὰ τάχιστα εἰς Βυζάντιον ἀπιέναι, πρίν τι νεωτερισθῇ. καὶ τῆς ἑσπέρας στρατηγὸν Συργὴν ντὲ Λεζιάνο τὸν Κύπριον, ὃς ὕστερον ῥῆξ

20. Ex Graeco Συργηντελεζιάνο satis infeliciter eduxit suum *Syrgentianum* Interpres. Restituo fidenter Σὺρ Γυῒ ντὲ Λεζινάνο, id est *Sire Guy de Lezignem*. Cetera dicam in notis. *ED. P.* Quod ego sine ulla fere litterarum mutatione dedi, Cantacuzeni auctoritate nititur. Is enim Libr. III. Guidonem istum Cyprium, quem hic delitescere acute sensit vir doctus, Συργὴν constanter appellat. Scilicet vox Σὺρ, ut in nomine quoque *Syrgiannis* nostri factum est, coaluit cum ipso hominis nomine, a Graecis ex Gallico *Gui* corrupto. Nicephorus L. XII. c. 15. 1. eundem Guidonem simpliciter Γὴμ vocat.

censuum incremento ad bellum pro se confirmavit animosioresque reddidit. Ipse vero Thessalonicae ratiocinatores et scribas instituit, per quos occidentem digerebat et adaequabat: item praeter eos, qui erant, alios catalogos confici iussit, ut cresceret exercitus. Eo in his versante, rursum a protrostratore litterae, indicantes, seniorem imperatorem, a Michaele Moesorum rege prius dissidentem, nunc cum eo pacis foedus et belli societatem coivisse: nesciri tamen, ob quem finem: et idcirco hoc ad eum perscribendum censuisse. Nepos avum cum Moeso propter bellum adversus se societatem istam pepigisse animadvertit: statuit autem, non subito ad primam auditionem abducendum ex occidente exercitum, sed haerendum adhuc illique et rebus aliis providendum, donec certiora nuntiarentur. Diebus aliquot praeteritis, scripsit protostrator, foedus imperatoris et societatem cum Moesis iam constitutam, eiusque conciliatores, Romanos ex transfugis ad Moesos adhuc Byzantii degere. Impera-

Ἀρμενίας ἐγεγόνει, ἐξάδελφον αὐτῷ ὄντα μητρόθεν, καταστη- A. C. 1328
σάμενος, ἄρας ἐκ Θεσσαλονίκης αὐτὸς ἅμα τῇ στρατιᾷ, ἦλθεν
εἰς Διδυμότειχον. ὀλίγας δὲ αὐτῷ ἐνδιατρίψας ἡμέρας, ἐξελ-
θὼν ἐκεῖθεν, ἧκεν εἰς Βυζάντιον. γενόμενος δὲ πρὸς τὰς πύ- D
λας τῆς προσαγορευομένης Γυρολίμνης, καὶ Πεπανόν τινα τῶν
ἐν Βλαχέρναις προκαθήμενον βασιλείων, τῶν τῇδε τειχῶν τὴν
φυλακὴν πεπιστευμένον εὑρὼν, ἐπεὶ διὰ τὴν ἐκείνου ἔφοδον
ἐν φυλακῇ εἶχεν ὁ πρεσβύτερος βασιλεὺς τὰ Βυζαντίου τείχη,
ἐκέλευεν ὡς βασιλέα τὸν πάππον ἐλθόντα ἀπαγγέλλειν, ὅτι τε
γένοιτο ἐγγὺς τειχῶν καὶ δέοιτο συγγνώμης τυχεῖν τῆς παρ'
αὐτῷ. μὴ δὴ διὰ τὰ κατὰ τὴν ἑσπέραν συμβάντα ἀθεράπευτα
λογίζεσθαι εἶναι τὰ κακά. ἔξεστι γὰρ, εἴπερ καὶ νῦν ἐθελή-
σεις, τόν τε πόλεμον καταθέσθαι καὶ ὅ, τι βούλει χρήσασθαι
αὐτῷ· πάντως δὲ οὐκ ἐπιλελῆσθαι, ὀλίγου τοῦ παρῳχηκότος
ὄντος χρόνου, ὅσα ἐλθὼν ἐδεῖτο περὶ τῆς εἰρήνης, ταύτην ἀν-
τὶ τοῦ πολέμου μᾶλλον ἑλέσθαι συμβουλεύων, καὶ μὴ τοῖς P. 178
ἐνάγουσι πείθεσθαι πολεμεῖν, ὡς οὐδὲν ὀνήσουσιν ἐπὶ τῶν
ἔργων, ὧν αὐτὸς μὲν οὐκ ἐβούλετο προφήτης εὑρεθῆναι· ὅμως
δὲ ἐξέβη ᾗ προείρηται αὐτῷ. ἐὰν δὲ νῦν καταθέσθαι τὸν πό-
λεμον πάλιν ἐθελήσῃς, ἐκεῖνά τε ὡς μηδὲ τὴν ἀρχὴν γεγενη-
μένα λογιεῖται καὶ γνώμης οὕτως ἔχει καὶ παρασκευῆς, ὡς
πάντα πράξων, ἅττα ἂν αὐτὸς κελεύῃς. Ὁ μὲν Πεπανὸς τῷ

8. Legebatur *Βυζαντίων*.

tori, consilio cum primoribus habito, visum non diutius Thessalonicae cunctandum, sed antequam novaretur quippiam, Byzantium properandum. Itaque Syrge de Lesiano, Cyprio, qui postea rex Armeniae factus est, consobrino suo, duce occidentis creato, Thessalonica cum copiis proficiscens, Didymotichum venit; inde post paucos dies Byzantium. Cum ad portam Gyrolimnae esset et Pepanum quendam, ante palatium in Blachernis sedentem, reperisset, qui illic custodem murorum ageret, (siquidem ob hostilem nepotis adventum imperator moenia Byzantina servabat,) iussit eum ire nuntiatum, se prope muros esse ipsumque veniam ac pacem poscere. Propter ea, quae in occidente contigissent, non esse malorum desperandum remedium: nam et nunc, si mitigetur, bellum licere omittere et secum agere pro arbitrio. Plane autem tenere et illum memoria, quantopere nuper ipse eodem veniens pacem flagitasset eamque bello anteferendam admonuisset, nec obsequendum ad arma exstimulantibus; quando nihil utilitatis allaturi sint in rebus, quarum ipse vates inveniri noluisset: nihilo minus evenisse, ut praedixerit. Nunc si bona voluntate arma missa fecerit, quae facta sint pro non factis reputatum iri et se ita comparatum, ut quae ipse iusserit executurus sit omnia. Pepanus com-

A. C. 1328 πρεσβυτέρῳ βασιλεῖ ἀπήγγελλεν ἐλθὼν ὅσα ἦν παρὰ τοῦ νέου προστεταγμένος βασιλέως. ὀλίγῳ δὲ ὕστερον ἐπανελθὼν, ἀπήγγελλε τῷ νέῳ βασιλεῖ, ὅτι βασιλεὺς κελεύει τῶν τῇδε ὅποι βούλοιτο ἀποχωρεῖν καὶ μὴ κατατρίβειν τὸν καιρὸν εἰκῇ καὶ
B μάτην, μέλλοντα οὐδὲν ἀνύειν ὧν διανοεῖται. ἐρομένου δὲ τοῦ νέου βασιλέως, εἰ μηδὲν αὐτῷ πλέον προστάξειε βασιλεὺς, „οὐδὲν" εἶπεν ὁ Πεπανός. „οὐκοῦν" ἔφη „τὸ βασιλέως πρόσταγμα πληρῶν, ὅποι ἂν ὁ θεὸς ἡγοῖτο βαδιοῦμαι." καὶ ἀναζεύξας ἐκεῖθεν, ἐν τοῖς λειμῶσι τοῖς παρὰ τὴν γέφυραν τῆς Καμήλου ηὐλίσατο τὴν νύκτα, καὶ ἐς τὴν ὑστεραίαν πάλιν παρὰ τὰς αὐτὰς πύλας ἐλθὼν, ἐδεῖτο βασιλέως προσδέξασθαι τὴν εἰρήνην καὶ τὸν πόλεμον καταλῦσαι. ὡς δ' ἐσήκουεν οὐδεὶς, ἀναστρέψας ἤλαυνε πρὸς τὸν Μέλανα ποταμὸν, ἔνθα πρωτοστράτωρ ἦν μετὰ τῆς ὑπολοίπου στρατιᾶς ἐστρατοπεδευμένος.
C βασιλεὺς μὲν οὖν ᾔει ἡγούμενος τῆς στρατιᾶς, ὁ μέγας δὲ ὑπελείπετο δομέστικος χρείας τινὸς ἕνεκα ὀπίσω. προσελθὼν δὲ αὐτῷ τις ἐν ἐνδύμασι διεῤῥωγόσιν οἷα τὰ τῶν πενήτων, κρύφα τι ἔλεγεν ἔχειν αὐτῷ διαλεχθῆναι. προελθὼν δὲ ἐφ' ἱκανὸν ὅσον μὴ ὁρᾶσθαι ἀπὸ τῶν τειχῶν, ἐκέλευεν ὅ,τι ἂν βούλοιτο φράζειν. ὁ δὲ καὶ ἕτερόν τινα προσκαλεσάμενος τὸν κοινωνοῦντα αὐτῷ τῶν βουλευμάτων, οὐδενὸς αὐτοῖς ἑτέρου συμπαρόντος, φίλοι μὲν ἔφασαν αὐτοὶ ἐς τὰ μάλιστα ἀλλήλοις εἶναι ἐκ παλαιοῦ καὶ τὰς οἰκήσεις ἔχειν γειτονούσας· ὁρῶντες δὲ ὅσα ἀδικεῖται καὶ ἀπελαύνεται ὁ νέος βασιλεὺς ἐπὶ προφά-
D σει οὐδεμιᾷ, ἀλγεῖν τε οὐκέτι ἀνεκτῶς καὶ προθυμεῖσθαι, ἂν

missa nuntiatum vadit parvoque intervallo reversus, refert, mandare avum, uti hinc quo lubeat se auferat, neve incassum ac frustra tempus terat, cum nihil eorum, quae somniet, consecuturus sit. Rogante illo, Numquid aliud? Nihil, ait Pepanus. Ergo imperatoris iussibus parebo, ait, et quo me duxerit Deus ibo. Inde regressus, in pratis iuxta pontem Cameli pernoctavit. Postridie ad easdem portas rediens, orat, uti pace bellum mutaretur. Non exauditus, ad Melanem flumen retrocedit, ubi protostrator cum cetera parte exercitus castra fixerat. Ibat igitur imperator ducens militem. Domesticus nescio quo negôtio praepeditus, sequebatur. Ad quem accedens homo veste lacera, ut pauper, habere se ait quod clam diceret. Progressus igitur a moenibus tanto spatio, quantum oculi amplius non ferrent, edicere mysterium iussit. Ille alium quendam consilii participem advocat. Tum insuper nemine praesente, incipiunt, Se iam olim inter se amare, ut qui maxime, et contiguis habitare in aedibus. Cernentes autem, quam inique immerito suo haberetur pelleretur que iunior imperator, dolere incredibiliter et ad opem sic afflicto pro viribus ferendam si liceat, paratos esse: potissimum, ex

ἔξῃ, ἀμύνειν τὰ δυνατὰ ἀδικουμένῳ, καὶ μάλιστα ἐξ ὅτου κα- A. C. 1328
τά τε Ῥήγιον ἀπολογούμενος ὁ βασιλεὺς πάσης ἀπέλυσεν αἰτίας
ἑαυτὸν, (παρεῖναι γὰρ τότε καὶ αὐτοὺς,) καὶ ἐνταῦθα ἀφικό- V. 143
μενος πολλαῖς ἐχρήσατο δεήσεσι καὶ ἱκεσίαις πρὸς τὸν πάπ-
πον, μὴ τὸν πόλεμον κινεῖν. γνώμης μὲν οὖν οὕτως ἔφασαν
ἔχειν καὶ παρασκευῆς· ἐνδεεστέρας δὲ οὔσης τῆς δυνάμεως
αὐτῶν ἢ κατὰ τὴν προθυμίαν, καιρὸν ζητεῖν, καθ' ὃν ἂν αὐ-
τοῖς ἐγγένοιτο καὶ ἔργῳ ἃ προείλοντο δρᾷν· ὃν δὴ καλῶς ποι-
οῦντα ἥκειν. μετὰ γὰρ τὸ βασιλέα τὸν νέον πρὸς τὴν ἑσπέραν
ἐκστρατεῦσαι, τοὺς τὴν φυλακὴν τῆς πόλεως ἐπιτετραμμένους,
οὕτω τοῦ θεοῦ πόῤῥωθεν τὰ λυσιτελοῦντα προκατασκευαζομέ-
νου, τοῖς ἐπὶ ταῖς πύλαις τοῦ ἁγίου Ῥωμανοῦ καλουμέναις
τείχεσιν ἐπιστῆσαι, ὥστε νύκτωρ ἔχειν ἀγρυπνοῦντας φυλα- P. 179
κὴν ἅμα καὶ ἑτέροις ὀκτὼ ἐκ διαδοχῆς. αὐτοῖς μὲν οὖν εὐθὺς,
τούτου γενομένου, ἔννοιαν εἰσελθεῖν τοῦ δυνήσεσθαι ἄν ποτε
βασιλεῖ χρησίμους εἶναι. ἐπεὶ δὲ καὶ ἐπύθοντο ὅσον οὐδέπω
εἰς Βυζάντιον ἀφίξεσθαι αὐτὸν, τοῖς ἑταίροις, ὅ φασι, κύ-
βον ῥίψαντες, διειλέχθαι περὶ τοῦ βασιλεῖ τῷ νέῳ τὴν πόλιν
προδιδόναι, πεπεικέναι τε δίκαιά τε ἅμα δόξαντας λέγειν καὶ
συμφέροντα πᾶσι Ῥωμαίοις· καὶ νῦν εἶναι ἐν ἑτοίμῳ, κλίμα-
ξι τὸν βασιλέα ἀνάγειν εἰς τὸ τεῖχος, νύκτα φυλάξαντας καθ'
ἣν αὐτοῖς ἡ διαδοχή ἐστι τῆς φυλακῆς. οἱ μὲν οὖν τοιαῦτα
εἶπον· ὁ μέγας δὲ δομέστικος τὸν μὲν ἀπαγγελοῦντα βασιλεῖ B
περιμένειν ἔπεμψεν εὐθὺς, τοὺς δὲ διειλεγμένους ὅ,τι τε κα-
λοῖντο ἠρώτα καὶ εἴ τι παρὰ βασιλέως αἰτοῖεν, ὡς δίκαιοι ὄν-

13. Post ἐπιστῆσαι deest αὐτούς. 14. αὐταῖς et 15. ἔννοια legebantur vitiose.

quo apud Rhegium de obiectis se purgarit, (nam et se tunc adfuisse,) et huc profectus, multis precibus obtestationibusque avum onerarit, ne bellum ordiretur. Animo igitur et consilio ita se paratos esse aiebant. Sed quia alacritati par facultas deesset, opportunitatem quaerere, qua quae certo statuissent facto praestarent, quae nunc praeclara se offerret. Nam postquam imperator iunior in occidentem movisset, praefectos vigilum, ita Deo quae conducerent multo ante praestruente, murorum supra portam sancti Romani custodiam sibi ad agendas cum aliis ex successione per noctem excubias commendasse. Ex quo statim cogitarint, posse se aliquando imperatori utilem navare operam. Ubi vero didicerint mox Byzantii affuturum: et iacta alea, quod aiunt, cum sociis de urbe ei prodenda egisse, et visos aequa Romanisque omnibus profutura loqui, persuasisse: iamque promptum esse, imperatorem in murum subducere, observata nocte, qua ipsorum forent vigiliae. Haec illi. Magnus domesticus extemplo mittit qui imperatorem moneat, uti subsistat. Eos

A.C. 1328 τες εὖ παθεῖν τῆς εἰς βασιλέα ἕνεκα εὐνοίας. οἱ δ' ἔφασαν, Κάμαρις μὲν καλεῖσθαι καὶ Καστελιάνος, μηδὲν δὲ αἰτεῖν, ἀλλὰ προῖκα τοῦ καλοῦ ἕνεκα καὶ τοῦ κοινῇ λυσιτελοῦντος τὴν ἐπιχείρησιν ὑπελθεῖν. ἐπεὶ δὲ καὶ αὖθις ἐπιτρέψαντος ὃ βούλοιντο αἰτεῖν, ἰσχυρίσαντο αἰτεῖν μηδὲν, παραλαβὼν αὐτοὺς ἦγεν ὡς βασιλέα. συμμίξας δὲ αὐτῷ, „ὁ θεὸς" εἶπεν „ᾧ σὺ πρὸ μικροῦ παρέσχηκας ἃ εἶχες, ἃ βούλεται νῦν αὐτὸς εὐεργετεῖ." ἀνεμί-
C μνησκε δὲ αὐτὸν ἔργου τινὸς, ὃ ἦν εἰργασμένος πρὸ μικροῦ.

νζ. Ἔτι γὰρ ἐνδιατρίβοντος Θεσσαλονίκῃ, τῶν ἐν Βυζαντίῳ βασιλεῖ τῷ πρεσβυτέρῳ συνόντων συγκλητικῶν ἓξ συμφωνήσαντες ταῖς γνώμαις, πέμψαντες εἰς Θεσσαλονίκην,
D διελέγοντο κρύφα τῷ βασιλεῖ, ὡς, εἰ βούλοιτο Βυζάντιον κατασχεῖν, αὐτῶν παραδιδόντων, (ἦσαν γὰρ οὐκ ἀδύνατοι ποιεῖν,) πρῶτον μὲν αὐτοῖς πιστώσασθαι δι' ὅρκου, τῆς τε ὑπηρεσίας ἐφ' ἣν νῦν τελεῖ τὸν μέγαν ἀποστῆσαι λογοθέτην τὸν Μετοχίτην καὶ διὰ βίου παντὸς δι' ὀργῆς ἔχειν καὶ συγγνώμην μηδέποτε παρασχεῖν· ἔπειτα δὲ καὶ ἕτερ' ἄττα ὅσα αὐτοὶ ᾐτοῦντο, ἐκπληροῦν. κἂν ταῦτα αὐτοῖς πιστώσηται δι' ὅρκων, μηδὲν ἀναβαλλόμενον ἥκειν, ὡς ἅμα τῷ ἐλθεῖν παραληψόμενον τὴν πόλιν. ἐφ' οἷς ἀπεκρίνατο ὁ βασιλεὺς, τοῦ μὲν μήτε αὐτὸν ἐν τῷ νυνὶ πολέμῳ αἰτίαν παρεσχῆσθαι, μήθ' ὑφ' ἑτέρων μάλιστα ἐθέλειν κινηθῆναι τὴν ἀρχὴν, καὶ κινη-
V. 144 θέντος δὲ, πάντα τρόπον ἐπινενοηκέναι καὶ μηχανὴν, δι' ὧν

10. πρεσβυτέρῳ ED. P. pro πρεσβυτέρων.

de nominibus et si quid ab imperatore petant, interrogat: quandoquidem pro benevolentia in illum aliquo digni munere apparebant. Respondent, unum Camarin, alterum Castelianum appellari; nihil petere, sed gratuito honestatis et communis emolumenti causa hoc operis aggressuros. Ubi, domestico iterum potestatem petendi quod vellent offerente, se nihil petere autumarunt, ad imperatorem eos adducit: cui propior factus, Deus, inquit, cui tu paulo ante obtulisti quae habes, quae vult nunc tibi rependit: et simul rei cuiusdam, quam non ita pridem patraverat, eum commonefacit.

57. Etenim cum adhuc Thessalonicae moraretur, ex optimatibus avi sex conspirantes cum eo occulte egerunt, si placeret occupare Byzantium, ipsis tradentibus, quod poterant, primum se illis iureiurando obstringeret, munere, quo nunc fungeretur, magnum logothetam amoturum atque illi in perpetuum succensurum neque unquam ignoturum: deinde alia quaedam, quae postularent, praestiturum. Ita si fecisset, sine mora veniret; simul enim venturum et urbem in potestatem accepturum. Super quibus respondit imperator, neque se huic bello caput fuisse, neque omnino ab aliis id suscitari voluisse; et eo suscitato, modum viamque omnem excogitasse, quibus

ᾤετο αὐτὸν δυνήσεσθαι καταλύειν, θεόν τε εἰδέναι, τὸν πάντα καὶ πρὶν γενέσθαι εἰδότα, A.C. 1328 P. 180 καὶ αὐτὰ τὰ πράγματα μονονουχὶ φωνὴν ἀφιέντα μαρτυρίων, καὶ ὑμεῖς δ' αὐτοὶ συμμαρτυρήσετε ἂν ἐμοὶ, ἐὰν θέλητε λέγειν τἀληθῆ. ἐπεὶ δ' οὕτω τὰ ἡμέτερα πράγματα συνεσκευάσθη, ὥστε ἀνάγκην εἶναι, μηδ' ὅλως βασιλέως παραδεχομένου τὴν εἰρήνην, ἢ τὸν ἕτερον ἐκπεσεῖσθαι τῆς ἀρχῆς ἢ διαφθείρεσθαι τὸ ὑπήκοον διϊστάμενον πρὸς ἑκατέρους, βούλομαι ἀναγκαίως, ἢ ὑμῶν πραττόντων ἢ τινων ἑτέρων, ὑπ' ἐμαυτὸν ποιήσασθαι Βυζάντιον, ὡς, ἂν μὴ τοῦτο γένηται, τῶν ἐμφυλίων οὐ παυσομένων πολέμων. ἐπὶ τοιούτοις μέντοι οἷα αὐτοὶ αἰτεῖσθε, οὐ Βυζάντιον μόνον, ἀλλ' οὐδ' εἰ τόσαι πόλεις ἦσαν ὅσοι πύργοι Βυζαντίου, B ἠθέλησα ἂν κατασχεῖν. τὸ μὲν γὰρ τὸν μέγαν λογοθέτην ἀποστῆσαι τῆς ὑπηρεσίας, ἐφ' ἣν νῦν τελεῖ, οὐ μόνον διὰ τὸ αἰτεῖν ὑμᾶς, ἀλλὰ καὶ ἄλλως πρὸς τὸ ἀπηλλάχθαι πραγμάτων, ἔπραξα ἂν, ὑπ' ἐμοὶ γενομένων τῶν πραγμάτων· τὸ μέντοι γε αὐτοῦ καταψηφίσασθαι διὰ βίου ἀπαραίτητον ὀργὴν, ἀδυνατώτατον τῶν πάντων. μὴ γὰρ οὕτω μανείην ὥστε διὰ τῆς εἰς ἐκεῖνον ἀπαραιτήτου ὀργῆς ἐμαυτῷ ἀποκλεῖσαι τὰ φιλάνθρωπα σπλάγχνα τῆς ἀγαθότητος τοῦ θεοῦ· ἐπειδὴ ᾧ μέτρῳ μετρήσομεν τοῖς συνδούλοις, ἀντιμετρήσειν ἀπεφήνατο ἡμῖν· καὶ ταῦτα οὐκ ἐξίσης τῶν ἡμῖν ἡμαρτημένων ὄντων, ἀλλ' C ἀπειροπλασίῳ τινὶ ὑπεροχῇ τῶν ἐμοὶ πρὸς θεὸν ἡμαρτημένων διαφερόντων. τοιγαροῦν τὸ μὲν ὑπ' ἐμαυτῷ ποιήσασθαι Βυ-

3. *μαρτυρίων* sensu caret; lego *μαρτυρεῖν*.

id posse dissipari arbitraretur; idque Deum nosse, qui norit omnia, antequam fiant, resque ipsas tantum non missa voce testificari id ipsum; quin et eos ipsos, si vera dicere velint, testimonium sibi laturos. Quia vero ea conditio rerum sit, ut avo pacem funditus reiectante, necessario aut alter illorum imperio depelli aut subiecti dissidiis intestinis ad perniciem vocari debeant, velle se, idque ex necessitate, aut ipsorum aut aliorum ope sub ius suum redigi Byzantium: quod nisi fiat, nunquam bellis civilibus defuturam materiam. Ob ea autem, quae rogassent, non Byzantio dumtaxat potiri nolle; sed neque tot urbibus, quot sunt Byzantii turres. Magno logothetae dignitatem, qua nunc fungeretur, non solum quia illi peterent, sed alioqui etiam ut molestiis liberaretur, abrogaturum fuisse, si penes se summa imperii fuisset. Ut autem iram inexorabilem in omni vita adversus eum retineret, id esse unum, quod omnium minime fieri posset. Egone ita delirem, inquit, ut per implacabilem iram adversus illum mihimet divinae bonitatis benigna viscera praecludam? siquidem qua mensura conservis nostris mensi fuerimus, eadem se nobis remensurum pronuntiavit: idque cum peccata nostra contra deum infinitis partibus ea superent, quae ab hominibus con-

A.C. 1328 *ζάντιον καὶ πάνυ βούλομαι τοῦ κοινῇ λυσιτελοῦντος ἕνεκα. τούτου δὲ τοῦ αἰτήματος ἀπόντος, καὶ εἴγε καὶ ὑμῖν συνδοκεῖ, τότ' ἤδη καὶ περὶ τῶν ἐπιλοίπων ὑμῶν ἀκούσομαι αἰτημάτων." Τούτων μὲν οὖν ὁ μέγας τότε δομέστικος ἀνεμίμνησκε βασιλέα, καὶ ἕτερ' ἄττα πρὸς αὐτὸν διαλεχθεὶς, προσῆγε τοὺς ἄνδρας. οἱ δὲ καὶ πρὸς βασιλέα διειλέχθησαν τὰ ἴσα καὶ ἦ μὴν διϊσχυρίζοντο αὐτοὶ δυνήσεσθαι τὴν πόλιν παραδώσειν. ἐπαι-* D *νέσας δὲ αὐτοὺς ὁ βασιλεὺς καὶ εἴ τι ἐπυνθάνετο αἰτοῖεν· οἱ δ' ἐπείθοντο αἰτεῖν οὐδὲν, πολλὰ δὲ πολλάκις παρὰ βασιλέως ἐκβιασθέντες, ᾐτήσαντο γῆς εἴκοσι πλέθρα. γελάσας δὲ πρὸς τὴν αἴτησιν ὁ βασιλεὺς, „ἀλλ' ἐγὼ" εἶπε „θεοῦ διδόντος, ἀξίαν ὑμῖν ἀποδώσω τῆς εὐγνωμοσύνης τὴν εὐεργεσίαν." ἔτι δὲ αὐτῶν περὶ τῶν τοιούτων διαλεγομένων, ἐκ Σκοπέλου παρὰ τοῦ ἄρχοντος ἄγγελος ἧκε μηνύων, ὡς ὁ τῶν Μυσῶν βασιλεὺς Μιχαὴλ ἐν μεθορίοις τῆς αὐτοῦ καὶ Ῥωμαίων ἡγεμονίας ἐλθὼν, παρὰ πόλιν αὐτῷ ὑπήκοον Διάμπολιν προσαγορευομένην ἐστρατοπέδευσε, καὶ συμμαχίαν ἐπαγόμενος ἐκ Σκυθῶν, οἳ παρὰ Ῥωσοκάστρῳ εἰσὶν ἐστρατοπεδευμένοι. ὧν ἀκούσας ὁ βασιλεὺς, ἐβουλεύετο ἅμα τῷ μεγάλῳ δομεστίκῳ ὅ, τι δέοι ποιεῖν, καὶ ἐδόκει χρῆναι ἐλθεῖν παρὰ τὴν Λόγους οὖσαν ὀρει-* P. 181 *νήν· ἅμα μὲν καὶ διὰ τὸ ἐγγὺς εἶναι Βυζαντίου, ὅπως τὰ πρὸς τὴν παράληψιν πράττηται αὐτοῖς, ἅμα δὲ καὶ διὰ τὸ μὴ κύκλωσιν παρέχειν τὸ χωρίον δυσπρόσοδον ὂν, ὥστε ἔχειν, ἂν*

13. Haec *Scopelus* Thraciae urbs est. *ED. P.* 18. Gregorae *Ῥουσόκαστρον* dicitur. *ED. P.* 20. In MS. ad v. *Λόγους* adscriptum erat, *Φρούριόν τι παρὰ τὸ στόμα τοῦ Εὐξείνου Πόντου*, id est, *Castellum quoddam ad ostium Ponti Euxini situm. ED. P.*

tra nos peccantur. Proinde Byzantium sibi pro communi utilitate subiectum percupere; hac autem petitione excepta, si qua alia ipsis petenda viderentur, auditurum. Hoc illi magnus domesticus in memoriam revocabat: et plura cum eo disserens, viros producebat, qui eadem apud imperatorem loquebantur, asseverantes, se illi urbem tradere posse. Quibus collaudatis, quaesivit, num quid ab se peterent. Ii nihil petere constituerant: sed cum imperator instaret saepius, viginti iugera petiverunt. Tum ridens ille, At ego, inquit, divino concessu probitati vestrae digna praemia persolvam. Medio in sermone advolat Scopelo a praefecto nuntius, Michaelem Moesorum regem in suis et Romanorum confiniis apud urbem suam nomine Diampolin castra locasse, Scytharum comitatum auxiliis, qui iuxta Rhosocastrum tentoria haberent. Imperator quid faciendum, magni domestici consilium exquirit: ad castellum Logos in montanis situm progrediendum decernunt, tum quod Byzantio propinquum et ad eius occupationem parandam opportunum, tum quod locus accessu difficilis hostibus cingendi facultatem eriperet; ut et invadentibus resistere

τις ἐπίῃ, ἀμύνεσθαί τε, ἂν ἐξῇ, καὶ ἡσυχίαν ἄγειν πρὸς τὰ A.C. 1328
καρτερώτατα ἀποχωρήσαντας. οἱ μὲν οὖν οὕτω βουλευσάμενοι, τὸν Κάμαριν μὲν ἐκέλευον ἕπεσθαι αὐτοῖς, ὡς ἂν εἰδέναι ἔχῃ τὸ στρατόπεδον βασιλέως ὅπῃ εἴη· τὸν δ' ἕτερον εἰς Βυζάντιον ὡς καὶ τοῖς ἑτέροις τὰ πεπραγμένα ἀπαγγελοῦντα ἀπιέναι. ἐλθόντες δὲ παρὰ τὸν Μέλανα ποταμὸν, ἔνθα καὶ ἡ λοιπὴ στρατιὰ ἅμα πρωτοστράτορι ἐστρατοπεδευμένη ἦν, τά τε περὶ τῶν πραττόντων τὴν ἅλωσιν αὐτῷ ἐκοινοῦντο Βυ- B
ζαντίου, καὶ ὅσα πύθοιντο περὶ τῶν Μυσῶν καὶ περὶ τῆς εἰς Λόγους στρατοπεδείας, προστιθέντες καὶ τὰς αἰτίας. καὶ ἐπει- V. 145
δὴ καὶ αὐτῷ ἐδόκει καλῶς ἔχειν, ἄραντες ἐκεῖθεν, ἐστρατοπεδεύσαντο ἐν Λόγους. καὶ ἐς τὴν ὑστεραίαν ἠγγέλθη αὐτοῖς, ὡς στράτευμα Μυσῶν περὶ τρισχιλίους ἵππους ἧκεν εἰς Βυζάντιον κατὰ συμμαχίαν τῷ πρεσβυτέρῳ βασιλεῖ· ἡγεῖται δὲ αὐτῶν Ἰβάνης ὁ Ῥώς. ἐθορύβησε μὲν οὖν οὐ μετρίως τοῦτο τὸν νέον βασιλέα. ἐξετάζοντι δ' αὐτῷ ἅμα τῷ μεγάλῳ δομεστίκῳ καὶ πρωτοστράτορι ὅ, τι τὸ πεῖσαν τὸν βασιλέα Μυσῶν τὰς μὲν πρὸς αὐτὸν σπονδὰς ἠθετηκέναι καὶ τοὺς ὅρκους, ἀδελ- C
φῆς ὄντα σύνοικον, τῷ πρεσβυτέρῳ δὲ βασιλεῖ συμμαχεῖν, ὑπενόουν μὴ ἀληθεῖς εἶναι τὰς γεγενημένας συνθήκας καὶ τὴν συμμαχίαν, ἀλλὰ συνιδόντα τὸν Μυσὸν, ὡς ὁ πρεσβύτερος βασιλεὺς ἅμα μὲν ἔχθει τῷ πρὸς τὸν ἔγγονον, ἅμα δὲ καὶ δέει τοῦ μὴ τοὺς συνόντας αὐτῷ Ῥωμαίων διεφθάρθαι ὑπ' ἐκείνου καὶ ἐπιβουλεύειν αὐτῷ, ῥᾷον ἂν παραδέξαιτο ἐν βασιλείοις φρουρὰν Μυσῶν, οἰόμενος οἷα ξένους καὶ συμμάχους αὐτῷ μᾶλλον εὐνοεῖν, πέμψαι τὸν στρατὸν, πρόφασιν μὲν, ὡς μα-

et in secessu natura munitissimo tuto possent quiescere. Hoc deliberato, Camarin sequi, ut sciret, ubinam imperator se teneret; alterum Byzantium abire et sociis acta referre iubent. Cum ad Melanem flumen venissent, ubi reliquum copiarum cum protostratore manebat, cum eodem de iis, qui se Byzantium prodituros pollicentur, et quae de Moesis cognovissent, ac de castrametatione in Logos, causis etiam recensitis, communicarunt. Cum et ille assentiretur, eo perrexerunt. Die altero intellectum est, circiter tria millia equitum Moesorum imperatori avo Byzantium, ducente Ibane Russo, auxilio mitti: id quod nepotem non modice perturbavit. Investigantes autem causam ipse, magnus domesticus et protostrator, qua adactus Moesorum rex, quamvis sororis maritus, foedus secum sancitum violaret seniorique suppetias adveniret, suspicati sunt, non vere illos et ex animo foederatos, nec verum esse auxilium: sed cum sciret Moesus, seniorem partim odio in nepotem, partim metu, ne qui secum essent proceres Romani ab illo corrumperentur sibique insidias struerent, facilius Moesorum custodiam in palatium admissurum, ratum, se tamquam

A.C. 1328 χουμένους ἡμῖν ὑπὲρ αὐτοῦ, τῇ δ' ἀληθείᾳ, εἰ δύναιντο τῶν βασιλείων κρατῆσαι κατ' ὀλίγους εἰσελθόντες· εἶτα καὶ αὐτὸς D πανστρατιᾷ ἐλθὼν, Βυζαντίους τε ποιήσεσθαι ὑποχειρίους καὶ οὕτως ἤδη καὶ τῇ ἄλλῃ ἐπιθήσεσθαι Ῥωμαίων ἡγεμονίᾳ. καὶ τεκμήριον ἐποιοῦντο τὸ ἐπάγεσθαι καὶ Σκύθας συμμάχους δέει τοῦ μὴ βοηθεῖν αὐτοῖς ἐς Βυζάντιον, εἴ τι γένοιτο τοιοῦτον. τοιαῦτα μὲν αὐτοὶ ἐκ λογισμῶν περὶ τῆς συμμαχίας ὑπενόουν. ἦσαν δὲ καὶ ἀληθῆ, ὡς ὕστερον ἀκριβῶς ἐξεγένετο μαθεῖν. ὑπετίθει δὲ τὴν βουλὴν τῷ βασιλεῖ Μυσῶν ἐκ τῶν αὐτομόλων παρ' αὐτῷ Ῥωμαίων τις καὶ ἐπηγγέλλετο αὐτῷ καὶ τὸ ἔργον καταπράξεσθαι αὐτός. διὸ καὶ ᾑρέθη πρὸς τὴν συμμαχίαν πρεσβευτής. πείρας δὲ ἕνεκα ὁ βασιλεὺς πέμψας πρὸς Ἰβάνην, ἐκέλευεν ἀναχωρεῖν ἐκ τῆς Ῥωμαίων· σπονδῶν γὰρ οὐσῶν αὐτῷ πρὸς βασιλέα Μυσῶν τὸν γαμβρὸν, αὐτὸν εἰς P. 182 τὴν Ῥωμαίων παρεληλυθέναι ἔχοντα στρατιάν. εἰ μὲν οὖν αὐτῷ βοηθήσων ἥκει, εἰς τὴν ἰδίαν ἀναχωρεῖν· μὴ δεῖσθαι γὰρ αὐτοῦ· εἰ δὲ πολεμήσων, ἐκδέχεσθαι αὐτὸν ὡς ἐπὶ μάχην. βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπε πειρώμενος Ἰβάνη. ἐδόκει γὰρ οὐ λυσιτελεῖν ἐν τῷ τότε πόλεμον ἄρασθαι πρὸς Μυσούς. Ἰβάνης δὲ ὅρκοις ἐγγράφοις διεβεβαιοῦτο πρὸς βασιλέα, μήτε τὸν αὐτοῦ δεσπότην παρεσπονδηκέναι, ἀλλ' ἐμμένειν ταῖς σπονδαῖς ταῖς πρὸς αὐτὸν, μήτ' αὐτὸν καὶ τὴν στρατιὰν κατ' αὐτοῦ ἐνθάδε ἥκειν. ἀναγνοὺς δὲ τοὺς ὅρκους ὁ βασιλεὺς, μᾶλλον ἐπεῤῥώσθη πρὸς τὸ ἀληθῆ εἶναι ἃ αὐτὸς ὑπενόει περὶ τῆς

24. Videtur deesse ὑπολαμβάνειν, aut quid eiusmodi. *ED. P.* Ego nihil ad integritatem desidero.

hospites atque commilitones perbenevolos experturum, turmas misisse; sub obtentu quidem, ut contra ipsos pugnaturos, re autem vera, ut si possent, palatium occuparent, pauci ingressi: deinde ipse toto agmine superveniens, Byzantios subigeret et sic reliquum quoque Romanorum principatum invaderet. Pro indicio erat, quod et Scytharum secum subsidia duceret: quia timeret, ne si quid tale fieret, Moesi adversus Byzantium operam conferre detrectarent. Haec illi de ista societate probabiliter suspicabantur: veramque fuisse suspicionem, postea perspicue patuit. Atque istuc Moeso quidàm transfuga Romanus suasit, pollicitus, se ei rem effectam daturum: quocirca etiam pro interprete societatis huius delectus est. Periculi faciendi imperator iunior mittens ad Ibanem, Romanorum finibus ut excederet imperavit. Iunxisse enim se foedus cum rege Moesorum, quicum sua soror sit: atque ideo ipsum cum exercitu fines Romanorum ingredi non debuisse. Si opem sibi laturus veniat, in Moesiam recedat: non enim ope eius indigere: si pugnaturus, se illum ad pugnam exspectare. Haec tentandi causa dicebat: non enim tum expedire putabat cum Moesis confligere. Iba-

συμμαχίας τῶν Μυσῶν. καὶ αὐτίκα τὸν Πεπαγωμένον Γεωρ- A.C. 1328
γιον πέμψας πρὸς βασιλέα τὸν πάππον, ἐδεῖτο αὐτοῦ μὴ τοὺς B
λόγους ὑποπτεύειν ὡς πολεμίου, ἀλλὰ πείθεσθαι καὶ Ῥω-
μαίοις καὶ αὐτῷ συμβουλεύοντι λυσιτελοῦντα. καὶ τοῖς κατὰ
συμμαχίαν ἥκουσι Μυσοῖς πρὸς μὲν τὸν κατ' αὐτοῦ πόλεμον
ὅ, τι ἂν βούλοιτο χρῆσθαι, βασιλείων δὲ ἐντὸς μήτε ἅμα
πλείους δέχεσθαι Μυσῶν, μήτε ὡπλισμένους· ἀλλ' εἴ ποτε
καὶ ἐσίοιεν, ὀλίγους τε καὶ κατὰ διαδοχὰς, ἵνα μὴ δοκοῖεν
προπηλακίζεσθαι σύμμαχοι ὄντες, καὶ ὅπλων χωρὶς, μάλιστα
δὲ ἐν ἀρίστου τῇ ὥρᾳ πλείω ποιεῖσθαι φυλακήν. οὐ μὴν ἀλλὰ
καὶ βασιλείων ἐντὸς στρατιὰν ἐγκαθιδρύσαι ἀξιόμαχον Ῥω- C
μαίων, καὶ ἐν φυλακῇ πάσῃ ἑαυτόν τε καὶ τὴν πόλιν τηρεῖν.
ὑπονοεῖν γὰρ ἐκ τῶν πραγμάτων, ὡς τῇ στρατιᾷ Μυσοῖς πρὸς
τοῦ σφετέρου βασιλέως εἴη προστεταγμένον, τὰ βασίλεια, εἰ V. 146
δύναιντο, δόλῳ κατασχεῖν, καὶ διὰ τοῦτο καὶ αὐτὸν πανστρα-
τιᾷ καὶ συμμάχοις ἅμα Σκύθαις ἐν μεθορίοις τῆς αὐτοῦ καὶ
Ῥωμαίων ἡγεμονίας ἐστρατοπεδεῦσθαι, ὡς εἰ κατορθοῖτο ἃ
προσετέτακτο Ἰβάνῃ, ἐν ὀλίγῳ ἐπιβοηθοίη καὶ αὐτός. ἀκού-
σας δὲ ὁ βασιλεὺς ἃ μηνύοιτο παρὰ βασιλέως τοῦ ἐγγόνου,
τῷ Πεπαγωμένῳ μὲν ἐκέλευεν ἀπαγγέλλειν αὐτῷ τὰ ἴδια εὖ
τίθεσθαι, καὶ μὴ ἑτέροις ὑπὸ φιλοτιμίας εἶναι βούλεσθαι δι-
δάσκαλον. οὐχ ἧσσον γὰρ αὐτὸς εἶναι ἔμπειρος πραγμάτων, D

18. ἐπιβοηθοίη ED. P. pro ἐπιβοηθείη.

nes iuramento scripto confirmare, neque dominum suum contra foedus egisse, neque se huc cum exercitu contra ipsum advenisse. Lecto iuramento, imperator tanto magis de Moesorum societate suspicionem suam esse veram credidit, et confestim Georgio Pepagomeno ad avum misso, rogavit, ne verba sua veluti hostis suspecta haberet: quin, ut Romanis et ipsi utilia suadenti pareret. Et Moesis quidem ipsi auxilio venientibus adversum se in bello pro arbitrio uteretur, in palatium vero neque simul plures, neque armatos acciperet; sed si quando ingrederentur, paucos et per vices, ne exclusi probro affici videantur, cum sint socii, et sine armis ingredi sineret: praecipue tamen prandii hora maiorem diligentiam custodiae adhiberet. Neque hoc solum: sed etiam intra palatium cohortem Romanorum collocaret, quae posset se pugnae opponere et omni ratione ipsum urbemque defendere. Se ex ipsa re suspicionem ducere, Moesis ab rege mandatum, palatium, si queant, dolo occupent: atque idcirco ipsum quoque cum toto exercitu et auxilio Scythico in confinibus sedere, ut si Ibani imperata bene procedant, paulo post cum subsidio superveniant. Avus, his auditis, Pepagomenum nepoti renuntiare iussit, uti suas res curaret et ne ambitione quadam captus, aliis niteretur magister fieri: non enim minorem rerum usum sibi esse, quam ille se adeptum existimaret.

A. C. 1328 ἢ ἑαυτὸν οἴεται αὐτός. αὐτίκα δὲ τοῖς βασιλείοις ἐπέστησε φρουρὰν καὶ εἶχε διὰ φυλακῆς ἀσφαλοῦς, καὶ πάντα ἔπραττεν ὅσα ὁ ἔγγονος παρῄνει.

νή. Βασιλεὺς δὲ ὁ νέος πρὸς Μιχαὴλ τὸν βασιλέα Μυ- P. 183 σῶν τὸν Ῥουντζέριον Ἰωάννην πέμψας πρεσβευτὴν, ἀκηκοέναι ἔφασκεν, αὐτὸν ἐν ὁρίοις τῆς Ῥωμαίων ἡγεμονίας στρατοπεδεύειν· ἀγνοεῖν μέντοι τὴν ἄφιξιν αὐτοῦ ὅ, τι εἴη. εἰ μὲν οὖν λύσας τοὺς ὅρκους καὶ τὰς σπονδὰς τὰς πρὸς αὐτὸν, πόλεμον ἄρασθαι βούλεται, μαθεῖν ἐθέλειν, ὅπως καὶ αὐτὸς παρασκευάζοιτο ἐκ τοῦ ὁμοίου· εἰ δέ του ἑτέρου ἕνεκα ἡ ἐκστρατεία εἴη, μὴ ἀγνοεῖν. ὅμως μέντοι γε τό, τε ἄκλητον ἥκειν τεκμήριον ποιεῖσθαι τοῦ κατ' αὐτοῦ χωρεῖν, καὶ τὸ Βυζαντίοις συμμαχίαν ἅμα Ἰβάγῃ ἐς τρισχιλίους στρατιώτας πέμψαι οὖσι πολεμίοις, φανερῶς αὐτῷ πολεμοῦντος εἶναι. B θαυμάζειν δὲ αὐτοῦ, εἰ πυθόμενος περὶ Βυζάντιον διατρίβοντος αὐτοῦ, τοσούτους πέμψειε στρατιώτας συμμαχήσοντας τοῖς πολεμίοις· ἢ ἀγνοεῖν ὡς οὐ στρατεύματι χρήσεται πρὸς αὐτοὺς εἰδόσι πολεμεῖν, ἀλλὰ τοῖς γεωργοῖς κελεύσας, ἀδυνατωτέραν θήσουσι τὴν ἐπάνοδον αὐτοῖς ἢ ἐξ ᾅδου πυλῶν. βασιλεὺς μὲν οὖν τοιαῦτα ἐπρεσβεύετο. Μιχαὴλ δὲ ἐπεὶ τόν τε βασιλέα ἐπύθετο πρὸς τὸ Βυζάντιον ἀφιγμένον καὶ τῆς αὐτοῦ στρατιᾶς οὐ μακρὰν ἐστρατοπεδευμένον, ἐθορυβήθη τε σφοδρῶς τῶν σφετέρων ἕνεκα στρατιωτῶν, καὶ σωτηρίας αὐτοῖς ἐλπίδα οὐδεμίαν συνεώρα, εἰ μὴ τάχιστα πείσειε C βασιλέα, ὅτι τε οὐ λύσειε τὰς σπονδὰς τὰς πρὸς αὐτὸν, καὶ

Tum illico custodes palatio apposuit, tutatusque est diligenter fecitque omnia, quae nepos consuluerat.

58. Imperator iunior ad Michaelem Moesorum regem Ioannem Rhuntzerium legat: Se comperisse, ipsum in finibus Romanorum habere militem; nescire tamen, quid tandem sit. Avere igitur nosse, an, rupto foedere, bellum sibi intentet, ut similiter se comparet. Sin aliam ob causam suscepta sit expeditio, se id quoque ignorare nolle. Verumtamen cum non vocatus veniat, documento sibi esse, contra se venire, et Byzantiis hostibus suis, duce Ibanc, ad ter mille equites misisse manifesti hostis indicium esse. Mirari autem, quomodo, cum audierit, se iuxta Byzantium versari, interim tantum numerum adversariis suis opitulatum miserit. Nescisse forsitan, se non exercitata copia in illum usurum, sed rusticis negotium daturum, qui ei reditum difficiliorem, quam ab inferorum portis efficiant. Haec imperator. At Michael, ubi eum prope Constantinopolin esse, nec longe ab exercitu suo distare cognovit, suorum causa sane quam conturbatus, nullam aliam spem salutis videbat, nisi quam citissime, se foedus servare et copias illas non contra eum, sed aliam ob causam

τὴν στρατιὰν οὐκ αὐτῷ πολεμησείουσαν, ἀλλ' ἑτέρου του A.C. 1328
ἕνεκα εἰς Βυζάντιον ἐλθεῖν. αὐτίκα τε ἃ εἶχεν ἐν τοῖς κόλ-
ποις ἅγια ἐξενεγκὼν ἐπὶ τοῦ πρεσβευτοῦ, καὶ ὃς ἦν ἐν αὐ-
τοῖς σταυρὸν ἐγχειρίσας, „τοῦτ'" ἔφη „κομίσας πρὸς βασιλέα,
ὀμνύειν ἐμὲ εἰς τὸν ἐν αὐτῷ παγέντα σαρκὶ δι' ἡμᾶς εἰπὲ, ὡς
οὔτε λέλυκα τὰς σπονδὰς τὰς πρὸς αὐτὸν, οὔτε κατ' αὐτοῦ
πέπομφα τὴν στρατιάν. διὸ καὶ δέομαι μὴ κακῶς αὐτοὺς
παθεῖν. ὅτι δὲ οὐ τῶν πολυτελῶν ἐγκολπίων, πολλῶν ἐμοὶ
παρόντων ὡς ὁρᾷς, ἀλλὰ τουτονὶ τὸν σταυρὸν ἐξ εὐτελοῦς
πεποιημένον ὕλης (ἦν γὰρ χαλκοῦς) πέπομφα, μὴ θαυμάσῃ·
ἐπὶ θαύμασι γὰρ παρὰ πᾶσι διαβεβόηται Μυσοῖς, ἃ πολλὰ D
μὲν καὶ ἐπὶ τοῦ ἐμοῦ περιόντος ἔτι πατρὸς, πολλὰ δὲ καὶ
ἐπ' ἐμοῦ παρ' αὐτοῦ τελεῖται νυνί· ὡς οὖν μᾶλλον ἀξιόχρεων V. 147
εἰς πίστιν ἔπεμψα αὐτόν. κἂν με φωράσῃ ἀπατῶντα ἢ ψευ-
δόμενον, ἐμοὶ τοῦτον λαβὼν ἐπιέτω, ὡς αὐτοῦ συμμαχοῦν-
τος νικήσων καὶ διαφθερῶν. ὅτι δὲ οὐ σκῆψις ταῦτα οὐδὲ
πρόφασις εὐπρεπὴς, τὸν ἀπάξοντα τὴν στρατιὰν ἐκ τῆς Ῥω-
μαίων ἐξαυτῆς ἀποστελῶ." καὶ αὐτίκα τῷ μὲν πρεσβευ-
τῇ παρεῖχεν ἵππους τῶν τρεφομένων ταχυδρόμων παρ' αὐ-
τῷ, κελεύσας ὡς τάχιστα ἀνύειν τὴν ὁδὸν, πρὶν φθάσῃ κα-
κώσας ὁ βασιλεὺς τὴν στρατιάν. καὶ τῶν οἰκετῶν αὐτοῦ συν-
εξέπεμψεν ἕνα τῷ πρεσβευτῇ γράμματα ἔχοντα, κελεύοντα
Ἰβάνῃ ἀπάγειν τὴν στρατιὰν, καὶ πτερὸν πυρὶ περιπεφλεγμέ- P. 184
νον· τοῦτο γὰρ παρὰ Μυσοῖς ταχυτῆτος σημεῖον. ἐπεὶ δὲ ἀφι-

Byzantium adductas, imperatori persuaderet: statimque e sinu sanctorum reliquias coram legato proferens et ex iis crucem ei in manus tradens, Istuc ad imperatorem portabis, inquit, et me per illum, qui in eo propter nos suffixus est, iurare dices, nec foedus cum ipso percussum solvisse, nec milites contra illum misisse. Quocirca orare me, ne quid illis noceat. Quod autem non de multis ac pretiosis monilibus suis quae cerneret, sed hanc crucem e vili materia confectam (erat enim ex aere fabrefacta) illi mitteret, mirari non debere: esse enim apud Moesos ob miracula percelebrem, quae multa, adhuc parente suo superstite, ediderit, multa, se regnante, edat. Tamquam igitur fidelissimam testem se illam mittere. Si ipsum fallacem mendacemve deprehenderit, ea cruce correpta se invadat, qua adiutrice victoriam sit consecuturus. Ut autem intelligat, non esse haec praetextum neque speciosum quoddam velamentum, protinus missurum qui e finibus Romanorum suos continuo abducat. Moxque legato imperatoris equos ex cursoribus, quos alebat, attribuit, iubens, celeritate summa iter prius conficere, quam imperator exercitui suo incommodaret. Praeterea unum de familiaribus ministris cum eodem mittit, ferentem litteras, quibus Ibani praecipiebat, uti exercitum reduceret, et alam flammantem, quod apud Moesos velocitatis signum est. Postquam ad imperatorem

A.C. 1328 χοντο πρὸς βασιλέα τόν τε σταυρὸν φέροντες καὶ ἀπαγγέλλοντες ὅσα ἀπολογήσοιτο ὁ Μιχαὴλ, βασιλεὺς μὲν πρὸς Ἰβάνην καὶ τοὺς Μυσοὺς τὰ τοῦ σφετέρου βασιλέως γράμματα πέπομφε καὶ τὸ πτερόν. οἱ δὲ ἰδόντες ἀνεχώρησαν εὐθὺς ἐπ' οἶκον. ἀλλὰ ταῦτα μὲν εἰς τοῦτο ἐτελεύτα· βασιλεὺς δὲ ἐν αἷς ἡμέραις αἱ πρεσβεῖαι ἐγίνοντο πρὸς τοὺς Μυσοὺς, κλίμακάς τε καὶ ὅσα ἄλλα ἐπιτήδεια ἦν πρὸς τὴν ἐπιχείρησιν παρε-
B σκευάζετο Βυζαντίου. καὶ ἐπειδὴ πάντα ἐπεπόριστο, εἰς Βυζάντιον ὁ Κάμαρις ἐλθὼν, ἀπήγγελλε τοῖς ἑταίροις. καὶ νύκτα τηρήσαντες ἀπὸ συνθήματος, ἐν ᾗ τῶν τειχῶν αὐτοὶ ἔμελλον ἔσεσθαι ἐν φυλακῇ, ἡμέρᾳ πρώτῃ τῆς ἑβδομάδος, καθ' ἣν ἡ τῆς τοῦ ἁγίου πνεύματος καθόδου τελεῖται ἑορτὴ, πρὸς βασιλέα αὖθις ὁ Κάμαρις ἐλθὼν ἐκάλει πρὸς τὸ ἔργον. τελεσθείσης δὲ τῆς θείας μυσταγωγίας, ἔτι δὲ καὶ τῶν ὕμνων τῶν ἑσπερινῶν, ἄραντες ἐκ τοῦ στρατοπέδου τοῦ ἐν Λόγους καὶ τό, τε ἐπίλοιπον βαδίσαντες τῆς ἡμέρας καὶ τὸ πλέον τῆς νυκτὸς, γενόμενοι ἐν χωρίῳ Κλέπτα ἐγχωρίως προσαγορευομένῳ,
C τό, τε ἐπίλοιπον τῆς νυκτὸς καὶ ἄχρι δήλης ἡμέρας ηὐλίσαντο ἐκεῖ. καὶ μετὰ τοῦτο ἄραντες ἐκεῖθεν, ἕως ἐπεγένετο ἡ νὺξ, ἦλθον εἴς τι χωρίον οὐ πολὺ ἀπέχον Βυζαντίου, τοῦ Ἀμβλυώπου προσαγορευόμενον. καὶ καρτερήσαντες ἐκεῖ, διεκόσμουν τὴν στρατιὰν, καὶ τὰς μὲν κλίμακας οὔσας δύο ἔκ τε κάλων καὶ ξυλίνων βαθμίδων πεποιημένας, ὧν τῆς μὲν ἦρχεν ὁ βασιλεὺς, ὁ μέγας δὲ δομέστικος τῆς ἑτέρας, δυοκαίδεκα στρα-

3. Legebatur σφετέρων.

venerunt qui crucem ferebant, Michaelis responsum nuntiarunt: qui ad Ibanem et Moesos regis ipsorum litteras cum ala misit. Iis conspectis, domum statim abire coeperunt. Et haec quidem hunc finem nacta sunt. Imperator autem quibus diebus legatus apud Moesos erat, iis ipsis scalas et alia ad oppugnandum Byzantium accommodata apparabat. Paratis omnibus, Camaris eo regressus, sociis rem indicavit. Et nocte de compacto observata, qua ipsi excubias in muris erant acturi, prima die hebdomadis, quae sancti Spiritus descendentis memoria celebris est, rediens ad imperatorem Camaris, ad opus eum vocat. Absoluta ergo divina mystagogia, praeterea hymnis vespertinis, castra Logis moventes, ac per reliquum diei plurimumque noctis gradientes, et ad locum ab indigenis Clepta nominatum pervenientes, usque ad claram lucem ibi quieverunt. Inde rursus usque ad noctem ambulantes, Amblyopum (loci vocabulum est haud procul Byzantio) venerunt. Illic morantes, in ordinem exercitum digerebant. Et quidem scalas binas, tum e funibus, tum e ligneis gradibus, quarum unis praeerat imperator, alteris magnus domesticus, duodenis militibus utramvis imposuerunt: quorum octo Romani, reliqui ex Alemanis Latini. Intelligens autem

τιώταις ἐπέθηκαν ἑκατέραν. ὧν ἦσαν ὀκτὼ Ῥωμαῖοι, οἱ λοι- A. C. 1328
ποὶ δὲ ἐξ Ἀλαμανίας Λατῖνοι. ἀκούσας δὲ ὁ βασιλεύς, ὅτι καὶ
Ἀλαμανοί εἰσιν ἐπὶ τῷ ἔργῳ τεταγμένοι, τὸν μέγαν δομέστι-
κον προσκαλεσάμενος, τούς τε Ἀλαμανοὺς ἐκέλευεν ἀπὸ τῶν
ἐν ταῖς κλίμαξι τεταγμένων ἐξαλλάττειν καὶ Ῥωμαίους εἰσά- D
γειν ἀντ' αὐτῶν· ἀπό τε τῶν εὐγενῶν μηδένα εἶναι ἐν τοῖς
μέλλουσι πρώτως ἀναβήσεσθαι ἐπὶ τὰ τείχη, ὡς ἂν μήτε οὗτοι
κατεπαίρωνται τῶν ταπεινοτέρων, μήθ' ἡ εὐδοξία πρὸς Ἀλα-
μανοὺς διαβαίνῃ, ἀλλὰ μόνων ᾖ Ῥωμαίων τὸ ἔργον. ταῦτα
μὲν οὖν ᾗ προσετέτακτο ἐτελεῖτο, καὶ Ῥωμαίοις τῶν μέσων
δυοκαίδεκα ἑκατέρας ἐγχειρισθείσης τῶν κλιμάκων, προσετέ-
τακτο αὐτοῖς, ἐπειδὰν ἐν χρῷ γένοιντο τοῦ τείχους, ὑπὸ τῶν
ἔνδοθεν πρασσόντων καλωδίοις τῶν κλιμάκων ἀνελκυσθεισῶν,
αὐτοὺς ἀναβαίνειν πρώτους καὶ ἀμύνεσθαι, ἄν τις ἐπίῃ, ὡς
ἂν οἱ μετ' αὐτοὺς ἀναβαίνοιεν κατὰ σχολήν. μετ' ἐκείνους δὲ
οὐ πολὺ ἀπέχων ἑκατὸν λογάδας ἄγων ἐβάδιζεν ὁ βασιλεὺς
πεζῇ, καὶ μετ' αὐτὸν ὅσον μὴ συμμίγνυσθαι ἀλλήλοις, ἑτέρους
τοσούτους ὁ μέγας δομέστικος εἶχε. τούς γε μὴν τῶν διακοσίων P. 185
ἵππους ἕτεροι ἔφιπποι τοσοῦτοι ἄγοντες ἕκαστος ἕνα παρείποντο
οὐκ ἐγγύθεν, ὡς ἂν μὴ τοῖς ἀπὸ τοῦ τείχους αἴσθησιν παρά- V. 148
σχοιεν τοῦ ψόφου, ἀλλ', ἤν τι ἀδόκητον συμβῇ, τούς τε ἵπ-
πους παράσχοιεν τοῖς διακοσίοις ἐπιδραμόντες καὶ ἐπιβοηθοῖεν
αὐτοὶ τὰ δυνατά. ἕτεροί τε πεντακόσιοι ᾔεσαν ἀπέχοντες οὐ
πολὺ αὐτῶν, τῆς αὐτῆς καὶ αὐτοὶ ἕνεκα αἰτίας. ἐπὶ δὲ τοῦ

22. ἐπιβοηθοῖεν ED. P. pro ἐπιβοηθεῖεν.

imperator, etiam Alemanos huic labori delectos, advocato magno domestico, eos iubet eximi eorumque loco Romanos suffici, et ex nobilibus nullum inter primos murum ascendere: ut neque hi supra humiliores se extollerent, neque gloria ad Alemanos derivaretur, sed Romanorum dumtaxat opus esset. Fiebant iussa. Cum itaque et has et illas scalas e media conditione Romani duodecim traditas sibi accepissent, praeceptum datur illis, ut ubi proxime ad murum accessissent, ab iis, qui intus pro ipsis laborabant, scalis per funem attractis, primi ascenderent: et si quis se contra ferret, eum repellerent, ut reliqui deinceps paulatim ascenderent. Ceterum post illos haud longo spatio centum electos agens, incedebat pedibus imperator: post quem, ne permiscerentur, totidem magnus domesticus. Qui vero ducentorum illorum equos ducebant, quisque unum, ipsi quoque in equis, non pauciores ducentis, consequebantur, quamquam non prope: ne hi, qui in moenibus erant, strepitum sentirent: sed ut, si quid improvisum accideret, accurrerent, ac ducentis illis equos praeberent, et ipsi quoque pro virili sua in partem laboris venirent. Quingenti alii eadem de causa non procul distabant. Apud Amblyopum protostrator reliquum exercitum in armis ordinatum

A. C. 1328 Ἀμβλυώπου ὁ πρωτοστράτωρ ἦν, τὴν ἄλλην ἅπασαν ἔχων στρατιὰν ἐν ὅπλοις παρατεταγμένην. οὕτω δὴ διακοσμήσαντες B τὴν στρατιὰν, ᾔεσαν ἡσυχῇ, ὅπως μὴ τοῖς φυλάττουσιν αἴσθησιν παράσχοιεν ἀπὸ τῶν τειχῶν.

νθ'. Οἱ μὲν οὖν τὰς κλίμακας ἔχοντες τέτταρες καὶ εἴκοσι λαθόντες τοὺς φύλακας, ῥᾳδίως τοῖς τείχεσι προσέμιξαν τοῦ Καμάριδος ἡγουμένου κατὰ τοὺς πράσσοντας τὴν ἅλωσιν. καὶ C ἐπεὶ αὐτοὺς προσδοκῶντας οὐκ ἦν λαθεῖν, τὰς κλίμακας ἀνείλκυσαν καλώδια καθιέντες, καὶ ἀπὸ τῶν ἐπάλξεων ἐξῆψαν. καὶ οἱ δυοκαίδεκα πρῶτον ἐφ' ἑκατέρας κλίμακος ἀνῆλθον. βασιλεὺς δὲ καὶ ὁ μέγας δομέστικος ἅμα οἷς ἦγον, ἐπεὶ πανσέληνος ἦν καὶ ἡ σελήνη διέφαινε λαμπρῶς, ὅμως διὰ τὴν ἀπὸ τῆς πληρώσεως μεταβολὴν νεφελῶν οὐ κατὰ τὸ συνεχὲς, ἀλλὰ διεσπασμένως τὸν ἀέρα ὑποτρεχουσῶν, ὅτε μὲν ἦν ἡ νεφέλη κατ' αὐτοὺς, ἐβάδιζον ὑπὸ τῇ σκιᾷ· ἐπειδὰν δὲ παρέλθοι, κατακλινόμενοι εἰς γῆν, ἑτέραν περιέμενον νεφέλην. καὶ οὕτω βαδίζοντες κατὰ μικρὸν, ἦλθον ἐγγὺς τειχῶν. ἐπεὶ δὲ ὅσον ἐφι- D κέσθαι τόξῳ ἀπεῖχον, οἱ μὲν ἀπὸ τῶν τειχῶν αἰσθόμενοι βοῇ τε ἐχρῶντο καὶ ἀλαλαγμοῖς καὶ Βυζαντίους ἐκάλουν ἐπὶ τὰ τείχη, ὡς παρόντων πολεμίων· οἱ δὲ ἔξωθεν ἐπέδραμον ἐπὶ τὰς κλίμακας ἀφειδοῦντες ἤδη τῶν ψόφων, ὡς τῶν ἔνδον ᾐσθημένων, καὶ ἐπεὶ ἐγένοντο ἐν αὐταῖς, αὐτός τε ὁ βασιλεὺς προὐθυμεῖτο πρῶτος ἀναβαίνειν καὶ τὸν μέγαν δομέστικον

continebat. Sic itaque dispositis copiis, silentio progrediebantur, ne a moenium custodibus audirentur.

59. Qui igitur scalas habebant, quatuor et viginti, fallentes custodes, facile ad murum Camaris ductu proxime accesserunt eo, ubi ipsorum studiosi excubabant, a quibus agebatur, ut urbs caperetur. Et quia ipsos, utpote exspectantes, latere non poterant, summissis funibus, quos ex pinnis murorum aptaverant, scalas sursum attrahebant: ita duodecim illi utrimque primi ascenderunt. Imperator autem et magnus domesticus cum suis centuriis, quamvis luna pleno lumine tum luceret, tamen propter densarum interpositionem nubium non continenter, sed sparsim ac divulsim coelum permeantium, quando lux occultabatur, sub tenebris incedebant: quando eius aspectus reddebatur, recubantes humi, aliam nubem, quae lunam tegeret, exspectabant. Sic sensim gradientes, moenibus successerunt: a quibus adhuc spatio, quo telum adigi potest, remotos sentientes qui in muro erant, inconditos clamores sustulerunt, civesque ad moenia, ut hostibus praesentibus, advocarunt. Qui foris erant, ad scalas, non iam caventes tumultum, utpote ab oppidanis auditi, accurrebant. Interea imperator ipse alacriter primus ascendebat, magnumque domesticum ad sequendum hortabatur: ratus, si ipsi in muros evasissent, etiamsi quis hostium contra iret, non ausuros

ἕπεσθαί οἱ παρεκάλει, οἰόμενος ὡς, ἂν αὐτοὶ γένωνται ἐπὶ A. C. 1328
τὰ τείχη, κἂν τις ἐπίῃ τῶν πολεμίων, οὐκ ἄν ποτε τολμήσων
εἰς χεῖρας αὐτοῖς ἐλθεῖν· ἀλλ' ἀποσχήσεται γνωρίμων γενο-
μένων, καὶ τοῦτον τὸν τρόπον τοῖς σφετέροις ἔσεσθαι ἀντὶ
πολλῶν. ὁ μέγας δὲ δομέστικος οὐκ ἐπέτρεπεν, ἀλλ' ἁμαρ-
τάνειν αὐτοὺς ἔφασκε τοῦ δέοντος, ἂν ταῦτα ποιῶσι. „τῶν γὰρ
ὑπολειφθέντων ἀναβήσεται οὐδεὶς, οὐκ ἀτολμίᾳ τῇ πρὸς τὰ
δεινὰ, οὐδὲ κακονοίᾳ, ἀλλ' ἕκαστος πρῶτος ἀναβαίνειν ἀξιῶν, P. 186
ὑπὸ φιλονεικίας πάντες ὑπ' ἀλλήλων κωλυθήσονται. καὶ οὐ
μόνον ἀναβήσεται οὐδεὶς, ἀλλὰ καὶ αὐτοῦ συστραφέντες ἀλλή-
λοις συμπεσοῦνται καὶ διαφθεροῦσιν ἀλλήλους, ἀμελήσαντες
τῶν πολεμίων. οὗ δὴ ἕνεκα ἡμᾶς κάτω μένειν δέον ἀναβιβά-
ζοντας αὐτοὺς ἐν τάξει καὶ τὴν ἔριν διαλύοντας." τοιαῦτα τῷ
μεγάλῳ εἰπόντι δομεστίκῳ ἐπείθετο ὁ βασιλεὺς καὶ τὴν ἄνοδον
ἐπέτρεπε τοῖς περὶ αὐτόν. πολλῶν δὲ ἐν ταὐτῷ προσφύντων
καὶ ἅμα ἀναβαίνειν πειρωμένων, ἡ τοῦ βασιλέως κλίμαξ τὸ V. 149
βάρος οὐκ ἐνεγκοῦσα κατέπεσε, τῶν κάλων ῥαγέντων· καὶ B
μόνη καταλέλειπτο ἡ τοῦ μεγάλου δομεστίκου, καὶ δι' αὐτῆς
ἀνῄεσαν καθ' ἕνα καὶ σχολῇ, πρὸς τὴν ἀνάβασιν ἀμφοτέρων
ἐφεστώτων καὶ οὐκ ἀπειλαῖς μόνον, ἀλλὰ καὶ πληγαῖς ἐπε-
χόντων τὸν ἄγαν ὠθισμόν. ἐπεὶ δὲ ὀλίγῳ δέοντες ἀνῆλθον
ἑκατὸν, ὁ τὴν τῶν φυλάκων ἐπιμέλειαν ἐπιτετραμμένος
Συναδηνὸς ὁ τοῦ Μαρούλη πρὸς τὴν βοὴν ὀξέως ἅμα διακο-
σίοις ἐπιβοηθήσας, οὔπω νομίζων ἐπὶ τοῦ τείχους εἶναι τοὺς

manum conserere, sed velut a notis refugiturum, atque hac ratione suis instar multorum fore. Verum magnus domesticus id non permittebat, aiebatque, se et illum ab officio discessuros, si hoc facerent: nam ex reliquis neminem ascensurum: non quia ad res arduas periculosasque ignavi essent, neque malignitate aliqua, sed cum unusquisque primus ascendere cupiet, ex aemulatione omnes invicem impeditum iri. Neque solum nullum ascensurum, sed ibi condensatos inter se pugnaturos dissidentesque ac litigantes, hostem neglecturos. Quare nos infra manentes, inquit, ut illi ordine ascendant, facere et contentionem praecidere oportet. Obtemperavit monitis imperator, et iis, qui circum se erant, ascensum concessit. Cum autem multi adhaerescentes simul ascendere conarentur, scalae imperatoris ponderi impares, ruptis funibus, quibus attrahebantur, deciderunt, solaeque relictae sunt magni domestici: per quas sigillatim et paulatim ascenderunt, ambobus astantibus, nec minis tantum, sed plagis quoque se impellentes cohibentibus. Ubi paulo minus centum ascenderunt, praefectus vigilum Synadenus, Marulae filius, ad clamorem propere cum ducentis subsidio accurrens, nondum hostes in moenibus esse, sed foris adhuc oppugnare, arbitratus, cum paucis,

A.C. 1328 πολεμίους, ἀλλ' ἔξωθεν ἐπιχειρεῖν, ἅμα ὀλίγοις ὧν ἦγεν ἀνέβαινεν ἐπὶ τὸ τεῖχος, ὅ, τι εἴη τὰ δρώμενα βουλόμενος μαθεῖν. C καὶ αὐτός τε ἑάλω καὶ οἱ συναναβάντες ὑπὸ τῶν ἐφεστώτων. μαθόντες δὲ, ὅτι αὐτὸς ἄγοι τὴν στρατιὰν, τοῖς κάτω ἐπεφώνουν ὑπείκειν καὶ μὴ ἀνθίστασθαι τῷ νέῳ βασιλεῖ ἤδη ἐντὸς ὄντι τειχῶν, μάλιστα δ' ὅτι, καὶ τοῦ στρατηγοῦ αὐτῶν ἑαλωκότος, οὐκ ἂν διαφύγοιεν τὸ δοῦναι δίκην ἐς τὴν ὑστεραίαν, ἐάν τι ἐπιχειρῶσι βλάπτειν. ὡς δὲ ἤκουσαν οἱ κάτωθεν, ὅτι αὐτῶν τε ὁ στρατηγὸς ἑάλω καὶ ὁ νέος βασιλεὺς ἐντὸς εἴη τειχῶν, μεταβαλόντες εὐθὺς εὐφήμουν τε τὸν νέον βασιλέα καὶ ἕτοιμοι ἦσαν συναίρεσθαι τὰ δυνατά. καὶ κατὰ τὸ ἐπίλοιπον τοῦ τείχους ἠρέμα ἤδη διὰ πάντων ᾔει ἡ τοῦ νέου βασιλέως εὐφημία. ὃ δὴ βασιλεύς τε καὶ ὁ μέγας δομέστικος ἀκούοντες, οὐκέτι ἔφασαν δεῖν τῇ κλίμακι προσέχοντας ταλαιπωρεῖσθαι, ἀλλὰ τοῖς ἀναβᾶσι προσέταττόν σφισι D τὰς πύλας ἀνοιγνύναι. καὶ ἐπεὶ ἀνεῴχθησαν, ἅμα τοῖς ἐπιλοίποις εἰσῄει καὶ ὁ βασιλεὺς, μετὰ μικρὸν δὲ καὶ ὁ πρωτοστράτωρ ἅμα σὺν παντὶ εἰσῆλθε τῷ στρατῷ. καὶ πρὸς τὰ βασίλεια ἐλθὼν ὁ νέος βασιλεὺς, τὸν βασιλέα καὶ πάππον προσεκύνησεν, ὥσπερ ἦν ἔθος αὐτῷ, καὶ καθεσθέντες μικρὸν, ὁ πρεσβύτερος βασιλεὺς ὥσπερ ἐπὶ τοῖς συμβᾶσι καταμεμφόμενος ἑαυτὸν, μεμνῆσθαι ἔλεγε καλῶς τῶν λόγων τῶν αὐτοῦ, αἰνιττόμενος ὡς τὰ λυσιτελῆ καὶ δέοντα συμβουλεύοντι οὐκ ἐπείθετο αὐτῷ. ἐξ ἀρχῆς μέντοι ἴσην καὶ ὁμοίαν

quos duxit, in murum ascendit, volens noscere quid ageretur. Captus est autem ipse cum sociis, qui simul ascenderunt, ab iis qui iam super muro visebantur. Qui ut didicerunt, ipsum cum exercitu adesse, coeperunt acclamare his, qui adhuc infra erant, cederent, nec repugnarent imperatori, qui iam intra muros esset; praesertim duce iam eorum capto: non enim die crastina poenam vitaturos, si quid hostile auderent. Qua voce commoti inferni, statim mutatis animis, imperatori faustis acclamationibus gratulati sunt, parati eum adiuvare quantum possent: serpebatque per reliqua moenia inter milites in imperatorem laeta acclamatio. Quod ipse et magnus domesticus audientes, non iam scalis haerendo laborandum dicebant, et ut qui ascenderant portas reserarent, succlamabant. Quibus apertis, cum reliquo agmine introivit imperator, pauloque post protostrator cum toto qui restabat exercitu. Progressus ad palatium nepos, avum consueto more venerabundus salutavit; et cum aliquamdiu consedissent, avus velut propter ea, quae acciderant, semet incusans, bene se meminisse aiebat verborum eius, innuens, se utilia et necessaria suadenti non obtemperasse. Ab initio autem idem et simile semper diabolo esse studium nocendi hominibus, semperque eum malefacere. Et cum fallatur decipiaturque saepius, in quibusdam

τῷ διαβόλῳ εἶναι τὴν σπουδὴν περὶ τὸ βλάπτειν τοὺς ἀνθρώ- A. C. 1328
πους καὶ ἀεὶ κακῶς ποιεῖν ἐπιχειρεῖν. καὶ σφάλλεσθαι μὲν P. 187
τὰ πλείω· ἔστι δὲ ἐν οἷς καὶ ἐπιτυγχάνειν ὥσπερ καὶ ἐπὶ τοῖς νυνὶ συμβεβηκόσι. καὶ ὁ νέος βασιλεὺς συνετίθετο οὕτως ἔχειν· παρὼν δ' αὐτοῖς διαλεγομένοις καὶ Μετοχίτης ὁ μέγας λογοθέτης, „ἀλλ' ἕως πότε" ἔφησεν „ἔσονται τοιαῦτα; ἐὰν γὰρ μὴ αὐτοὶ ὁμονοήσητε, τῶν δεόντων γενήσεται οὐδέν." βασιλεὺς δὲ ὁ νέος ἀπεκρίνατο μὲν οὐδὲν, ἐθαύμαζε δὲ ὅ,τι ταῦτα βούλονται αὐτῷ, ὥσπερ ἂν εἰ μὴ παρῆν αὐτὸς τοῖς γινομένοις καὶ τὰ πραττόμενα σαφέστερον τῶν ἄλλων μᾶλλον ᾔδει. πρὸς μέντοι βασιλέα καὶ πάππον εἰς προσκύνησιν τῆς τοῦ θεοῦ μητρὸς τῆς Ὁδηγητρίας ἀπελθεῖν ἐπυνθάνετο B
εἰ κελεύοι. ἐπεὶ δὲ ἐπέτρεπεν, εἰς τὸ τῆς Ὁδηγητρίας τέμενος ἐλθὼν προσεκύνει τε καὶ τῶν εὐεργεσιῶν τῶν εἰς αὐτὸν πολλὰς εὐχαριστίας ἀπεδίδου. ἐκεῖθεν δὲ εἰς τὴν τῶν Μαγκάνων ἀφίκετο μονὴν, καὶ τά τε ἐν αὐτῇ τῶν τοῦ Χριστοῦ σωτηρίων παθῶν τεθησαυρισμένα σύμβολα προσκυνήσας, καὶ πατριάρχῃ τῷ Ἡσαΐᾳ δι' αὐτὸν ἐγκεκλεισμένῳ ὅσον τε ὁ καιρὸς ἐδίδου εὐχαριστήσας καὶ εἰς τὸ πατριαρχεῖον ἐφ' ἵππου βασιλικῶς κεκοσμημένου ἀγαγὼν, ἐπανῆκεν αὖθις εἰς τὰ βασίλεια καὶ ἐν τοῖς τοῦ Πορφυρογενήτου οἴκοις τῶν βασιλείων ηὐλίσατο ἐγγύς. ἡ μέντοι στρατιὰ, ἡ μὲν ἔνδον ἐσκήνωσε Βυζαντίου, ἡ πλείων δὲ, προστάξαντος βασιλέως, ἐν τοῖς παρὰ C
τὴν τῆς Καμήλου γέφυραν λειμῶσιν ἐστρατοπεδεύσατο ἐλ- V. 150
θοῦσα. ἁρπαγὴ δὲ πραγμάτων ἐγένετο οὐδεμία, πλὴν εἰ μὴ

tamen voto suo potiri, ut in his quae nunc evenerint. Haec nepos assensu confirmavit. Tum magnus logotheta Metochites, qui eorum sermoni intererat, Quousque tandem haec patiemur? inquit: nisi enim vos in concordiam redieritis, nihil fiet e re publica. Iunior imperator tacere, mirari autem, quid sibi cum his verbis vellet, quasi non adesset ipse illis, quae fiebant et quae agerentur nosset melius omnibus. Deinde ex avo quaerebat, num se ad Dei Matrem Hodegetriam adorandam abire permitteret. Eo annuente, ingressus templum, eam precibus veneratus, pro collatis beneficiis amplas gratias egit. Inde in Manganense monasterium se contulit, et pie cultis quae in eo salutiferae mortis Christi monumenta pro thesauro asservabantur, ac patriarchae Isaiae sua causa incluso pro tempore gratiis actis, eoque super equo regie ornato in patriarchium reducto, ad palatium rediit et in aedibus Porphyrogeniti palatio vicinis noctem egit. Exercitus pars intra Byzantium mansit: maior pars, iussu imperatoris, in pratum iuxta pontem Cameli recessit ibique castra posuit. Domus nulla praeterquam magni logothetae, idque nescio imperatore, direpta est. Hoc modo bellum inter imperatores Roma-

A.C. 1328 τῆς μεγάλου λογοθέτου οἰκίας, καὶ τοῦτο παρὰ γνώμην βασιλέως. οὕτω μὲν ὁ πρὸς ἀλλήλους τῶν Ῥωμαίων βασιλέων πόλεμος συνέστη τὴν ἀρχὴν, καὶ τοσαύτας ἔσχε τὰς μεταβολὰς, καὶ τελευταῖον εἰς τοιαῦτα ἐξέβη· καὶ οὕτω συνεγράφησαν ὡς ἐγένοντο μετὰ ἀκριβείας ἁπάσης καὶ ἀληθείας, ὥσπερ ἐξ ἀρχῆς ἐπηγγειλάμεθα. ἐπολέμησαν δὲ ἐν ἑνὶ μηνὶ καὶ ἔτεσιν ἑπτὰ, ἀρξαμένων ἀπὸ τοῦ ἐννάτου καὶ εἰκοστοῦ ἔτους ἐπὶ
D τοῖς ὀκτακοσίοις καὶ ἑξακισχιλίοις ἐν τετάρτῃ Ἰνδικτιῶνι, ἐννεακαιδεκάτην ἄγοντος Ἀπριλλίου, ἄχρι τοῦ ἕκτου καὶ τριακοστοῦ ἔτους ἐπὶ τοῖς ω' καὶ ,ς ἐν πρώτῃ ἐπὶ δέκα Ἰνδικτιῶνι Μαΐου ἐννάτῃ ἐπὶ δέκα.

7. ἑπτὰ non dubitavi pro ἓξ ponere, cum bellum inde ab indictione quarta usque ad Maium undecimae durasse ipse diserte scribat. Hunc et qui statim infra legebantur errores, iam pridem a Boivino ad Niceph. L. IX. c. 7, 1. notatos, ex numerorum signis male intellectis fluxisse puto. 9. Indictionem undecimam cum anno M. 6836. congruere, non verisimile est Cantacuzenum ignorasse. Unde pro πέμπτου, quod ut reliqua in his extremis depravata praeter ms. P. etiam Interpretis liber habuit, recte mihi videor ἕκτου correxisse. 10. Pro ,ς antea χ', errore manifesto.

nos a principio erupit, tot mutationes habuit, et tandem in hunc finem desiit. Sic autem omnia uti contigerunt, verissime accuratissimeque conscripta sunt: id quod in exorsu historiae nos facturos promisimus. Belligerarunt annos septem, mensem unum, incipientes nimirum anno ab orbe condito vicesimo nono supra sex millia et octingentos, Indictione quarta, decimo tertio Kalendas Maias, et ad annum sextum et tricesimum supra sex millia et octingentos, ad Indictionem undecimam et decimum quartum Kalendas Iunias perducentes.

# ΙΩΑΝΝΟΥ ΤΟΥ ΚΑΝΤΑΚΟΥΖΗΝΟΥ

## ΙΣΤΟΡΙΩΝ ΒΙΒΛΙΟΝ Β.

# IOANNIS CANTACUZENI

## HISTORIARUM LIBER II.

### PERIOCHA.

*Quid superiore libro memorarit quidque proxime sequenti memorandum sit, per transitionem significat. Nepotis occupato Byzantio in avum cura, reverentia, honos, liberalitas. Magno logothetae ignoscitur: in protostratorem urbis praefectura confertur. Petit imperator a patriarcha, uti in gratiam redeat cum episcopis, a quibus fuerat vehementer offensus. Quo pacto Marcus Caballarius, maledicentiae in ipsum reus, eius conspectu tremefactus fuerit et corruerit (Cap. 1). Mittit suo loco magnum domesticum, qui patriarcham flectat. Frustra. Dies Synodo dicitur. Domesticus episcoporum patronus supplicibus verbis patriarcham expugnat. Imperatori de beneficio gratias actum eunt. Eiusdem imperatoris in benemeritos totamque civitatem munificentia (2). Moesorum in Thraciam superiorem, vicissim Romanorum in Moesiam impressio, et capta Diampolis. Alia Moesorum in Thraciam irruptio, Buceli occupatio, Probati obsidio. Romani foedus violatum obiiciunt, minas intentant. Moesus causam indicat, cur partem de imperio Romano sibi cupiat. Ostenditur magnitudo Romani exercitus, qua territus Moesus pacem promittit. Quare tam audacter in Thraciam Moesi praedabundi irruerent. Romanus miles, spoliis aegre carens, pugnam non commissam dolet. Redintegratur inter Moesum et imperatorem amicitia (3). Magnus domesticus Syrgianni tolerabilem carcerem, dehinc libertatem exorat. Amor mutuus imperatoris et domestici, qui divisae petitionis rationem reddit. Magistrum suum militarem celebrat. Syrgiannes custodia liberatur (4). Xena imperatoris mater a magno domestico se celatam irascitur. Germani pecuniarum egentes, propter vetus hospitium cum imperatoribus Constantinopolitanis, subsidium petunt; sed ob exhaustum aerarium nihil impetrant: copiasque accipere quarum causa pecuniam petere videbantur, nolunt. Domesticus parte onerum suorum Apocaucho humeros supponente levatur. Pluribus de causis imperator Cyzicum vadit. Pax cum Zamerchane satrapa, urbes orientis infestante (5). Res adversum barbaros in Bithynia vario eventu, nec sine Romanorum gloria administrata (6). Nuntius ad protostratorem Byzantium. Naves ut sint paratae iubetur. Castra custodiuntur (7). Laus Romanorum ex ore hostium. Senes Persarum proceres loci mutationem dissuadent et qua cautione in eodem infamiae vitandae causa manendum, edisserunt. Rumor de imperatoris obitu, fuga militum. Imperator Constantinopolin lembo transducitur. Apud Philocrenen*

*Romani cladem accipiunt* (8). *Amor imperatoris in Cantacuzenum declaratus: et quo pacto per se perque alios laborarit, ut eum imperii collegam haberet. Ille tamen singulari modestia oblatam dignitatem semper repudiat* (9). *Zacharias Genuensis Chium ab imperatore seniore concessam, sibi posterisque suis propriam facit. Calothetus dynasta matri magni domestici eius recuperandae viam pandit et in eam rem auxilium suum pollicetur. Consilium domestici, quomodo agendum cum Martino, qui tunc insulam obtinebat* (10). *Quanto navium numero et qualibus epibatis eodem navigatum. Navarchorum in apparatus pompa aemulatio. Conditiones, quibus imperator Martino insulae praefecturam relinquere voluit. Benedictus castellum tradit. Martinus quoque se dedens beneficio domestici mortem evadit: ipse in carcerem ducitur, uxor et familia solum vertunt, milites eius, data venia, ex duabus conditionibus posteriorem eligunt. Imperator etiam benevolentibus, non benemeritis tantum, gratiam referendam putat et populo Chio onus tributarium imminuit* (11). *Benedicti insignis pertinacia et arrogantia intolerabilis, omnes conditiones, quamvis honestissimas aspernantis, nisi insula sibi in peculium detur* (12). *Imperator apud Phocaeam veterem a Persis satrapis colitur: Phocaea nova ei traditur. Benedictus denuo Chium subiugare infelici successu aggreditur* (13). *Sequitur locus perelegans et patheticus de morbo et instante imperatoris obitu apud Didymotichum, ubi magnus domesticus sibi iam tertio delatum imperium abnuit: cui ipsum et una imperatrix a moribundo imperatore commendantur. Omnibus ordinibus valedicit. Ingens exoritur comploratio. Palatium ad extremam morituro salutem dicendam patet cuilibet. Ante mortem habitum monasticum postulat* (14). *De Xena matre quamvis semel iterumque admonitus, nihil constituit. Magnus domesticus pro consuetudine in morte imperatorum solenne iuramentum exigit. Constantinum despotam, quamvis multum rogatus, nec vita, nec oculis privare sustinens, occulte liberum dimittit. Constantinopolitani iurant* (15). *Andronicus senior timens, ne extincto nepote ipse habeatur pessime, ultro ad monachos se aggregat. Iunior a monastico schemate per magnum domesticum impeditur: qui cum medicis expostulat, imperatorem terret. Mandatum ultimum imperatoris de exanimi suo corpore* (16). *Ob imperii pondus et molestiarum molem magnum domesticum miseratur. Mortis indicia. Aqua de fonte Matris Dei cum omnium incredibili gaudio sanatur* (17). *Narrantur ei quae interim gesta sint: probat omnia praeter missionem Syrgiannis in occidentem: quam tamen postea non improbat. Syrgiannis a domestico alienatus animus. Recensetur, quid despotae Constantino acciderit; e carcere eximitur. Nepos Andronicus avum induisse monachum tristatur: cui domesticus solatium suggerit* (18). *Poenitet, non ei reddidisse imperium, quemadmodum cogitarat: qua de re cum domestico consultans* (19), *ab eo poenitudine deducitur, argumentis partim quae movere potuerint, partim quae moverint dissolutis. Deiparae de recepta sanitate gratias agit* (20). *Persae populatores vincuntur. Achris a Triballis obsidentibus asseritur. Moesus et imperator in Triballorum fines irrumpunt, Moesus ex vulnere interit. Regina, Michaelis coniux, imperatoris soror, cum liberis pellitur. Moesia ab imperatore vastatur: quaedam oppida deditionem faciunt. In locum Isaiae patriarchae Ioannes presbyter magni domestici suasu ab episcopis surrogatur* (21). *Persae vastatores male multantur. Syrgiannis sociorumque in domesticum et imperatorem con-*

Asiaeque iugum imposuerunt. Quod autem nos brevi tempore non pauca a barbaris detrimenta accepimus, non propterea de cetero animis frangi debemus. Haud enim ignavia, sed peccatis nostris, Deo nos per barbaros ulciscente, victi sumus. Non igitur fas est, quorum spiritus nulla vis devicit et quos rursum maior spes alit calamitate, eos hebetari atque languescere: cum rectius sit arbitrari, in actionibus homines frustrari ac decipi: animis vero semper aeque ac vere generosos esse posse: nec quia prius manus dederint, ideo in praesens merito imbelles videri debere. Quin vos barbaris nec usu militari ceditis: et audendo multum antecellitis. Cernitis, quemadmodum trepidantes in cava montium se abdant et ab illis anfractibus atque angustiis locorum seiungere se nusquam audeant, nec aequo campo nobiscum congredi. Quamobrem estote viri fortes et collapsam maiorum vestrorum gloriam instaurate: neve cum barbaris pro regione ad vos nihil attinente, sed pro libertate inprimis et unumquemque pro patria sua dimicaturum existimatote. Si enim hic, ut nobis dignum est, pugnantes eos debellaverimus, praeter ea quae prius ipsi nobis abstulerunt recuperata, etiam nostra regione tuto fruemur.

A. C. 1329 παρόντι, πρόφασις ἂν ἦν τινι κακῷ γενέσθαι λήσειν οἰομένῳ· ἐπεὶ δὲ αὐτὸς ἔξω ἕστηκα τῶν ἄλλων βραβευτὴς, ἔξεστι σκοπεῖν ἑκάστῳ ὡς, εἰ μὲν κακὸς ὀφθείη, κολασθήσεται τῇ πρεπούσῃ ζημίᾳ· οἱ δὲ ἀγαθοὶ τιμηθήσονται τοῖς προσήκουσιν ἄθλοις τῆς ἀρετῆς. τὴν δὲ συμπλοκὴν ὁποίαν τινὰ χρὴ ποιεῖσθαι πρὸς τοὺς βαρβάρους, καὶ αὐτοὶ μὲν ἴστε ἐκ παι- D δὸς πολεμίοις ἔργοις ἐντεθραμμένοι· παραινέσω δὲ καὶ αὐτός. εἰ μὲν γὰρ τεταγμένοι κατὰ φάλαγγας ἐκ τοῦ ὁμοίου καὶ αὐτοὶ ἐμάχοντο ἡμῖν, ἦν ἀναγκαῖον καὶ ἡμᾶς τὴν τάξιν φυλάττοντας αὐτοῖς ἐπιέναι· ἐπεὶ δὲ, ὅσον ἀπὸ τῶν γινομένων ἐστὶν εἰκάζειν, οὐκ εἰς χεῖρας ὑμῖν ἰέναι διανοοῦνται, ἀλλ᾽ ἀπωθέν τε βάλλειν καὶ ἐπιόντας οὐχ ὑφίστασθαι, ἀλλ᾽ ὑπαναχωρεῖν πρὸς τὰς δυσχωρίας καὶ τοὺς τεταγμένους ἐν αὐταῖς, δέον καὶ ὑμᾶς μέχρι μὲν τοῦ ἐν ἐφικτῷ τῶν τοξευμάτων γίνεσθαι σχολῇ βαδίζειν καὶ τεταγμένως, ἐπειδὰν δὲ γένησθε ἐγγὺς, ὀξύτητι πάσῃ χρῆσθαι καὶ εὐψυχίᾳ, ἅμα μὲν τὸ μεταίχμιον συναιροῦντας ὡς ἂν μὴ κατὰ σχολὴν βάλλησθε τοῖς βέλεσι συχνοῖς, ἅμα δ᾽, ἵνα καὶ τὴν ἀναχώρησιν τῶν βαρβά- P. 213 ρων φθάνοντες αὐτοὺς κακῶς ποιῆτε· τὴν δίωξιν δὲ μὴ ἐπιπολὺ ποιεῖσθαι, μηδὲ θρασύτητι ἐπαιρομένους, ἑαυτοὺς εἰς τοὺς κινδύνους εἰσωθεῖν· ἀλλ᾽ ἐπειδὰν ἐν τοῖς ἐπιτάκτοις γένησθε ἐκείνοις, πάλιν ὑπαναχωρεῖν πρὸς τὸ πεδίον, τὴν τάξιν τε φυλάττειν καὶ ἐπιόντας ἀμύνεσθαι τοὺς βαρβάρους."

3. *κολασθήσεται* em. ED. P. pro *κολασθήσεσθαι*.

Adhaec siquidem ego nunc vobiscum una in hostem pugnarem, daretur imbelliae alicui occasio, dum se posse latere existimaret. Sed quoniam extra proelium arbiter et iudex certaminis sum, licet quisque secum cogitet, si ignavus fuerit, poenas debitas luiturum: strenuos autem paribus virtuti suae praemiis honoratum iri. Sed qua ratione cum barbaris pugnanda sit, ipsi etiam a pueritia bellicis assuefacti operibus non ignoratis: tamen admonebo. Si ipsi in acies distributi proelium inibunt, nos quoque acie ordinata illis occurramus necesse est. Quia vero, quantum coniectura provideo, non dextras conserere, sed iacula eminus spargere et ubi in nos incursarint, non subsistere, sed ad loca impedita ibidemque in insidiis subsidentes refugere meditantur, et vos extra teli coniectum sitis, lenteque servatis ordinibus incedatis oportet. Ubi autem propiores fueritis, omnem acrimoniam et virtutem animi expromatis; simul spatium in medio contrahentes, ne per moram telis crebris feriamini: simul barbaros receptu prohibentes et ipsos male multantes. Ne porro illis fugientibus valde instate neve confidentia elati, in discrimen vos coniicite sed postquam ad triarios seu subsidiarios eorum veneritis, in campum revertimini, servatisque ordinibus, eos incursantes propulsate.

*Τοιαῦτα μὲν ὁ βασιλεὺς παρεκελεύσατο τοῖς στρατιώταις,* A. C. 1329 *ἅμα καὶ βοήθειαν τὴν ἐκ τοῦ κρείττονος καὶ νίκην ἐπευξάμενος αὐτοῖς. οἱ δὲ προσκυνήσαντές τε βασιλέα καὶ ἢ καλῶς νικήσειν ἢ εὐκλεῶς τεθνήξεσθαι εἰπόντες, σταυρῷ τε καθοπλίσαντες ἑαυτοὺς, ἐχώρουν κατὰ τῶν βαρβάρων τεταγμένως* B *καὶ κατὰ σχολήν. ἐστρατήγει δὲ αὐτῶν Ἐξώτροχος ὁ μέγας ἑταιρειάρχης. ἀντεπῄεσαν δὲ καὶ οἱ βάρβαροι αὐτοῖς ὁμοίως. ἐπειδὴ δὲ ἦσαν ἐγγὺς ἀλλήλων ὅσον ἐφικνεῖσθαι τοῖς τοξεύμασιν, οἱ Ῥωμαῖοι μὲν, ᾗ αὐτοῖς προσετέτακτο πρὸς βασιλέως, ὅλους ἀνέντες χαλινοὺς, ὅσον ἐνῆν ὀξέως ἐπεφέροντο τοῖς Πέρσαις· οἱ βάρβαροι δὲ καρτερήσαντες μὲν ἐπὶ μικρὸν* V. 172 *καὶ βέλη κατὰ τῶν Ῥωμαίων ἀφέντες, οἰόμενοι οὕτως ἂν ἀποτρέψαι τῆς ὁρμῆς, ἐπεὶ ἑώρων αὐτοὺς ἀτρέπτως ἐπιόντας καὶ οὐδὲ ὀλίγα φροντίζοντας τῶν οἰστῶν, εἰς φυγὴν ἐτράποντο εὐθύς. ἐν δὲ τῇ φυγῇ ἀπέθανον περὶ τεσσαράκοντα αὐτῶν, οἱ λοιποὶ δὲ διεσώθησαν πρὸς τὰς δυσχωρίας καὶ τοὺς τεταγμένους ὄπισθεν καταφυγόντες. Ῥωμαίων δὲ ἀπέθανεν οὐδεὶς οὔτε ἐτρώθη· ἵπποι δὲ ἐγένοντο ὀλίγοι τραυματίαι. ἀναχωρήσαντες δὲ ἀπὸ τῆς διώξεως, ἔστησαν ἐπὶ τοῦ πεδινοῦ πάλιν ὡς ἐπὶ βαλβίδος, τὴν ἔφοδον τῶν βαρβάρων περιμένοντες· οἱ Πέρσαι δὲ μικρὸν ἐνδιατρίψαντες τοῖς οἰκείοις καὶ πλείους τῶν πεσόντων προσλαβόμενοι ἑτέρους, ᾔεσαν ἐπὶ τοὺς Ῥωμαίους. καὶ ἐπεὶ πάλιν ὥσπερ καὶ πρότερον ἐγένοντο ἐγγὺς, τῇ ἴσῃ καὶ ὀξύτητι καὶ προθυμίᾳ τῶν Ῥωμαίων χρησαμένων, ἐτράπησάν τε αὖθις εἰς φυγὴν οἱ βάρβαροι καὶ*

His imperator suos hortatus, et a Deo auxilium ipsis victoriamque precatus est. Qui vicissim eum venerati, et se aut honeste victuros, aut cum laude occubituros, professi, signoque crucis obarmati, in hostem lento passu et ordine, Exotrocho magno hetaeriarcha ducente, procedèbant. Similiter barbari gradum inferebant. Cum spatio iam distarent, quo telum adiici potest, Romani, ut imperatum erat, immissis penitus habenis quam acerrime in Persas incurrebant. Illi aliquamdiu persistentes, tela in Romanos contorquebant: sperantes se illorum incursum ita repressuros. Sed ubi eos constanter premere sagittarumque securos viderunt, tum in fugam se penetrarunt, in qua circiter quadraginta ceciderunt: reliqui ad angustias locorum et subsidiarios retro collocatos pervenerunt; Romanorum nemo neque occubuit, neque vulnus accepit: pauci equi consauciati. Regressi, in planitie rursum hostem, quasi intra carceres exspectantes constiterunt. Persae aliquantisper inter suos morati, pluribus quam oppetierant assumptis, in Romanos denuo vadunt. Sed illis parem priori impetum alacritatemque adhibentibus, iterum fugam arripiunt, in qua circiter triginta cadunt, Romanorum nullus desideratus, nec vulneratus est;

A.C. 1329 *περὶ τριάκοντα αὐτῶν ἀπέθανον ἐν τῇ διώξει· Ῥωμαίων δὲ*
D *οὐδεὶς, οὔτε ἐτρώθη, εἰ μὴ ἔνιοι τῶν ἵππων. Ὀρχάνης δὲ ὁρῶν ἀπὸ τοῦ λόφου τοὺς ἰδίους ἤδη ἡσσημένους δὶς, παρεθάῤῥυνέ τε τοὺς βαρβάρους καὶ ἐπεβοήθει πέμψας στρατιάν. βασιλεὺς δὲ ἐπῄνει τε τοὺς ἰδίους καὶ αὐτὸς τῆς εὐψυχίας ἕνεκα καὶ τῆς ἀνδρίας καὶ παρεκάλει μὴ ὑφίεσθαι τῆς τόλμης, ὡς ἀεὶ κρείττους τῶν βαρβάρων ἐσομένους, ἔπεμπέ τε καὶ στρατιὰν ἀξιόμαχον πρὸς τοὺς βαρβάρους. καὶ γενομένων ἐγγὺς τῶν στρατευμάτων, πάλιν ἀντέσχον μὲν οἱ Πέρσαι ἐπὶ πλέον· ἐκβιασθέντες δ' ὅμως ὑπὸ τῶν Ῥωμαίων, ἐτράπησαν εἰς φυγὴν πρὸς τοὺς οἰκείους καὶ ἔπεσον ὀλίγοι ἐξ αὐτῶν. τοιαύτας μὲν δὴ τὰς συμπλοκὰς καὶ τὰς ἀναχωρήσεις οἱ Πέρσαι πρὸς τοὺς Ῥωμαίους ἐποιοῦντο ἄχρι δείλης τῆς ἡμέρας ἐν ἀρχαῖς μάλιστα τοῦ θέρους, Ἰουνίου μηνὸς ἐνισταμένου. καὶ κατὰ πάσας μὲν τὰς συμβολὰς ἐνίκων οἱ Ῥωμαῖοι· κατὰ κράτος δὲ αὐτῶν περιγενέσθαι οὐκ ἠδύναντο, ἅμα μὲν διὰ τὸ φά-*
P. 214 *ραγγας βαθείας περιβεβλῆσθαι τὴν Περσῶν στρατιὰν καὶ μηδεμίαν κύκλωσιν παρέχειν τοῖς Ῥωμαίοις, ἅμα δ', ὅτι καὶ τὸ πεδίον, ἐν ᾧ κατιόντες διηγωνίζοντο οἱ Πέρσαι, τάφροις αὐτοφυέσι καὶ αὐτὸ διατετμημένον ἦν πανταχοῦ, ἐν οἷς τοξόται ἱστάμενοι πολλοὶ τὴν τελείαν νίκην ἀφῃροῦντο Ῥωμαίους, βάλλοντες ἐκ τῶν ὀχυρωμάτων· τήν τε στρατιὰν αὐτοῖς πᾶσαν βασιλέα οὐκ ἐξῆν ἐπαγαγεῖν διὰ τοῦ τόπου τὴν ἀνωμαλίαν. ἐξ ἐκείνου δὲ ὁ Ὀρχάνης νομίσας καιρὸν εἶναι καὶ σφοδροτέρας προσβολῆς, χιλίους ἑτέρους ἀπολεξάμενος τῶν Περσῶν, ἐκέ-*

vulnerati tamen equi aliquot. Orchanes e tumulo suos iam bis victos conspiciens, animos addit, manumque auxiliariam submittit. Imperator quoque suos de magnanimitate ac fortitudine commendat, hortaturque, ne quid de ea, utpote semper barbaris superiores futuri, deminuant; mittitque contra illos parem copiam. Ut sibi appropinquarunt, Persae denuo acrius resistunt: sed Romanorum virtuti succumbentes, ad suos refugiunt; pauci in fuga animas amittunt. Huiusmodi pugnae Persarum cum Romanis et refugia usque ad diei vesperam perducebantur, principio maxime aestatis, Iunio mense ineunte, et in omnibus congressibus Romanus vincebat; summo autem proelio ideo nequibat eos vincere, quod exercitus Persarum profundis vallibus cingeretur, nec circumveniri posset, quodque campus, in quem certaturi descendebant, fossis naturalibus ubique intersectus erat: in quibus magno numero stantes sagittarii, plenam Romanorum victoriam impediebant, inde ut ex munitionibus iaculantes, cum propter inaequalitatem loci universum exercitum in eas immittere imperatori non liceret. Ex illo Orchanes vehementioris impressionis tempus esse statuens,

λευσεν εἰς τὸ πεδίον καταβάντας ἅμα τοῖς τριακοσίοις προσ- A.C. 1329 βαλεῖν Ῥωμαίοις. βασιλεύς τε ἐπεὶ ἐκείνους ἑώρα κατιόντας, B τοῖς τε πρότερον μαχομένοις στρατιώταις τῆς ἀνδρίας ἕνεκα εὐχαριστήσας τὰ εἰκότα καὶ τὸν στρατηγὸν αὐτῶν Ἐξώτροχον ἐπαινέσας καὶ τῆς ἐμπειρίας καὶ τῆς τόλμης, ἔπεμπε καὶ στρατιὰν ἑτέραν, ἧς ἦρχε Τάγαρις Μανουὴλ ὁ μέγας στρατοπεδάρχης, ὡς σὺν αὐτοῖς ἀντιστησομένην τοῖς βαρβάροις. καὶ γενομένης ἐπιπολὺ μάχης ἰσχυρᾶς ἐξ ἑκατέρων τῶν μερῶν, τῶν μὲν Ῥωμαίων ἵππων ἐτρώθησαν πολλοὶ, στρατιῶται δὲ ἐγένοντο ὀλίγοι τραυματίαι, τέθνηκε δὲ εἷς· Περσῶν δὲ ἔπεσον πεντήκοντα παρὰ τὴν μάχην. Ὀρχάνης δὲ ἐν ᾧ ἡ μάχη συνεκροτεῖτο, τὴν στρατιὰν, ἣν εἶχε, πᾶσαν ἔστησεν ἐπὶ μετώπου, (πρότερον γὰρ μέρος τι αὐτῆς πολὺ ἐν ταῖς C ἐνέδραις κεκρυμμένον ἦν,) ὡς εἶναι καταφανῆ καὶ Ῥωμαίοις καὶ βαρβάροις, οἰόμενος ἐκείνοις τε προθυμίαν καὶ Ῥωμαίοις ἔκπληξιν τὸ τοιοῦτον ἐμποιήσειν. ὡς δὲ ἑώρα τῆς ἐπινοίας ἀπονάμενος οὐδὲν, (οἱ Ῥωμαῖοι γὰρ οὐδὲν ἧττον ἐμάχοντο εὐψύχως καὶ ἤδη περιεγίνοντο τῶν πολεμίων,) Παζαρλοῦν τὸν ἀδελφὸν πανστρατιᾷ ἐκέλευσε τοῖς Ῥωμαίοις συμβαλεῖν· μικρὸν δὲ καὶ αὐτὸς ἀπὸ τοῦ λόφου καταβὰς, πάλιν ἔστη μετ' V. 173 ὀλίγων ὅ, τι ἂν ἀποβαίη σκοπῶν. βασιλεὺς δ' ἐπεὶ ἑώρα πανστρατιᾷ πρὸς τὴν μάχην τοὺς βαρβάρους ὡρμημένους, τὰς μὲν ἄλλας ἐκέλευε τάξεις μένειν πάσας ἀτρεμούσας, αὐτὸς D δὲ τρία τέλη ἀναλαβὼν, ἐχώρει πρὸς τὴν μάχην. ἐτέτακτο δὲ ἐπὶ μὲν τοῦ δεξιοῦ κέρως ὁ μέγας δομέστικος, τὸ ἀριστερὸν

rursum delectis mille Persis in aequor campi descendere et cum aliis illis trecentis in Romanos se inferre iussit. Imperator eos descendisse conspicatus, militibus, qui prius dimicaverant, propter fortitudinem, ut par fuit, gratiis actis, et Exotrocho eorum duce ob experientiam interritamque mentem laudato, aliam cum ipsis manum ad barbaros excipiendos misit, cui Manuelem Tagarim magnum stratopedarcham praeposuit. Cum utrimque animose diuque pugnatum esset, multis Romanorum equis, paucis militibus vulneratis, unus vitam reliquit, Persae obtruncati quinquaginta. Orchanes porro, dum pugna committitur, omnem exercitum suum in fronte locat, cum prius magnam eius partem in insidiis occultasset, ut a Romanis atque barbaris cerneretur, confisus, his animos facturum, illis terrorem incussurum. Quo commento cum nihil se proficere animadverteret, (Romani siquidem nihilo minus acriter proeliabantur hostemque devincebant), Pazarlo fratri mandat, totis copiis cum Romanis confligat: pauloque post et ipse e tumulo paucis comitatus descendens, rursum constitit, quo res evaderet observans. Imperator ut barbaros quotquot erant in pugnam ruere vidit, reliquas acies omnes manere ac

A.C.1329 δὲ εἶχεν ὁ Ἄγγελος Ἰωάννης ἐξάδελφος αὐτῷ, βασιλεὺς δὲ ἐπεῖχε τὸ μέσον. καὶ συμβαλόντες τοῖς βαρβάροις, ἐτρέψαντό τε κατὰ κράτος, μηδὲ ἀντισχεῖν τὴν πρώτην δυνηθέντας ὁρμὴν καὶ τὰς δυσχωρίας πάσας ὑπερβάντες, ἄχρι τῶν ἄκρων κατεδίωξαν τοῦ λόφου, ἔνθα καὶ Ὀρχάνης ἦν ἑστώς. ἔπεσον δὲ παρὰ τὴν μάχην Περσῶν μὲν πεντήκοντα καὶ ἑκατὸν, Ῥωμαίων δὲ οὐδεὶς, ἀλλ' οὔτε ἐτρώθη, οὔτε στρατιώτης οὔτε ἵππος. βασιλεὺς δὲ ἀνεχώρησεν ἐκεῖθεν, τὸ βιάζεσθαι πρὸς τὸν λόφον οὐχ ἡγούμενος λυσιτελεῖν, καὶ πρὸς τὸ πεδίον ἐλθὼν, ἐκέλευεν ἕκαστον τὴν ἣν εἶχεν ἐξ ἀρχῆς τάξιν φυλάτ- P.215 τειν. οἱ βάρβαροί τε ἐπὶ τοὺς πρόποδας ἔστησαν τοῦ ὄρους, τὸ περαιτέρω προβαίνειν οὐχ ἡγούμενοι λυσιτελεῖν.

B ζ΄. Βασιλεὺς δὲ ὁρῶν τοὺς βαρβάρους οὐκέτι διανοουμένους εἰς χεῖρας αὐτοῖς ἰέναι, ἐβουλεύετο μετὰ τῶν ἐν τέλει ὅ,τι δέοι ποιεῖν αὐτούς. παρελθὼν δὲ ὁ μέγας δομέστικος, ἐβουλεύετο τοιάδε· „τὰ μὲν πράγματα ἡμῖν ᾗ αὐτοί τε ἐβουλευσάμεθα ἐξ ἀρχῆς, καὶ πρὸς πέρας ἐχώρησεν ἀγαθόν. παρεταξάμεθά τε γὰρ αὐτοὶ ἐλθόντες ὡς πρὸς μάχην πρῶτοι, ὡς ἂν μὴ δοκοίημεν τῷ δέει τῶν βαρβάρων ἀναχωρεῖν, οἵ τε πολέμιοι φανερῶς μὲν ἀντιτάξασθαι οὐκ ἐτόλμησαν ἡμῖν, μαρτυρήσαντες ἐναργῶς, ὡς οὐκ ἀξιομάχους ἑαυτοὺς ἐνόμισαν ἡμῖν, οὐκέτι δὲ ἀπέσχοντο τοῦ μὴ καὶ πεῖραν λαβεῖν συμπά- C σης τῆς δυνάμεως αὐτῶν. εἰ γὰρ μὴ καὶ Ὀρχάνης αὐτὸς παρεγένετο πρὸς τὴν μάχην ὅπως τινὰ ἡμῖν ἔτι ὑπολίποιτο ἐλ-

bonum habere animum iubet: cum tribus turmis pugnatum prodit, dextroque cornu magno domestico, sinistro Ioanni Angelo eius consobrino commisso, ipse medium tenet. Collatis signis, barbari nec primum impetum sustinentes, vi ac virtute in fugam vertuntur, quos Romani per invia quaeque usque ad verticem collis, ubi Orchanes stabat, insecuti sunt. In eo conflictu Persarum centum quinquaginta caesis, e Romanis nec miles nec equus vulneratus est. Imperator inde se recepit, cum ad collem occupandum eniti non arbitraretur conducere; et in campum veniens edixit, ut quisque servaret ordinem suum, quem ab initio obtinuisset. Barbari in prominentia seu crepidine montis stantes, prodire ulterius haud tutum opinabantur.

7. Desperationem barbarorum intelligens imperator, ad proceres quid faciendum esset retulit. Progressus in medium magnus domesticus ita disseruit: Res nobis, sicut ab initio inter nos optabamus, exitu felici terminatae sunt. Acie enim instructa, priores ut ad proelium prodiimus, ne metu barbarorum recedere videremur: qui aperte aciem contra dirigere non sunt ausi, quo se nobis cedere manifeste docuerunt: non tamen quieverunt, quin totas copias suas experirentur. Et quamvis Orchanes ipse proelio non interfuerit, ut timorem

πίδα τοῦ δυνήσεσθαί τι πλέον αὐτὸς παρὼν, ἀλλ' ἡμῖν γε A.C. 1329
δῆλον ἐξ αὐτῶν κατέστη τῶν πραγμάτων, ὡς οὐδὲν ἂν ἔσοιτο
πλέον αὐτοῦ παρόντος. ὅτε τοίνυν τὸ μὲν εἰς χεῖρας ἡμῖν ἰέ-
ναι φανερῶς ἐξέκλινεν αὐτὸς, ἐν δὲ ταῖς κατὰ μέρος συμπλο-
καῖς ἀεὶ τὸ πλέον ἔσχομεν ἡμεῖς, (ὑπὲρ τετρακοσίους γὰρ πε-
σόντων βαρβάρων, Ῥωμαίων τέθνηκε μόνος εἷς,) ποίαν ἂν
τις ἀπόδειξιν ζητοίη μείζονα καὶ περιφανεστέραν τοῦ καὶ ταῖς
γνώμαις τοὺς βαρβάρους καὶ τοῖς σώμασιν ἡμῶν ἡσσῆσθαι;
κἀκεῖνο δέ τις μέγιστον ἂν τεκμήριον τιθείη τοῦ οἴεσθαι ἡμᾶς
τοὺς βαρβάρους δυνατωτέρους ἑαυτῶν· τοῦ γὰρ ὑπηρετικοῦ D
τῆς στρατιᾶς διὰ πάσης τῆς ἡμέρας· ἐγγὺς αὐτῶν τροφὴν] τοῖς
ἵπποις συλλεγόντων, οὐδὲ ἐπεχείρησαν οἱ βάρβαροι κωλῦσαι,
καίτοι γε τὰ ἄλλα ὄντες τοῦ δέοντος μᾶλλον φιλοπόλεμοι καὶ
φιλοκερδεῖς· ἐπειδὴ δὲ ὅσον οὔπω καὶ ὁ ἥλιός ἐστι πρὸς δυ-
σμὰς, ἄριστον εἶναί μοι δοκεῖ, εἰς τὸ στρατόπεδον ἐλθόντας αὐ-
λίσασθαι τὴν νύκτα, καὶ ἐς τὴν ὑστεραίαν ἅμα πρωῒ τὰ ὅπλα
ἔχοντας, τεταγμένως τὴν ἐς Βυζάντιον ἰέναι. κἂν μὲν οἱ βάρ- V. 174
βαροι τῆς δυσχωρίας ἀποστάντες ἐπὶ τοῦ πεδίου ἐθελήσωσι
διαγωνίσασθαι πρὸς ἡμᾶς, θεῷ μελήσει τὴν νίκην ὁποτέροις
ἂν παράσχοι. ἂν δ' ἐπὶ τοῦ λόφου μένοντες, ἀπόσχωνται τῆς
μάχης, ᾧ καί μοι μᾶλλον ἔπεισι πείθεσθαι, ὡς διὰ πεδίου
μέλλομεν ἰέναι ἐνθυμουμένῳ, μετὰ βελτίστου τοῦ σχήματος ἡ P. 216
ἐπάνοδος κείσεται ἡμῖν, ἀμφοτέρωθεν ἔχουσι τὴν νίκην, ἔκ τε
ὧν τῇ προτεραίᾳ ἀγωνισάμενοι τὸ πλέον ἔσχομεν αὐτῶν καὶ

aliquem haberemus, plus ipsum praesentem posse, tamen ipsius praesentiam nihilo plus effecturam re ipsa cognovimus. Quando igitur palam certamen subterfugit, et in particularibus pugnis nos semper victoriam retulimus, (pro trecentis enim barbaris unus dumtaxat de Romanis occubuit,) quam quaeso demonstrationem quisquam luculentiorem desideret, et corporibus et animis nobis succubuisse barbaros? Illud quoque pro indicio certissimo haberi potest, eos nos sibi ut potentiores anteponere, quod cum militum nostrorum servitia toto die prope ipsos equis pabula legerent, quamquam alioqui et belli et lucri incredibiliter cupidi, tamen prohibere ea aggressi non sunt. Et quia sol occasui proximus est, consultissimum puto in castra reversos, ibi noctem agere, crastinoque diluculo captis armis et agmine composito, Byzantium viam inire. Et si quidem barbari impeditiora illa loca deserentes, in planitie confligere nobiscum voluerint, Deo curae erit, utris victoriam largiatur. Sin restantes in tumulis, pugnam reformidaverint, quod magis futurum credo, iam incessum nostrum per campum cogitatione concipiens, honestissima nobis relinquitur reversio, utrimque scilicet victoribus: tum quod hesterna luce manus cum ipsis conserentes vicerimus; tum quod postridie ad certamen

A.C. 1329 ἐξ ὧν εἰς τὴν ὑστεραίαν αὐτοὶ μὲν ἔργῳ προὐκαλούμεθα εἰς μάχην· ἐκεῖνοι δ' οὐκ ἀξιόχρεως αὐτοὺς νομίζοντες, ἔμειναν ἑστῶτες ἐπὶ τῶν ὀχυρωμάτων." Τοιαῦτα τοῦ μεγάλου δομεστίκου βουλευσαμένου, ὅ,τε βασιλεὺς ἐπείθετο αὐτίκα καὶ τοῖς ἄλλοις ἄριστα ἐδόκει. καὶ τῶν σημείων ἀρθέντων ἅμα καὶ τῆς σάλπιγγος ἀνάζευξιν σημηνάσης, πρὸς τὸ στρατόπεδον ἐχώρουν, παιωνίσαντες ὡς ἐπὶ νίκῃ. Ὀρχάνης δὲ αὐτὸς μὲν ἔμει- B νεν ἐπὶ τοῦ λόφου τὸ πολὺ τῆς στρατιᾶς ἔχων, μέρος δέ τι πέμψας παρέπεσθαι ἐκέλευσε Ῥωμαίοις ἄχρι στρατοπέδου. ἐκ δὲ τῆς Ῥωμαίων στρατιᾶς οἱ μάλιστα ἡβῶντες, οὐ τῶν εὐγενεστέρων μόνον, ἀλλὰ καὶ τῆς ἄλλης στρατιᾶς, τοὺς Πέρσας αὐτοῖς ὁρῶντες ἑπομένους, οἷα νέοι καὶ δυσκάθεκτοι ταῖς ὁρμαῖς, τῶν τάξεων ἐξιόντες τῶν σφετέρων, ὑπελείποντο ὀπίσω καὶ τοῖς βαρβάροις συνεπλέκοντο ἐξ ἐφόδων. ὁ μέγας δὲ δομέστικος τήν τε ἀκαιρίαν ὑποπτεύων, (ἤδη γὰρ ὀψὲ ἦν,) καὶ δεδιὼς περὶ τοῖς στρατιώταις μή τι τοῖς βαρβάροις κακουργηθῇ περὶ αὐτούς, ἄλλως τε καὶ δι' ὀργῆς αὐτοὺς ποιούμενος ὅ,τι μήτε βασιλέως προστεταχότος, μήτ' αὐτοῦ τῆς Ῥωμαίων συμπάσης στρατηγοῦντος στρατιᾶς, ἀτάκτως καὶ συνθήματος χω- C ρὶς τοῖς βαρβάροις συμπλέκονται λειπόμενοι ὀπίσω, τὴν μὲν σημαίαν καὶ τὸ τάγμα τὸ ὑπ' αὐτὸν ἑνὶ τῶν ὑποστρατηγούντων αὐτῷ παραδούς, εἰς τὸ στρατόπεδον ἐκέλευε χωρεῖν· αὐτὸς δὲ ὀλίγους λογάδας παραλαβών, ἐχώρει πρὸς τοὺς μαχομένους τοῖς βαρβάροις, ἅμα μὲν τῆς μάχης ἀποστήσων καὶ ἄξων μεθ' ἑαυτοῦ πρὸς τὴν στρατιάν, ἅμα δὲ καὶ δίκην ἐπι-

eos provocaverimus, illi vero se impares iudicantes, in illis locorum claustris haerere perrexerint. Huic consilio imperator statim assensit, ceterique ut optimum amplexi sunt; sublatisque signis, cum tubae clangore in castra triumphum canentes redierunt. Orchanes cum corpore exercitus in collibus subsistens, partem aliquam dimisit, quae Romanos usque ad castra insectaretur. Ex Romanis autem qui aetate vigebant maxime, non de nobilioribus modo, sed gregariis etiam, Persas sequi conspicientes, ut iuvenes et impotentes animi, ordinibus desertis, retro ex itinere cum iis concurrebant. At magnus domesticus ob tempus incommodum (serum enim diei erat) formidans, ne quid milites a barbaris acciperent mali: iratus insuper, quod neque imperatoris, neque sua, qui totum Romanum exercitum duceret, auctoritate, confuse et incomposite cum barbaris retro subsistentes dimicarent, vexillum et agmen suum uni sub se ducum tradens, in castra ut pergeret mandavit; ipse cum paucis delectis ad eos, qui cum barbaris pugnabant, properavit; et ut coepto revocatos secum ad reliquum exercitum reduceret: et ut poenam ordinum desertoribus debitam imponeret. Eadem cogitatio imperatoris fuit, qui suas co-

θήσων τὴν προσήκουσαν τοῖς ἀτάκτοις. τοῖς ἴσοις δὲ λογι- A. C. 1329
σμοῖς χρησάμενος καὶ βασιλεὺς, τὸ ἴδιον τάγμα καὶ αὐτὸς καὶ
τὴν σημαίαν τὴν βασιλικὴν Ἀσάνῃ Μανουὴλ τῷ Ἀνδρονίκου
υἱῷ ἐξαδέλφῳ ὄντι αὐτοῦ παραδοὺς καὶ χωρεῖν πρὸς τὸ στρα-
τόπεδον κελεύσας, λογάδας καὶ αὐτὸς παραλαβών τινας, ἐβά- D
διζεν ὀπίσω. οὕτω δὲ συμβὰν, γενόμενοι ἀλλήλοις ἐν ταὐτῷ
καὶ τὴν αἰτίαν τῆς ὑποστροφῆς πυθόμενοι εἶναι τὴν αὐτὴν,
ἐπεὶ ἐδόκουν καιρίως πεποιῆσθαι, ἄχρι τῶν μαχομένων ἦλθον
καὶ τῆς συμβολῆς μὲν ἀπέστησαν ἐκείνους, αὐτοὶ δὲ καὶ ἄκον-
τες τοῖς βαρβάροις συνεπλέκοντο. οἱ γὰρ βάρβαροι τὴν μὲν
στρατιὰν ὁρῶντες ἤδη οὐκ ὀλίγον αὐτῶν ἀφεστηκυῖαν, τοὺς
ὑπολειπομένους δὲ ὀλίγους, καὶ νομίσαντες καιρὸν εἶναι αὐ-
τοῖς ἐπιθεμένους διαφθεῖραι, λογάδες καὶ ἐξ αὐτῶν καὶ πολ-
λάκις τόσοι ἐπιθέμενοι, ἐν χρῷ κατέστησαν αὐτοὺς κινδύνου.
δομέστικός τε γὰρ ὁ μέγας, τοῦ ἵππου αὐτῷ ἐν ταῖς ἐκδρο-
μαῖς καὶ ἀναστροφαῖς πεσόντος, μικροῦ ἐδέησεν ἀποθανεῖν, εἰ
μὴ βασιλέως καὶ τῶν ἄλλων περιστάντων, ἐφ' ἕτερον ἀνηνέχθη.
καὶ τὸν βασιλέως ἵππον ἔτρωσαν μὲν τραύμασι καιρίοις, ἐπέ- P. 217
σησε δὲ ὅσον ἀπαλλάξαι τῶν βαρβάρων. ἐτρώθη δὲ καὶ ὁ βα-
σιλεὺς βέλει τὸν μηρὸν, ἄγαν εὐψύχως μαχόμενος τοῖς βαρ-
βάροις, καὶ διῆλθε τὸ βέλος ἀμφοτέρας τὰς ἐπιφανείας. κίν-
δυνον δὲ τὸ τραῦμα οὐδένα ὑπενόει, ἀλλὰ μετὰ δεκάτην τῆς
πληγῆς ἡμέραν αὖθις ὑγιὴς ἦν, ὡς ἂν εἰ μηδὲ τὴν ἀρχὴν
ἐτρώθη. πλὴν εὐψύχως καὶ γενναίως ἀγωνισάμενοι καὶ βαρ-
βάρους ὀλίγους μὲν, τῶν ἐπιφανῶν δὲ ἀνελόντες καὶ διαλυ- V. 175

hortes et signum imperiale Manueli Asani, Andronici filio cognato suo, committens, et in castra abducere iubens, ipse similiter cum selectis aliquot retro concessit. Ita contigit, ut alter in alterum incideret, et eandem sibi retro redeundi causam fuisse intelligerent, factumque probarent; ad pugnantes accederent, eosque abstrahentes, ipsi, quamvis nolentes, cum barbaris proeliarentur. Nam barbari, cum exercitum Romanum iam non modico ab ipsis intervallo distantem cernerent et relictos esse paucos: censerentque maturum esse, eos invadere et mactare, eorum quoque aliquot selecti et numero longe plures, in summum illos discrimen adduxerunt. Magnus quippe domesticus, equo in tot cursibus et recursibus praecipitante, ferme vixisset, nisi ab imperatore aliisque proximis in alium equum continuo sublatus fuisset. Et imperatoris quidem iumentum licet letali confossum vulnere, ita tamen cecidit, ut rex a barbaris se eriperet. Accepit etiam luculentam plagam fortissime cum iis dimicans imperator, adacto per femur telo, verum sine periculo; post decimum namque diem consanuit femur, ut si nunquam vulneratum fuisset.

A. C. 1329 θέντες ἀπ' ἀλλήλων, οἱ μὲν ἀπελείποντο ὀπίσω, ὥσπερ πυρὸς
B τῆς Ῥωμαίων ἀπεχόμενοι στρατιᾶς, καὶ μηδ' ἐγγὺς ὑπομένοντες γενέσθαι. βασιλεὺς δὲ καὶ οἱ ἀμφ' αὐτὸν, ἐνοχλοῦντος μηδενὸς, πρὸς τὸ στράτευμα γενόμενοι, τὴν ἐπὶ τὸ στρατόπεδον ἐχώρουν· Σεβαστόπουλος δέ τις τῶν ὑποτεταγμένων βασιλεῖ, τὸ γένος μὲν Μυσὸς, τριακοσίων δὲ ἄρχων στρατιωτῶν οὐ πάνυ ὡπλισμένων, οὐδὲ ἵπποις χρωμένων ἀγαθοῖς, ἀλλὰ τὴν ἐσχάτην χώραν ἐπεχόντων ἐν τῇ στρατιᾷ, τούς τε ἰδίους ὅσοι ἦσαν παραλαβὼν καὶ πεζοὺς προσεταιρισάμενός τινας, τὴν ἄλλην στρατιὰν ἀπολιπὼν, δρόμῳ κατὰ Περσῶν ἐχώρει. συνιδόντες δὲ οἱ Πέρσαι, ὡς ἐπὶ κακῷ τῷ σφετέρῳ τὴν ἔφοδον ποιοῦνται ταυτηνὶ καὶ ἀποστῆσαι τῆς στρατιᾶς βουλόμενοι ἐπιπολὺ, τὴν ἧττάν τε προσεποιοῦντο καὶ φεύγειν ἐδόκουν·
C οἱ δ' ἐφείποντο ἀνοήτως. εἶτ' αἰφνίδιον οἱ βάρβαροι συστραφέντες, βοῇ τε ἐχρῶντο καὶ ἀλαλαγμοῖς καὶ τοῖς Ῥωμαίοις ἐπεφέροντο ὀξέως· οἱ δὲ μὴ ἐνεγκόντες τῶν βαρβάρων τὴν ὁρμὴν, ἐτράποντό τε καὶ κατέστησαν εἰς φυγήν. καὶ εἴκοσι μὲν ἀπέθανον ἐκ τῶν ἱππέων, πέντε δὲ καὶ ἕτεροι τοσοῦτοι πεζοί· οἱ δ' ἄλλοι διεσώθησαν, ἐκ τῆς στρατιᾶς πολλῶν ὀξέως ἐπιβοηθησάντων. βασιλεὺς δ' ἐπεὶ ἐστρατοπεδεύσατο πάλιν κατὰ τὸν Πελεκάνον, εἰς Βυζάντιον εὐθὺς τοὺς μηνύσοντας ἔπεμπε πρωτοστράτορι τὰ γεγενημένα, ἐκέλευέ τε ναῦς ἔχειν παρεσκευασμένας πρὸς τὸν πόρον, ὡς τῆς στρατιᾶς μετὰ μίαν
D ἡμέραν ἢ δευτέραν περαιωθησομένης. δείσας δὲ μὴ, ὅπερ

Iam vero cum viriliter generoseque decertassent, et paucos quidem barbaros, illustres tamen occidissent, discesserunt. Persae autem Romanis amplius non magis quam igni appropinquare eosque tangere ausi sunt. Rex cum suis, nullo obturbante, ad exercitum reversus castra petiit; at quidam Sebastopulus imperatori parens, genere Moesus, trecentorum militum non valde armatorum, neque bonos equos habentium praefectus et in extremo agmine militantium, omnibus suis assumptis et peditibus aliquot in auxilium ascitis, reliquo exercitu deserto, cursim in Persas tendebat. Illi hanc incitationem ad suam perniciem pertinere rati et longius eos ab exercitu volentes abstrahere, perinde ut victi fugam simulabant. Sebastopulus temere et inconsulto insequitur. Tum barbari de improviso converti, laetos clamorês tollere et in Romanos violenter irruere. Qui impressionem non sustinentes in fugam se effuderunt. Trucidati equites quinque supra viginti, pedites totidem: ceteros subitum, nec exiguum ab exercitu missum subsidium conservavit. Imperator rursum in Pelecano castrametatus, confestim Byzantium protostratori acta nuntiatum misit: cum mandatis, uti naves ad transducendum post unum alterumve diem exercitum paratae essent. Et cum vereretur, ne (quod accidit) alia quam pro vero de vulnere suo fama divulgaretur, de eo quoque pro-

ἐγένετο, περὶ τοῦ τραύματος αὐτοῦ ἑτέρως ἢ ὡς ἔχει φημι- A. C. 1329
σθῇ, ἐδήλου καὶ περὶ αὐτοῦ, ὡς τρωθείη μὲν τὸν μηρὸν, οὐ-
δεμίαν δὲ τὸ τραῦμα ἔχειν ὑποψίαν, οὐδὲ διὰ τοῦτο τὴν ἐπά-
νοδον ποιεῖσθαι, ἀλλ' οὕτω δόξαν λυσιτελεῖν καὶ πρὶν τρωθῆ-
ναι. ὁ μέγας δὲ δομέστικος, ἐπεὶ τὰ περὶ τὴν στρατοπεδείαν
κατεστήσατο καλῶς, ὅσους ἔδοξεν αὐτῷ τῆς στρατιᾶς παραλα-
βὼν, κατὰ τὴν εἰσβολὴν τοῦ στρατοπέδου, ἐπεὶ ἐπεφύκει κα-
λῶς καθάπερ ἰσθμὸς οὖσα στενὴ, τοῦ ἔνδοθεν ἐπιπολὺ πλα-
τυνομένου, ηὐλίσατο τὴν νύκτα φυλακῆς ἕνεκεν τῆς στρατιᾶς.

η'. Ὀρχάνης δὲ, ἐπεὶ ἐπελάβετο ἡ νὺξ, τοὺς ὑπ' αὐτὸν P. 218
σατράπας πάντας συναγαγὼν, „τὴν μὲν ἐμπειρίαν" εἶπε „καὶ B
τὴν τόλμαν τῶν Ῥωμαίων τὴν κατὰ τὰς μάχας οὐδένα σή-
μερον ὑμῶν οἴομαι ἠγνοηκέναι. δοκῶ δέ μοι καὶ αὐτοὺς ἂν
ἐμοὶ συνομολογῆσαι, ὡς οὔτ' ἐφ' ἡμῶν, οὔτ' ἐπὶ τῶν ἡμετέ-
ρων προγόνων ἕτεροί τινες Ῥωμαίων οὕτως εὐκλεῶς ἄγαν ἠγω-
νίσαντο καὶ μετὰ πάσης ἐμπειρίας. διὰ πάσης γὰρ ἡμέρας
ἡμῶν ἢ ἀπάτῃ ἢ ἐκπλήξει ἢ ὁρμῇ καὶ θρασύτητι παραβόλῳ
ἢ ἑνί γέ τῳ τρόπῳ εἰς ἀταξίαν αὐτοὺς πειρωμένων ἐμβαλεῖν,
οἱ δ' οὐδὲν μᾶλλον ἐκινήθησαν τοῦ προσήκοντος φρονήματος
αὐτοῖς, ἀλλ' ἐμπειρίᾳ μὲν ἐφύλαξαν τὴν τάξιν, ἀνδρίᾳ δὲ καὶ V. 176
εὐψυχίᾳ κρείττους ἀεὶ φαινόμενοι ἡμῶν, ἀπέκτειναν μὲν πολ- C
λοὺς ἡμῶν, ἐκείνων δὲ ἀπέθανον οὐδὲ ὀλίγοι. καὶ τὸ δὴ θαυ-
μαστότερον, ὅτι καὶ μετὰ τὴν ἀνάζευξιν τῆς στρατιᾶς ὀλίγων
τινῶν ὀπίσω ὑπολιπομένων, πολλαπλασίους ἐκ τῶν ἡμετέρων

tostratorem certiorem esse voluit: vulneratum se quidem in femore, at non periculose, neque idcirco se redire: sed quod etiam ante vulnus ita e re fore statuisset. Magnus vero domesticus, commode castris constitutis, sumptis quot voluit militibus, in eorum aditu natura pulcre angusto et isthmo simili, lato admodum interiore spatio, per noctem excubias egit.

8. Orchanes, postquam contenebravit, coactis satrapis suis, talia verba disseruit: Quam sint belli scientes manuque prompti Romani, neminem vestrum hodie nescire opinor, novique pro certo, et vos mihi assensuros, neque nostris, neque maiorum nostrorum seculis Romanos alios cum tanta nominis sui gloria tamque singulari peritia decertasse. Cum enim per totum diem aut fallacia aut terrore aut impetu audaci ac repentino aut alio denique modo ordines eorum disturbare conaremur, ipsi nec tantillum a propria sibi altitudine animi deflexerunt: sed qua valent disciplina, stationes servarunt: fortitudine autem animique praestantia semper nobis meliores, complures nostrum orco demiserunt, ne paucis quidem de eorum numero desideratis. Quodque mirabilius est, etiam in castra se recipiente exercitu, cum haud ita multi rediissent eosque de nobis multo plures invasis-

A. C. 1329 *ἐπιθέμενοι αὐτοῖς, οὐ μόνον οὐ περιεγένοντο αὐτῶν, ἀλλὰ καὶ τῶν οἰκείων ἀπέβαλον τοὺς ἀνδρίᾳ μάλιστα προέχοντας καὶ τόλμῃ. καὶ μετ' αὐτοὺς πάλιν ἑτέρων καίτοι γε ἀνοήτως προσβαλόντων καὶ φαύλως ἀγωνισαμένων τὸ δοκεῖν, ὥς ἐμὲ οἰηθῆναι πάντας αὐτοὺς διαφθερεῖν ἡμᾶς, ὅμως πλὴν ὀλίγων* D *τῶν πεσόντων, οἱ ἄλλοι πάντες παρὰ δόξαν διεσώθησαν· ὧν μοι καὶ δοκεῖ τὸν στρατηγὸν ὁ βασιλεὺς τῆς ἀταξίας ἕνεκα εἰς τὴν σωτηρίαν ζημιώσειν. ἐκ τοίνυν τούτων πάντων εἰκὸς τὸν βασιλέα οἴεσθαι εἰς τὴν ὑστεραίαν μᾶλλον ἢ πρότερον θαῤῥοῦντα ἡμῖν ἐπιστρατεύσειν, ἡμᾶς δὲ μὴ δυναμένους πρὸς τὴν μάχην ἀντισχεῖν, φεύγειν ἀνάγκῃ ἡττηθέντας αἰσχρῶς καὶ ἀγεννῶς. εἰ δὲ παρὸν ἀκινδύνως σώζεσθαι καὶ προσέτι καὶ τὴν ἐκ τῆς ἥττης ἀδοξίαν διαφυγεῖν, (οὐδεὶς γὰρ ἂν ἡμῖν μέμψαιτο τῶν νοῦν ἐχόντων τὸν προὔπτον παραιτησαμένοις κίνδυνον,) ἔπειθ' ὑπὸ φιλονεικίας εἰς τοὺς ἐσχάτους ἑαυτοὺς καταστήσομεν κινδύνους, οὐκ ἄρα δόξομεν ἀνοηταίνειν καὶ* P. 219 *ἐπιβουλεύειν ἑαυτοῖς; διὸ δή μοι καὶ δοκεῖ, τουτὶ μὲν τὸ στρατόπεδον καταλιπεῖν, ἑτέρας δὲ πολλὰς ἀναχωρήσεις ὀχυρωτάτας καὶ δυσπροσόδους ἔχοντος τοῦ τόπου, εἴς τινα αὐτῶν ἐλθεῖν κἀκεῖ τὸ ἀποβησόμενον περιμένειν. βέλτιον γὰρ μετὰ ἀδείας ἀναχωρεῖν, ἢ φεύγειν, τῶν Ῥωμαίων διωκόντων." Τοιαῦτα μὲν Ὀρχάνης μετὰ τῶν ἐν τέλει ἐβουλεύετο Περσῶν, καὶ ἐδόκει ἄριστα εἶναι καὶ λυσιτελοῦντα ἑαυτοῖς καὶ ἐπεψηφίζοντο πάντες. Κολαούζης δὲ Σαλιγγαρὶ καὶ Καταιγίαλος*

sent, tantum abest, ut eos vicerint, etiam de suis virtute et alacritate longe praecipuos amiserunt. Post eos cum alii, tametsi imprudenter, in nos incurrissent, infausteque, ut apparebat, pugnassent, ut crediderim omnes ad unum manibus nostris interfectum iri, tamen demptis non ita multis, ceteri omnes praeter opinionem evaserunt: quorum etiam ducem imperator, propter ordinem non servatum, salutariter multaturus videtur. Ex his verisimile fit, illum maioribus quam antea spiritibus luce crastina nos aggressurum; nos autem utpote ad resistendum imbecilles et victos, illiberali ac turpi fuga salutem volentes nolentesque petituros. Quod si cum vitato discrimine salvis esse et ignominia, quae victos sequitur, carere liceat, (nemo siquidem prudentium reprehendet, si praevisum periculum a nobis detestemur,) ex aemulatione extrema pericula nobismet creaverimus, an non desipere et ipsi capitibus nostris pestem struere censebimur? Quamobrem hinc discedendum, et quoniam regio alios complures munitissimosque et impervios recessus habet, aliquem occupandum et illic eventum exspectandum iudico. Impune enim et cum securitate recedere, quam persequentibus Romanis fugere, praestat utique. Haec Orchanes ad Persas proceres; quae ut recta valde et utilia omnium suffragiis con-

Πατατούρης, ἔξωροι μὲν ἤδη τὰς ἡλικίας ὄντες· καὶ Ἀτουμά- A.C. 1329
νῳ τῷ Ὀρχάνῃ πατρὶ ἡλικιῶται, πολλῶν δὲ ἔμπειροι πολέμων
καὶ κινδύνων, οὐκ ἔφασαν αὐτοῖς ἀρέσκειν τὰ βεβουλευμένα, B
οὐδὲ, ἐξὸν ἀκινδύνως ἀποπειρᾶσθαι Ῥωμαίων, ἔτι ὑπὸ κα-
κοβουλίας ἀναιμωτὶ τὴν νίκην αὐτοῖς παραδιδόναι· τὸ γὰρ τὸ
στρατόπεδον ἐκλιπεῖν οὐδὲν ἄλλο ἐστὶν ἢ ἡττῆσθαι προφα-
νῶς. τὸ μὲν οὖν μὴ ἀντιστῆναι δύνασθαι πρὸς βασιλέα, οὐδ'
αὐτοὶ ἀρνηθείημεν, εἶπον, ἄν, καὶ πάντα μᾶλλον διανοητέον
ἢ κατὰ στόμα προσυπαντᾷν Ῥωμαίοις. τὸ δὲ φεύγειν, ἀνάγκης
μὴ παρούσης, μηδ' ἐπὶ μικρὸν λυσιτελεῖν. ἀλλ' ὅσα μὲν πε-
ριττὰ καὶ τὴν ἄλλην τῶν στρατιωτῶν ἀποσκευὴν ἐν ἀσφα-
λείᾳ καθιστᾷν ὅποι ἂν δοκῇ, αὐτὸν δὲ εὐσταλῆ καὶ κούφην
ἔχοντα τὴν στρατιὰν, ἐπὶ τῶν αὐτῶν τόπων μένειν. ἐμφανῆ
μέντοι μηδαμῶς ποιεῖν τὴν στρατιὰν, ἀλλ' ἐν νάπαις καὶ ταῖς C
κοιλάσι κατακρύπτειν, ἐπιεικῶς πρὸς τοῦτο ἔχοντος τοῦ τόπου
εὐφυῶς. ὥσπερ δέ τινας σκοποὺς ἑκατὸν ἀπολεξάμενον στρα-
τιώτας, ἐπὶ τῶν αὐτῶν ἑστάναι τόπων κελεύειν, οὗ αὐτὸς πα-
ρετάττετο τῇ προτεραίᾳ, καὶ εἰ μὲν βασιλεὺς ἐν τῷ στρατο-
πέδῳ ἡσυχάζοι, καὶ αὐτοὺς ἐνταῦθα κρύπτεσθαι ἄχρις ἂν
ἡμῖν ἐμφανὲς καταστῇ πρὸς ὅ,τι τράπηται κἀκεῖνος. ἐὰν δὲ
ἡμῖν ἐπίῃ, πρῶτον μὲν οὐ δυνατὸν αὐτοὺς κατὰ πρόσωπον
ἐλθεῖν, τὰς δυσχωρίας παραιτουμένους καὶ τὰς ὀχυρότητας
τὰς ἐκ τῶν τόπων. ἐμπειρίας γὰρ ἴδιον στρατηγικῆς οὐ μό- D
νον τὴν στρατιὰν διατάττειν κοσμίως, ἀλλὰ καὶ καιρῶν στο- V. 177

firmabantur. Ceterum Colauzes Salingaris et Cataegialus Pachatures aetate confecti et Osmani patri Orchanis coaevi, multis expeditionibus periculisque bellicis exerciti, non sibi probari aiebant hanc sententiam: neque cum adhuc Romanos tentare cum securitate liceat, perverso consilio incruentam illis victoriam concedendam: castra namque relinquere, nihil videri aliud, quam aperte victos ac superatos esse. Imperatori ab ipsis resisti non posse, ne se quidem negare; et omnia excogitanda potius, quam ut Romanis sermonem dent. Fugam vero, cum fugiendi necessitas nulla sit, ne paulum quidem profuturam. Sed quaecunque supervacanea et militum supellectilem in tuto collocaret, ubi placeret, ipse cum exercitu leviter instructo et expedito eodem in loco persisteret, sic, ut se nequaquam ostenderet: verum in saltibus et vallibus occultaret, loci ingenio ad id mire apposito. Praeterea milites centum deligeret, qui, ubi ipse pridie constitisset, pro speculatoribus starent. Si imperator castris suis se contineret, ipsi quoque tamdiu ibi laterent, donec constaret, quo ille se verteret. Si in ipsos latitantes moveret, primum quidem directo itinere venire non posse, difficultate et impedimentis locorum naturalibus prohibitum: esseque peritiae imperatoriae, non modo exercitum bene disponere;

A. C. 1329 χάζεσθαι καὶ τόπων, ἐξ ὧν πλεῖστα τούς τε πολεμίους δυνήσονται βλάψαι καὶ τοὺς φίλους ὠφελῆσαι. εἰ δ' ἄρα τοσοῦτον ἐκστήσονται τῶν ὀρθῶς ἐχόντων λογισμῶν, ὥσθ' ἑαυτοὺς θρασέως οὑτωσὶ καὶ παραβόλως ἐπὶ τὰ κρημνὰ τῶν ὀρῶν καὶ τὰς χαράδρας εἰσωθεῖν, τοῦτ' ἂν μάλιστα βουλοίμεθα ἡμεῖς καὶ εὐχῆς ἂν ἔργον ἰδεῖν γεγενημένον εἴη. τὴν νίκην γὰρ ἡμῖν παραδώσουσιν ἀπονητὶ διαφθαρέντες. τοῦτο μὲν οὖν τοιοῦτον ὂν οὐδὲ αὐτοὺς οἰόμεθα ἀγνοῆσαι, πεῖραν ὡς ὁρῶμεν πολεμίων ἔργων ἔχοντας. λείπεται δὴ περιελθόντας τὴν ἄκραν τῶν ὀρῶν, ἐκ θατέρου μέρους προσβαλεῖν ἡμῖν, πεδινοῦ τε ὄντος
P. 220 καὶ ῥᾳδίαν παρέχοντος τὴν ἐπιχείρησιν αὐτοῖς. στοχάζεσθαι δὲ ἔξεστι παντὶ τῷ βουλομένῳ, ὡς ἄχρις ἂν αὐτοῖς ἡ ὁδὸς διανυσθῇ, δυνατὸν ἡμῖν ἔξω τε κινδύνων καὶ φόβου παντὸς ἑαυτοὺς καθιστᾷν πρὸς τὰ καρτερώτατα ἀναχωρήσαντας, καὶ προσέτι προσέσται τὸ μὴ διὰ τὴν ἐκείνων ὀῤῥωδίαν φεύγειν δοκεῖν, ἐν ᾧ μάλιστά ἐστι τὸ αἰσχρὸν, ἀλλ' ἐμπειρίᾳ στρατηγῶν χρωμένους, τὴν ἀσφάλειαν τοῖς οἰκείοις ἐκπορίζειν. οὓς μέντοι ἔφημεν ὥσπερ σκοποὺς ἑστάναι ἑκατὸν, τὸν βασιλέα περιμείναντας ἄχρις ἂν ἐγγὺς γένηται αὐτῶν, τότ' ἤδη καὶ αὐτοὺς ἀσφαλῶς ἀποχωρεῖν, οὐδενὸς ἂν ἐπιθησομένου διὰ τὸ
B εὐσταλεῖς εἶναι καὶ κούφους καὶ ἵπποις χρῆσθαι ἀγαθοῖς.

Τοιαῦτα τῶν βαρβάρων βουλευσαμένων, Ὀρχάνης τε ἐπείθετο καὶ οἱ ἄλλοι, καὶ ἐδέδοκτο μένειν ὡς ἐς τὴν ὑστεραίαν τὰ βεβουλευμένα ἐκτελέσοντας. εἰς δὲ τὸ Ῥωμαίων στρατόπεδον

verum etiam tempora et loca coniicere, unde hostibus plurimum noceat et amicis plurimum prosit. Si a recta ratione adeo discesserint, ut tam confidenter ac temere in praeruptos montes et profundissima vallium semet intrudant, hoc et ipsos vehementer velle, nec posse quidquam optatius evenire; victoriam enim nullo labore interemptos quasi in manum tradituros. Haec ita se habere, ne illos ipsos quidem Romanos, usu belli doctos, videri ignorare. Relinqui igitur, ut ubi montium crepidines seu extrema circuierint, ex altera parte, qua planities est et ad aggrediendum commoditas, invadant. Coniectare autem cuivis licere, si volet, donec illi circuierint, posse se ad munitissima loca interim secedentes, omni vacare timore atque periculo. Accedere huc etiam, quod non illorum timore perculsi fugere, in quo summa insit turpitudo, sed peritia ducis usi, securitatem suis quaerere videbuntur. Quos vero centum tanquam in specula stare debere dixerint, imperatorem dum accederet observantes, tum quoque ipsos secure secessuros, quos ut levi armatura praeditos et in equis expeditis nemo sit aggressurus. Hac oratione Orchani ceterisque manendi voluntas iniecta est, decreveruntque die sequenti consulta praestare. Interea Romanorum castra rumor pervasit, imperatorem ex letali

διήει φήμη, ὡς βασιλεὺς ἀπὸ τοῦ τραύματος πονήρως ἔχει, A.C. 1329 καιρίως πληγείς. ὅσοι δὲ ἦσαν ἔτι καὶ τῷ πρεσβυτέρῳ βασιλεῖ προσκείμενοι τὰς γνώμας, διεφήμισαν ὡς τεθνηξόμενον ὅσον οὐδέπω βασιλέα· εἴτε δὲ καὶ ἀληθῶς οὕτως ἔχειν οἰηθέντες, εἴτε καὶ πρὸς ἔχθραν τὰ τοιαῦτα διεθρύλλησαν, ἐν ἀδήλῳ κατελείφθη, τοῦ βασιλέως ὕστερον διὰ τὸ μὴ δοκεῖν τῆς εἰς τὸν πάππον ἕνεκα εὐνοίας ἀμύνεσθαι αὐτοὺς ἀβασάνιστον C καταλιπόντος τὸ τοιοῦτον. τέως οὖν διεθρυλλήθη παρ' αὐτῶν, καὶ τοῖς ἐκ Βυζαντίου στρατιώταις συνεβούλευον, τοῦ στρατοπέδου πρὸς τὰς παρακειμένας τῆς Βιθυνίας ἀναχωρεῖν πόλεις, ὡς εἴ τι συμβαίη περὶ βασιλέα πάντων αὐτῶν ὑπὸ Περσῶν διαφθαρησομένων. ἔνιοι δὲ αὐτῶν καὶ πρὸς τὸν μέγαν δομέστικον ἐλθόντες, οἷα δὴ εὖνοι, συνεβούλευον ἀπαγαγεῖν τὴν στρατιὰν πρὸς τὰς πλησίον πόλεις ὡς ἤδη τεταραγμένην ὑπὸ τῆς φήμης καὶ ὅσον οὔπω καὶ ἀταξίᾳ χρησομένην. ὁ δὲ ἀνένευέ τε πρὸς τὸν λόγον καὶ μὴ λυσιτελοῦντα ἔφασκε βουλεύεσθαι αὐτούς· ὡς δὲ οὐκ ἔπειθον πολλὰ δεόμενοι, καὶ βασιλεῖ κοινοῦσθαι D τὴν γνώμην ὑπετίθεντο, ὡς ὅ, τι ἂν αὐτῷ δοκοίη πραχθησομένου. τοῦτο μὲν δὴ ἔπειθον οἰόμενον καὶ αὐτὸν ἀναγκαῖον τὰ γινόμενα γνωρίσαι βασιλεῖ. καὶ δὴ πρὸς βασιλέα ἀπελθὼν, ἀπήγγειλεν ὅσα οἱ ἐν τέλει εἶπον περὶ τοῦ λυσιτελεῖν δοκοῦντος. βασιλεὺς δὲ ἀσυμφορώτατόν τε ἡγεῖτο καὶ ἐδυσχέραινεν οὐ μετρίως, ἐκέλευέ τε ὅτι τάχιστα πρὸς τοῦ στρατοπέδου τὴν εἰσβολὴν ἐλθόντα, κατέχειν τὴν στρατιὰν καὶ μηδαμῶς ἀτακτεῖν ἐᾶν, ὡς ἄνευ πολεμίων αὐτοὺς ἐφ' ἑαυτοὺς διαφθαρη-

19. οἰόμενοι legebatur.

vulnere laborare. Quicunque autem adhuc seniori favebant, iamiam animam exhalaturum dictitabant. Utrum quia sic esse putarent, an ex odio famam istam spargerent, in ambiguo mansit: nam imperator postmodum, ne quod avo bene vellent, eos punivisse existimaretur, rem indiscussam reliquit. Dum haec per ora volverentur, etiam Byzantinos milites impulerunt, uti e castris in urbes Bithyniae vicinas se conferrent: alioqui, si quid humanitus imperatori accidisset, omnes a Persis trucidandi. Quidam insuper amici ad magnum domesticum adeuntes hortabantur, militem in oppida propinqua deduceret, tanquam malis nuntiis conterritum, et illico tumultuaturum. Domestico eos repellente, multis precibus rogare instituerunt, uti sententiam eorum cum imperatore communicaret, fieretque quod illi placuisset. Hoc obtinuerunt, quando et ille imperatorem quid ageretur, omnino monendum sentiebat. Protinus vadit, ut ei nuntiet, quid optimates e re publica futurum arbitrentur. Imperator id ipsum fore damnosissimum ducere, nec leviter stomachari ac praecipere, quam primum se ad portam castrorum obiiceret, milites cohiberet ac neutiquam tumul-

A. C. 1329 σομένους. τοῦτο μὲν οὖν ᾗ προσετέτακτο ἐποίει κατὰ τάχος. ἐλθὼν δὲ παρὰ τὴν εἰσβολὴν, τὴν στρατιὰν εὗρε πᾶσαν ἤδη ὡρμημένην πρὸς τὰς πόλεις φεύγειν. οἱ γὰρ ἐκ Βυζαντίου μηδὲ τὴν ἐκ βασιλέως ἐπάνοδον περιμείναντες αὐτοῦ, ἀλλὰ νομί-
P. 221 σαντες τεθνηκέναι βασιλέα, σκηνάς τε καὶ ἄλλα ὅσα ἐπεφέροντο ἀράμενοι, ἐχώρουν πρὸς τὰς εἰρημένας πόλεις. ὁρῶντες δὲ
V. 178 καὶ οἱ λοιποὶ, οὐκέτι μένειν οὐδὲ αὐτοὶ ἐδύναντο ἐπὶ τοῦ στρατοπέδου, ἀλλὰ κεκίνητο ἤδη πᾶσα πρὸς φυγὴν ἡ στρατιά. ὁ μέγας δὲ δομέστικος ἐν δεινῷ μὲν τὰ γινόμενα ἐποιεῖτο καὶ ὥρμητο τοὺς πρώτους τῆς φυγῆς ἀρξαμένους ἀναστρέφειν. ὡς δὲ οὐδὲν τῶν προσηκόντων ἴσχυε πράττειν, (πᾶσα γὰρ ἤδη κεκίνητο ἡ στρατιὰ,) τῶν ἄλλων ἀμελήσας, διὰ σπουδῆς ἐποιεῖτο πάσης καὶ φροντίδος τὴν βασιλέως σωτηρίαν, καὶ ᾗ τά-
B χιστα εἶχε, πρὸς τὴν βασιλέως σκηνὴν ἐλθὼν, τοῦτον μὲν οὐχ εὗρεν. ἡ γὰρ θεραπεία ἡ περὶ αὐτὸν τὴν μὲν στρατιὰν ἤδη πᾶσαν ὁρῶντες ὡρμημένην πρὸς φυγὴν καὶ τὸ στρατόπεδον ἔρημον καταλειφθὲν, τόν τε βασιλέα ἀδυνάτως ἔχοντα διὰ τὸ τραῦμα ἵππῳ χρῆσθαι, δείσαντες περὶ αὐτῷ, ἄραντες ἐπὶ τάπητος, ἐνὶ τῶν παρατυχόντων ἐνέβαλον λέμβῳ καὶ ἐκέλευον τοῖς ναύταις εἰς Βυζάντιον ἐλαύνειν. ἀναστρέψας δὲ ἐχώρει καὶ αὐτὸς εἰς Φιλοκρήνην. εἰς τέτταρα δὲ ἡ στρατιὰ διαιρεθεῖσα, τὸ μὲν αὐτῆς ἐχώρησεν εἰς Φιλοκρήνην, εἰς Νικητιάτου δὲ τὸ λοιπὸν, εἰς Δακίβιζαν δὲ τὸ τρίτον, καὶ τὸ τέταρτον εἰς τὸ Ῥιτζίου. Ὀρχάνης δὲ τῶν γινομένων μηδὲν εἰδὼς,

tuari omniaque confundi sineret: ne sine hostibus ipsi semet ipsos perderent. Ubi ad aditum castrorum venit, (venit autem, uti mandatum erat, festinus,) totum exercitum ad fugam in urbes incumbentem invenit. Nam Byzantini ne exspectato quidem eius reditu ab imperatore, quem obiisse putabant, tabernaculis cum omni instrumento sublatis, ad urbes quas diximus iter capessebant. Quo conspecto, alii ne ipsi quidem manere poterant: sed cuncti iam fugam moliebantur. Magnus domesticus rei indignitatem iniquo passus animo, principes fugitores ad reditionem inducere nitebatur. Cum nihil obtineret, (totum quippe agmen iam seditione fervebat,) reliqua in postremis ponens, omni studio curaque ad salutem imperatoris se dat et quam celerrime potest, ad eius tabernaculum accurrens eum non reperit: quod ministri, dum exercitum ad fugam efferri, castra deserere, ipsum propter illatum vulnus equo insidere non posse cernerent, eius saluti metuentes, tapeti impositum ac lembo forte fortuna occurrenti creditum, Constantinopolin pervehendum curaverant. Reversus ipse quoque Philocrenen concessit. In quatuor autem agmina divisis militibus, unum Philocrenen, alterum Nicetiatum, tertium Diacibizam, quartum Rhitzium discessit. Orchanes horum omnium

ὅμως Παρζαλοῦν τὸν ἀδελφὸν μετά τινων Περσῶν ὀλίγων A.C. 1329 ἐκέλευσεν ἐλθόντα κατασκέψασθαι τὴν βασιλέως στρατιάν. C ᾤετο γὰρ αὐτοὺς οὐδὲ τὴν νύκτα καθευδήσειν ἀμερίμνως, ἀλλ' ἐπιχειρήσειν τι πρὸς κάκωσιν αὐτῶν. ὁ δ' ὑπὸ τὸ σκότος ὡς ἐνῆν μάλιστα λαθὼν καὶ γενόμενος ἐγγὺς τοῦ στρατοπέδου, ἐπεὶ ᾐσθάνετο τὴν στρατιὰν κεκινημένην, ταχέως Ὀρχάνῃ τῷ ἀδελφῷ ἐδήλου. τῷ δ' ἐδόκει μὲν εὐθὺς οὐκ ἐπ' ἀγαθῷ τῷ σφετέρῳ κίνησις τῆς στρατιᾶς καὶ διεσέσειστο τοὺς λογισμούς· μετὰ μικρὸν δὲ Παρζαλοῦς καὶ δεύτερον πέμψας ἄγγελον, ἐδήλου τὴν Ῥωμαίων στρατιὰν ἀτάκτως καὶ πεφυρμένως ἀναστᾶσαν ἐκ τοῦ στρατοπέδου, μὴ τὴν εἰς Βυζάντιον D τραπέσθαι, ἀλλὰ τὴν πρὸς τὰς εἰρημένας τῆς Βιθυνίας πόλεις. ὁ δ' ἐπεὶ ἐπύθετο, ἐπεὶ καὶ περὶ ὄρθρον ἦν ἡ νύξ, ἄρας καὶ αὐτὸς πανστρατιᾷ, ἦλθεν εἰς Φιλοκρήνην περὶ ὥραν τῆς ἡμέρας μάλιστα δευτέραν. Ῥωμαῖοι δὲ οἱ εἰς αὐτὴν ἐλθόντες, ἐπεὶ συνέβη τὸ κλεῖθρον τῆς πύλης ἀπολέσθαι, ἀναμὶξ ἑστῶτες μετὰ τῶν σκευοφόρων, ὡς οἱ Πέρσαι ἤδη κατάδηλοι ἦσαν ἐπιόντες, πρῶτα μὲν οὐκ ἠδυνήθησαν εἰς τάξιν καταστῆναι καὶ ἀμύνασθαι τοὺς βαρβάρους, κωλυόμενοι ὑπό τε τῶν ἀχθοφόρων καὶ τοῦ ἄλλου οἰκετικοῦ ἀναπεφυρμένου αὐτοῖς. ἐπεὶ δὲ τῶν κλείθρων εὑρημένων, ἀνεῴχθησαν αἱ πύλαι, οἱ πλείους ἀθρόοι ὥρμησαν ἐντὸς ἐλθεῖν. γενομένου δὲ ὠθισμοῦ πολλοῦ κατὰ τὴν εἴσοδον καὶ συνθλιβομένων ὑπ' ἀλλήλων καὶ συμπατουμένων, ἀπέθανον μὲν τρεῖς κατὰ τὰς πύλας, τῶν ἄλλων εἰσελθόντων, ἔξω δὲ ὑπὸ τῶν βαρβάρων δύο μὲν ἀπέθανον καὶ τριάκοντα· P. 222

ignarus, nihilo minus Parzalum fratrem cum Persis aliquot ire exercitumque imperatoris speculari iussit: nam eos ne somnum quidem placatum ea nocte visuros, sed ad cladem ipsorum quippiam machinaturos opinabatur. Ille tenebris quam maxime dabatur tectus, et castris vicinus, ubi milites turbare sensit, e vestigio nuntium ad fratrem mittit; quo ille nuntio percussus, motus hosce nihil suis apportare boni est auguratus. Paulo post per secundum nuntium eum docet, Romanos perturbate ac mixtim castris consurrexisse: nec Byzantium, sed versus supra dictas urbes aufugisse. Quo cognito, sub auroram ipse quoque motis castris, circa horam ab orto sole secundam Philocrenen venit. Romani, qui eo se receperant, quoniam claves portae casu perditae fuerant, confuse cum calonibus et lixis vasa et onera portantibus stantes, cum iam Persae certo in ipsos graderentur, in ordinem redigi ad resistendum non poterant, a baiulis servitiisque aliis intermistis impediti. Ubi clavibus inventis portae patefactae sunt, plures confertim introrumpebant. Cumque se in ipso introitu vehementius contruderent ac mutuum comprimerent

A.C. 1329 ἐξ ὧν ἦσαν δύο τῶν ἐπιφανῶν, Μανουὴλ ὁ Ταρχανειώτης καὶ ὁ Καντακουζηνὸς Νικηφόρος, τοῦ μεγάλου δομεστίκου καὶ ἀμφότεροι τυγχάνοντες ἀνεψιοί. ἑάλωσαν δὲ καὶ ζῶντες πεντήκοντα καὶ ἑκατὸν, ὧν οἱ πλείους ἐκ τῶν ὑπηρετούντων τοῖς στρατιώταις ἦσαν. ἵπποι δὲ οἱ ἀφαιρεθέντες ἐγένοντο ὡς τετρακόσιοι. ἔπειτα οἱ ἄλλοι συστραφέντες, συνεπλάκησάν τε τοῖς βαρβάροις καὶ ἀπέκτειναν ἐξ αὐτῶν ὀλίγῳ δέοντας διακοσίων. Ὀρχάνης δὲ ὁρῶν ἤδη τοὺς Ῥωμαίους ἀμυνομένους, μὴ δυνάμενός τι δρᾶσαι πλέον, ἀπήγαγέ τε τὴν στρατιὰν τῆς
B Φιλοκρήνης καὶ ἐστρατοπέδευσεν ἐκεῖ. τοσοῦτοι μὲν ἀπέθανον κατὰ τὴν Φιλοκρήνην καὶ ἑάλωσαν ζῶντες. τῇ προτεραίᾳ δὲ κατὰ τὰς μάχας οἱ σύμπαντες ἀπέθανον ἱππεῖς τε καὶ πεζοὶ ἑπτὰ καὶ τεσσαράκοντα, καὶ ὁ μέγας ἑταιρειάρχης Ἐξώτροχος κατὰ τὴν τελευταίαν συμπλοκὴν, ὃς καὶ ἐλέγετο οὐχ ὑπὸ βαρβάρου, ἀλλ' ὑπὸ Ῥωμαίου τινὸς πληγῆναι, εἴτε ἀγνοήσαν-
V. 179 τος αὐτὸν, (ἤδη γὰρ ἐπελάβετο ἡ νὺξ,) εἴτε καὶ κατά τινα διαφορὰν ἀμυνομένου, τοῦ σκότους συνεπικρύπτοντος τὴν κακουργίαν. ὑπωπτεύθη δὲ ὑπὸ Ῥωμαίου πληγῆναι, ὅτι ἀνακεχωρηκότες ἤδη οἱ Πέρσαι ἦσαν, ὅτε ἐκεῖνος τὴν κεφαλὴν εὑρέθη πεπληγμένος ξίφει, ἔφιππος ἔτι ὢν, ἀφωνίᾳ δὲ κατεσχέθη,
C τοῦ ἐγκεφάλου ἀψαμένης τῆς πληγῆς, καὶ ἐτελεύτησε μετὰ μικρόν. ἡ μέντοι κατὰ τὰς ἄλλας πόλεις διεσκεδασμένη στρατιὰ Ῥωμαίων τῆς αὐτῆς ἡμέρας ὥσπερ ἐκ συνθήματος εἰς

7. Scr. ὀλίγου δέοντας διακοσίους. 11. Interpres corrigit ὑστεραίᾳ. *ED. P.*

et conculcarent, tres obtriti, foris autem a barbaris duo et triginta ferro perempti sunt: e quibus duo illustres, Manuel Tarchaniota et Nicephorus Cantacuzenus, ambo cognati magni domestici: capti item centum quinquaginta, maiorem partem servi militum. Equi ablati quadringenti. Reliqui facto globo cum barbaris conflixerunt et ex illis paulo minus ducentos occiderunt. Orchanes cernens Romanos iam se defendere, cum aliud non posset, copias a moenibus abducens in proximo castra fecit. Qui igitur illic partim occisi, partim capti sunt, numero tot fuerunt. Pridie in pugna equites ac pedites simul omnes septem supra quadraginta occubuerunt, et ad extremum magnus hetaeriarcha Exotrochus, quem non a barbaro, sed Romano aliquo ictum ferebatur; sive quod eum non agnosceret, (iam enim nox intervenerat,) sive quod ob dissidium nescio quale se ulcisci vellet, tenebris maleficium occultantibus. Suspicio fuit a Romano vulneratum, quia Persae tum recesserant, quando ipse caput gladio diffissus ac cerebro patente, etiamnum in equo, sine voce inventus est: nec diu post animam exhalavit. Per reliqua porro oppida dispersus Romanus exercitus, eodem die velut ex composito Philocre-

Φιλοκρήνην συνελθόντες, ἐκεῖθέν τε οὐ πολὺ ἄπωθεν τοῦ στρα- A.C. 1329 τοπέδου Ὀρχάνη παριόντες, ἦλθον εἰς Σκουτάριον καὶ ἐπεραιώθησαν εἰς Βυζάντιον ἀδεῶς ἐκεῖθέν τε ἀνεχώρησαν ἕκαστος ἐπ' οἶκον. βασιλεὺς δὲ τοὺς εἰς τὸ στρατόπεδον διαθρυλλήσαντας ὡς ἐτεθνήκει, ἐν αἰτίαις μὲν ἐποιήσατο καὶ κατηγόρησε πολλὰ, οὐκέτι δὲ καὶ ἐτιμωρήσατο ἀξίως τῆς κακουργίας ἑαυτῶν, δέει τοῦ μὴ δοκεῖν τῷ πρὸς τὸν πάππον καὶ βασιλέα D ἔχθει ἀμύνεσθαι αὐτούς.

θ'. Ὀλίγας δὲ ἐνδιατρίψας ἡμέρας Βυζαντίῳ, ἐπεὶ καὶ ὁ μηρὸς αὐτῷ ἀπὸ τοῦ τραύματος εἶχεν ὑγιῶς, ἐξελθὼν ἦλθεν εἰς Διδυμότειχον καὶ τὰ περὶ τὴν Ἀδριανοῦ. διατρίβων δὲ ἐκεῖ, καὶ πάντοτε μὲν ἡδέως εἶχε τῷ μεγάλῳ δομεστίκῳ συνεῖναι καὶ ὁμιλεῖν, ὡς καὶ διημερεύειν αὐτοὺς πολλάκις καὶ P. 223 διανυκτερεύειν ἐν ταῖς ὁμιλίαις· καὶ τότε δὲ ὁμιλῶν αὐτῷ, τῆς ἀρχαίας τε ἀνεμίμνησκεν αὐτὸν πρὸς ἀλλήλους φιλίας καὶ τῆς κατάκρας συναφείας οὐκ ἐν παρέργῳ, ἀλλὰ μετά τινος φροντίδος καὶ σπουδῆς, καὶ ὧν μικρῷ πρόσθεν εἰρήκει πρὸς αὐτὸν, ὅτε περὶ Συργιάννη ἐδεῖτο τῆς εἱρκτῆς ἀπολυθῆναι, ὡς, οὔτ' ἂν εἴη τι τῶν πάντων ὃ κατὰ γνώμην αὐτῷ πραχθῆναι ὂν αὐτὸν ἐθελῆσαι ἄν ποτε κωλῦσαι, ἀλλὰ συγκατεργάσεσθαι πάσῃ σπουδῇ, οὔτε εἰ κατὰ δή τινα τρόπον δόξειεν αὐτῷ τῆς οἰκίας ἀποστάντα καὶ φιλτάτων καὶ γυναικὸς καὶ συμπάντων εἰπεῖν χρημάτων, ἐπ' ἀλλοτρίας διατρίβειν, B δυνήσεσθαι ἄν ποτε ἀποστήσεσθαι αὐτοῦ, ἀλλὰ τὴν μὲν

nen convenit: indeque non procul a castris Orchanis transeuntes, Scutarium accesserunt, et Byzantium libere traiecerunt, unde ad suos quisque lares remeavit. Imperator eos, qui de morte sua in castris fabulam disseminarant, criminis damnabat ille quidem magnopereque accusabat: non tamen pro merito multabat; veritus scilicet, ne odio avi id facere videretur.

9. Diebus non adeo multis Byzantii commoratus, femore iam persanato, Didymotichum et Adrianopolin excurrit. Ibi, cum antea semper cum magno domestico tam iucunde in sermone versari soleret, ut saepe dies, saepe noctes confabulando consumerentur, dum collocutioni vacant, veteris amicitiae et arctissimae coniunctionis, non per transennam, sed cogitato et de industria eum commonefacit: illorum praeterea, quae nuperrime pro Syrgianne e carcere liberando roganti responderat: nihil penitus fore scilicet, quod si ille factum vellet, non idem ipse vellet; et in quo efficiendo non etiam omni studio elaboraret: neque si quo modo relicta patria, uxore, liberis, denique rebus omnibus, in solo peregrino aevum traducere institueret, posse unquam ab eo divelli: sed prius eum docturum, quam id intempestive atque insolenter faceret. Si ab ista cupiditate avertere

A. C. 1329 ἀκαιρίαν τοῦ πράγματος καὶ τὴν ἀτοπίαν ὅση ἐκδιδάξειν. ἐὰν
δὲ μὴ δύναιτο τῆς ὁρμῆς ἀφιστᾷν, καὶ αὐτὸν εἰπόντα πᾶσι
χαίρειν, αἱρήσεσθαι τὴν ἐπὶ ξένης πλάνην· ἔτι τε εἰ αἵρεσις
αὐτῷ δοθείη, πάντως δὲ παρὰ τοῦ τὰ τοιαῦτα δυναμένου θεοῦ
τὸν ἕτερον αὐτῶν παρὰ τοῖς πλείοσι γενέσθαι, ἁπάσαις ψή-
φοις αὐτὸν ἂν ἑλέσθαι τὴν ἐν ᾅδου διατριβὴν, ὑπὲρ τοῦ αὐ-
τὸν μακροῦ βίου ἀπολαύειν· καὶ πρὸς ἐπὶ τούτοις, εἰ καθ'
ἡντιναοῦν αἰτίαν ξίφος αὐτὸν γυμνώσαντα συνέβη κατ' αὐτοῦ
χωρῆσαι ὡς ἀποκτενοῦντα πάντως, ἔπειτα ἄκοντα εἰς τέλος
C ἀγαγεῖν τὴν ἐπιχείρησιν κωλυθῆναι, μέμψασθαι μὲν ἂν τὴν
πρᾶξιν, ὡς οὐκ ἀγαθὴν, αὐτὸν δὲ δυνήσεσθαι μηδέποτε μισῆ-
σαι. Μεταξὺ δὲ τῶν τοιούτων λόγων ἐπικόπτων τὴν ὁρμὴν,
πάντων μὲν ἔλεγε τούτων ὁ μέγας δομέστικος μεμνῆσθαι, καὶ
V. 180 μᾶλλον ἤ τινων ἄλλων· οἴεσθαι δὲ καὶ ψυχαῖς εἴ τις αἴσθησις
καὶ μνήμη τῶν κατὰ τὸν βίον μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν,
πάντων μᾶλλον αὐτὸν ἐπιλήσεσθαι τῶν ἄλλων ἢ τῶν λόγων
τουτωνὶ ἀνεξάλειπτα τῇ διανοίᾳ ἐγκεκολαμμένων. ὅ, τι δὲ
αὐτῷ τὰ τοιαῦτα δύνασθαι νοεῖν, νῦν ἀγνοεῖν. Εἰκότως, εἴ-
ρηκεν ὁ βασιλεύς· ἔτι γὰρ ἑαυτῷ τῶν τοιούτων τὴν δύναμιν
D ἄδηλον παρακατέχειν, νυνὶ δὲ ποιήσειν φανεράν. τὴν γὰρ ἔν-
δοθεν πρὸς αὐτὸν ἀκραιφνῆ καὶ καθαρὰν φιλίαν αὐτῷ μὲν
εἶναι καὶ πάλαι δήλην ἐκ πολλῶν· βούλεσθαι δὲ νῦν καὶ
τοῖς ἄλλοις ἅπασιν οὐ Ῥωμαίοις μόνον, ἀλλὰ καὶ τοῖς
ἐν ἐσχατιαῖς γῆς βαρβάροις ἔνδηλον καὶ φανερὰν ποιῆσαι.

7. Num πρὸς ἔτι τούτοις? 11. ἀγαθὴ legebatur.

mentem eius non posset, se quoque rebus universis remisso nuntio, vitam cum illo vagam in locis exteris victurum. Deinde si a Deo, in cuius unius manu id est, optio sibi daretur, ut pro illo hac luce decederet, se omnimodis de annis suis ad illius annos additurum. Adhaec si quacunque tandem de causa contingeret, ipsum stricto ense in se ad caedem ipsam ruere ac invitum reprimi, facinus quidem, ut malum, reprehensurum; eum tamen idcirco nunquam odio prosecuturum. Hic cursum orationis interrumpens magnus domesticus, omnium horum magis quam aliorum quorundam meminisse dixit; et arbitrari, si quis animis post fata rerum humanarum sensus et memoria restet, omnia potius, quam sermonem hunc, menti suae notis indelebilibus insculptum, oblivioni traditurum. Quid autem nunc ista sibi velint et quorsum spectent, haud assequi. Tum imperator: Recte; hactenus enim ipsum eorum vim celasse, quam nunc manifeste proditurus sit. Quam sincere ac pure illum corde suo amet, iam pridem multis argumentis cognovisse: cupere autem nunc eundem amorem suum ceteris quoque omnibus et Romanis et barbaris per terras ultimas clarum conspicuumque reddere: quod

τοῦτο δὲ γένοιτ' ἄν, εἴγε καὶ αὐτὸς πορφύραν ἐνδὺς καὶ πα- A.C. 1329
ρασήμοις κοσμηθεὶς βασιλικοῖς, συμβασιλεύσει Ῥωμαίων καὶ συνεδριάζων αὐτῷ φανεῖται καὶ χρηματίζων βασιλικῶς. καίτοι τοῦτο δόξαι μὲν ἂν τοῖς ἔξωθεν ὑπερφυὲς, ὥσπερ δῆτα καί ἐστι, τῇ δὲ ἔνδοθεν πρός σέ μου διαθέσει παραβάλλων τις, ἡττώμενον εὑρήσει παραπολύ. τὸ μὲν γὰρ κοινωνὸν ἑλέσθαι τῆς ἀρχῆς καὶ τῆς εὐδοξίας μεταδοῦναι, καὶ ἄλλοις ἄν τισιν εὕροι τις εἰργασμένον πρὸ ἡμῶν· τῇ δὲ φιλίᾳ καὶ τῇ συμ- P. 224
πνοίᾳ, ἣν ἐν ἀλλήλοις ἐκτησάμεθα ἡμεῖς, καὶ τοὺς παρὰ ποιηταῖς καὶ συγγραφεῦσιν ἐπὶ φιλίαις ὑμνουμένους οὐκ ἐπ' ὀλίγον νομίζω παρηκοντικέναι. ὅθεν εἴ τι καὶ τῶν θαυμασίων δοκεῖ εἶναι τοῖς ἄλλοις πᾶσι, τῶν μετρίων ἔμοιγε φαίνεται καὶ ὀλίγων, οὐ διὰ τὸ μάλιστα βούλεσθαι μόνην καὶ ὥσπερ τι δεῖγμα οἴεσθαι μικρὸν τῆς ἔνδοθεν στοργῆς τῆς περὶ σὲ, ἀλλ' ὅτι καὶ Ῥωμαίοις οὐ μικρὸν εἰς τὰ πράγματα λυσιτελήσει. Βασιλεὺς μὲν οὖν ἐκ τούτων ἐπεχείρει τὸν μέγαν δομέστικον πείθειν αὐτῷ συμβασιλεύειν καὶ συνδιέπειν τὴν ἀρχήν· ὁ δὲ καὶ αὐτὸς μὲν ἔλεγε τὴν ἴσην καὶ ὁμοίαν B
ἔχειν περὶ τὸ πρᾶγμα δόξαν, καὶ μέγα μὲν οἴεσθαι καὶ θαυμαστὸν καθ' ἑαυτό τε εἶναι καὶ δοκεῖν τοῖς ἄλλοις ὥσπερ τις κορωνὶς τῶν ἐν ἀνθρώποις εὐτυχημάτων ὄν, τῇ φιλίᾳ δὲ αὐτῶν παραβαλλόμενον τῇ πρὸς ἀλλήλους, οὐδὲν τῶν θαυμασίων εἶναι, οὐδὲ τῶν εἰκότως ἂν ἐκπλῆξαι δυναμένων. ὁ γὰρ τὴν αὐτοῦ ζωὴν τῆς οἰκείας προτιθεὶς καὶ μεθ' ὅσης ἂν

quidem futurum sit, si et ipse purpuram indutus et imperatoriis insignibus ornatus, una secum Romanis imperitet, sibi palam assideat, secum more imperatorio respondeat. Et quanquam hoc extra, inquit, singulare quiddam et eximium, ut sane est, videbitur: tamen si cum interiore mea erga te affectione comparetur, multo illa inferius reperietur. Nam et alii ante nos consortem imperii elegerunt, maiestatemque communicarunt: ab amicitia autem et voluntatum conspiratione etiam a poëtis historicisque praedicatos, non parum a nobis superatos opinor. Quamvis igitur aliis omnibus mirabile, mihi tamen mediocre et exiguum quiddam apparet: non solum quia maxime tibi volo et id tanquam parvum aliquod documentum intrinseci summique amoris erga te mei existimo: sed etiam quia id Romanae rei publicae maiorem in modum proderit. His rationibus imperator magnum domesticum permovere nitebatur, ut imperii collega simul ad clavum sederet. Ille vero idem se prorsus sentire respondit; et magnum quiddam ac suspiciendum esse imperium Romanum per se, et aliis humanarum felicitatum quasi coronidem quandam et fastigium quoddam videri. Si tamen cum eorum mutua caritate conferatur, nec admirabile, nec merito ob-

A. C. 1329 ἡδονῆς τὸ ὑπὲρ αὐτοῦ ἀνθελόμενος ἀποθανεῖν, τί θαυμαστὸν,
εἰ καὶ βασιλείας μεταδοίη, ἢ εἴ τινος καὶ τούτου θαυμασιωτέρου; τῆς δὲ εὐεργεσίας ἕνεκα ταυτησὶ πολλὰς μὲν ὀφείλειν χάριτας ὁμολογεῖν, καὶ λόγοις τε καθόσον οἷόν τε τὴν ὑπὲρ
C αὐτῆς χάριν ἀφοσιοῦν, ἔργοις τε ἀμείβεσθαι τοῖς ἴσοις, τὴν ὁμοίαν καὶ αὐτὸν ἐκ τῆς καρδίας αὐτῷ προσάγοντα καὶ φιλίαν καὶ στοργήν. ὃ δὲ αὐτῷ προστάττει νῦν δέχεσθαί τε καὶ ὡς τετελεσμένον νομίζειν ἤδη. τὸ γὰρ εἰς αὐτὸν ἧκον, οὐδὲν ἐλλείπειν τοῦ πεπρᾶχθαι, ἔργῳ δὲ τελεῖν μήτε δύνασθαι, μήτε κατὰ γνώμην αὐτῷ εἶναι μήτε καθ' ἡδονήν. διὸ αὐτόν τε παύεσθαι πείθειν ἐπιχειροῦντα περὶ τούτου καὶ αὐτῷ παραιτουμένῳ συγγινώσκειν. Βασιλεὺς δὲ οὐχ οὕτως ἔφασκεν ἀπροφασίστως παραιτεῖσθαι χρῆναι, ἀλλὰ τὰς αἰτίας διδάξαντα πρῶτον καὶ τὴν ἀξίωσιν πείσαντα ὡς παράλογον,
D οὕτως ἤδη ἀπολύεσθαι αἰτίας· πρὶν δὲ ταῦτα ποιεῖν οὔ συνετὸν, οὐδ' ἄγαν φιλοῦντος οὕτως ἐξ οὐδεμιᾶς αἰτίας ἰσχυρίζεσθαι τὸ μὴ πεισθῆναι ἄν ποτε. καίτοι γε εἰ μή τι ἄλλο, τὸ γοῦν ἀεὶ διαβεβαιοῦσθαι μηδὲν εἶναι μήτε μεῖ-
V. 181 ζον μήτε ἔλαττον ὅ, θελήσαντος ἐκείνου, μὴ ἂν εἰς πέρας ἀγαγεῖν, αὐτὸν ἄξιον καταναγκάζειν πείθεσθαι αὐτῷ. εἰ δ' οὐχ οὕτως ἔχεις, δίκαιον διδάσκειν, ὡς ἂν εἰδείην τὸν πρότερον ἠπατημένος χρόνον. Οὕτως ἔφασκεν ὁ μέγας δομέστικος ἔχειν, καὶ ἀεί τε διϊσχυρίζεσθαι πάντα πράττειν ἐθέλειν,

stupescendum esse. Qui enim alterius vitam suae antetulit et pro eodem summa cum voluptate emori elegit, quid mirum, si cum hoc imperium, aut si quid imperio praestantius est, dividat? De hac autem beneficentia multum se illi debere, idque ingenue confiteri, et verbis quam religiosissime possit gratias agere: re ipsa referre, cum animo eandem illi benevolentiae amorisque magnitudinem remetiatur. Quod vero nunc sibi imponat, id se admittere et pro confecto ducere, (quod enim ad se attineat, nihil deesse, quo minus confectum sit,) re tamen nequire perficere: neque allubescere sibi, neque ullam iucunditatem parere. Quamobrem coeptis desistat sibique recusanti ignoscat. Tum imperator, Non ita praecise nulloque praetextu recusandum: verum causas afferendas et quod postuletur cum ratione non congruere demonstrandum, atque ita demum culpam ab se amovendam: alioqui nec prudentis, nec valde amantis esse, asseverare simpliciter, nunquam sibi persuasum iri. Ac si non aliud, hoc unum certe, quod semper prae se ferat, nihil esse tam parvum aut magnum, quod eo volente non sit facturus, iure ad dandas manus posse compellere. Si aliter sit, par esse, ut demonstret, quo se hactenus dolis ductatum fuisse intelligat. Tum magnus domesticus, Non aliter esse, et semper sese affirmare factu-

ἅττα ἂν βούλοιτο αὐτὸς, καὶ νῦν οὐδὲν ἧττον πρὸς τοῦτο A. C. 1329
παρεσκευασμένος εἶναι. ἐφ' οὗ δὲ πείθειν νῦν ἐπιχειρεῖς,
οὐ σώζειν τὴν ἀκολουθίαν τὸν λόγον. πᾶν γὰρ ἐθέλειν ποι- P. 225
εῖν φαίην ἂν, ὃ οὐ δι' ἐμὲ ἂν γίγνοιτο, διὰ σὲ δέ· περὶ οὗ δὲ νῦν ὁ λόγος δι' ἐμὲ ὄντος, οὐ δίκαιον οὐδ' ἀναγκαῖον εἰς πειθὼ τῷ λόγῳ χρῆσθαι, ἄλλως τε καὶ αὐτὸν ὡσαύτως διακείμενον περὶ ἐμὲ καὶ τοῖς ὁμοίοις καὶ αὐτὸν χρώμενον λόγοις, οὐκ εὔλογον πρὸς ἐμὲ μὲν ἰσχυρὸν τὸν λόγον ἡγεῖσθαι, πρὸς σὲ δὲ μὴ δύνασθαι τὰ ἴσα. εἰ δ' ἐν ἀμφοτέροις ὁμοίαν ἔχει τὴν ἰσχὺν, δίκαιον καὶ σὲ ὃ μᾶλλον ἐγὼ βούλομαι ποιῆσαι, ἄλλως τε καὶ περὶ ἐμοῦ τοῦ ζητουμένου ὄντος. Τοιούτων δή τινων καὶ πλειόνων ἑτέρων πρὸς ἀλλήλους εἰρημένων,
βασιλέως μὲν ἐπιχειροῦντος πείθειν δέχεσθαι τὴν βασιλείαν, B
τοῦ μεγάλου δομεστίκου δὲ μήτε βουλομένου μήτε πειθομένου, τὸ νῦν μὲν ἔχον διελύθησαν, οὔτ' ἀπαγορεύσαντος εἰς τέλος βασιλέως, οὔτε τοῦ μεγάλου δομεστίκου ἀποσχέσθαι τοῦ πράγματος πεῖσαι δυνηθέντος βασιλέα. βασιλεὺς δὲ αὐτὸν οὕτως ἀνθιστάμενον ὁρῶν, δεῖν ἔγνω καὶ ἑτέρους πρὸς πειθὼ παραλαβεῖν, εἴ πως δυνηθείη δι' αὐτῶν πεῖσαι δέξασθαι τὴν βασιλείαν, καὶ παραλαβὼν Ἀνδρόνικον τὸν Ἀσάνην, ὄντα τοῦ μεγάλου δομεστίκου πενθερὸν, καὶ τὸν πρωτοστράτορα Συναδηνὸν, καὶ αὐτοῦ μεγάλου δομεστίκου παρόντος, μετὰ τὸ διαλεχθῆναι περί τινων ἑτέρων πρὸς αὐτοὺς,
ἤδη καὶ περὶ τοῦ προκειμένου προοιμιαζομένου, ὁ μέγας δο- C

rum quae ille velit omnia, et in praesens nihilo minus ad hoc ipsum paratum esse. Ceterum quod modo a se conetur impetrare, in eo non dici cohaerentia. Omnia enim prompte me executurum dixerim, inquit, quae non propter me, sed propter te fiant. Cum porro id, de quo nunc sermonem habemus, propter me sit, neque iustitia sinit, neque necessitas flagitat quidquam te verborum amplius persuasionis ergo proloqui. Nam quia tu ita affectus es erga me, ut ego erga te, et idem quod ego profiteris, non est secundum rationem existimare, orationem tuam apud me valere debere, meam apud te non item. Si igitur in utroque eandem vim habet idemque valet, decet ut tu quoque quod ego malim, id praestes, cum praesertim de me sit negotium. His et pluribus ultro citroque dictis, imperatore id agente, ut eum ad imperii societatem capessendam induceret, magno vero domestico prorsus abnuente, in praesens digressi sunt: cum nec ille spem omnino abiiceret: nec hic tantum valeret, ut a sententia illum detorqueret. Videns ergo adeo refractarium imperator, alios insuper in partem laboris huius vocare statuit, si forte per eos quod volebat consequeretur. Igitur Andronicum Asanem, ipsius socerum, et protostratorem Syradenum assumit: domesticoque coram praesente, postquam super aliis nonnul-

A. C. 1329 μέστικος περὶ ὧν ἔσοιντο οἱ λόγοι συμβαλὼν, ἀνίστη τε τὸν βασιλέα τοῦ συνεδρίου, ὡς περί τινος ἀναγκαίου μέλλων διαλέξεσθαι, καὶ μόνον παραλαβὼν, ὥρκιζε τὸν θεὸν, μηδὲν πρὸς τοὺς εἰρημένους περὶ ὧν βούλοιτο εἰπεῖν, ὡς ὠφελείας οὐδεμιᾶς ἐκ τῶν λόγων ἐσομένης. εἰ γὰρ ἐνῆν ὑπό τινων πεισθῆναι, μᾶλλον ἂν τῶν ἄλλων πάντων ἐπείθετο αὐτῷ· αὐτοῦ δὲ ἐκ πολλῶν καὶ συνεχῶν ὁμιλιῶν πλέον ἠνυκότος οὐδὲν, θαυμάζειν εἰ ἑτέροις τισὶν ἤλπισε τοῦτο γενέσθαι δυνατόν. βασιλεὺς δὲ ἤλγησε μὲν οὐκ ἐπ' ὀλίγον, ὁρῶν ἤδη τὴν D ἐπιχείρησιν οὐκ ἐσομένην ἀνυσθῆναι δυνατήν. καὶ διετέλεσεν ἡμέρας οὐκ ὀλίγας ἀλγῶν τε καὶ πολλὰ τὸν μέγαν δομέστικον καταμεμφόμενος τῆς ἀπειθείας καὶ τῆς οὐ καλῆς φιλονεικίας. ὅμως μέντοι τοῖς ἐκείνου πειθόμενος λόγοις ἀπέσχετο τοῦ λέγειν περὶ ὧν ὥρμητο πρὸς τοὺς εἰρημένους. καὶ αὐτοὶ δὲ ὅ, τι μὲν ἔμελλεν ἐρεῖν οὐκ ᾔδεισαν ἀκριβῶς ὁ βασιλεὺς, ὅμως δὲ ἐκ τῶν εἰκότων στοχαζόμενοι ὡς, περί τινων μεγάλων διαλέξεσθαι μέλλοντος αὐτοῖς, ὑπὸ τοῦ μεγάλου δομεστίκου κωλυθείη· ἐν αἰτίαις τε αὐτὸν ἐποιοῦντο καὶ τὰ ἔσχατα ἠδικῆσθαι διετείνοντο ὑπ' αὐτοῦ. μηδεὶς δὲ ταῦτ' ἀκούων, ἀνεξέλεγκτα οἰέσθω ψεύδεσθαι ἡμᾶς διὰ τὸ μὴ πᾶσι μέχρι P. 226 νῦν τὰ τοιαῦτα κατάδηλα γενέσθαι. ἴστω γὰρ θεὸς ὁ πάντα ἐφορῶν καὶ πᾶσι τοῖς γινομένοις ἀεὶ παρὼν καὶ τῶν ἀδήλων καὶ κεκρυμμένων ἀγνοῶν μηδὲν, ὡς οὔτ' ἐπὶ τοῖς ἄλλοις τοῖς συγγεγραμμένοις ἅπασιν οὔτ' ἔχθραν οὔτε φιλίαν οὔτ' ἄλλο

lis eos compellavit, rem propositam exorsus est. Domesticus divinans, quo de argumento texeretur oratio, e concilio imperatorem, ac si quiddam necessarium haberet dicere, evocat; et seducens eum, per Deum obtestatur, ne quid eorum quae decrevisset ad praesentes proferret: utpote utilitate nulla inde consecutura. Nam si ab ullo mortalium eo perpelli potuisset, ab ipso potuisse. Et quia multis assiduisque congressibus actum egisset, mirari se, quomodo alios id sibi effecturos speraverit. Imperator quoniam conatum suum fore inanem cernebat, magno in dolore per dies complures fuit, deque magni domestici inobedientia et parum honesta pertinacia querimoniam habuit. Verumtamen precibus eius obsecutus, de re tantopere cupita conticuit. Illi alii, quid imperator voluisset, non satis norant: nisi quod verisimiliter coniectabant, de arduis negotiis cum ipsis acturum, a domestico impeditum fuisse: quam rem ei vitio vertebant secumque iniquissime actum contendebant. Nemo autem qui ista audit, nullo argumento probata nos scribere ac mentiri putet, quod haec usque hodie non publice innotuerunt. Testor enim omnia inspectantem et universis, quae fiunt, semper praesentem incertorumque et occultorum nihil nescientem Deum, me neque in ceteris omnibus,

τῶν πάντων οὐδὲν τῆς ἀληθείας προεθέμεθα, νῦν τε οὕτως A.C. 1329 ὡς ἐγένετο περὶ τοῦ πράγματος τὴν διήγησιν ἀποδιδόαμεν V. 182 ὑμῖν, ὡς οὐχ ἅπαξ οὐδὲ δὶς καὶ τετράκις, ἀλλὰ καὶ πολλάκις βασιλεὺς Ἀνδρόνικος ὁ νέος Καντακουζηνὸν τὸν μέγαν δομέστικον ὅλῃ γνώμῃ καὶ πάσῃ σπουδῇ τοῖς βασιλικοῖς ἠθέλησε κοσμῆσαι παρασήμοις καὶ συγκάθεδρον αὐτῷ καὶ συμβασιλεύοντα ἀποδεῖξαι. αὐτοῦ δὲ παραιτουμένου ἰσχυ- B ρῶς καὶ μήδ' ἂν εἴτι γένοιτο, πεισθήσεσθαι ἰσχυριζομένου, ἤλγησέ τε σφοδρῶς ὁ βασιλεὺς ἐπιπολὺ καὶ τῆς ἀκαίρου κατεμέμψατο φιλονεικίας. τῷ μὲν δὴ ἔξωθεν σχήματι καὶ τῇ περιβολῇ οὐχ ᾗ ἠξίου ἐγεγόνει ὁ βασιλεύς· ἔργοις δὲ οὐδὲν ἦν σχεδὸν διαφέρων βασιλέως. ἥ τε γὰρ διοίκησις τῶν πραγμάτων πᾶσα ὑπ' αὐτῷ ἦν, καὶ τὰ βασιλέως προστάγματα οὐχ ἧττον ἢ αὐτὸς βασιλεὺς ἐρυθραῖς ὑπεσημαίνετο ὑπογραφαῖς, καὶ ἃ ἐξεφέρετο παρ' ἑαυτοῦ, τὴν ἴσην καὶ ὁμοίαν δύναμιν τοῖς βασιλέως εἶχεν, καὶ τἄλλα ὅσα βασιλέως ἔργα ἦν, καὶ αὐτῷ ἐξῆν. στρώμασί τε γὰρ ἐφύπνωττε C βασιλέως, εἴποτε στρατευομένῳ συνέβαινε τοῖς αὐτοῦ σκευοφόροις μὴ παρεῖναι, καὶ τῇ βασιλέως κλίνῃ, ᾗ μηδὲ υἱῷ καὶ βασιλεῖ, εἰ μὴ ἐπιτραπείη, ἔξεστιν, αὐτὸς ἀνεκλίνετο ἀκωλύτως ὁμοίως τε ἀπόντος καὶ παρόντος βασιλέως, ἐμβάσι τε ἐχρῆτο ταῖς βασιλικαῖς ἀδεέστερον ἢ ταῖς ἰδίαις, ὁπότε συνδιανυκτερεύσειε βασιλεῖ, καὶ πάντα ἔπραττε βασιλικῶς, ὡς

22. ἢ add. ED. P. συνδιανυκτερεύσει legebatur.

quae narravi, vel odium vel gratiam vel aliud quidquam veritati praeposuisse: et nunc rem gestam ut gesta est vobis tradidisse. Neque vero semel bisve quaterve, sed saepius Andronicus iunior imperator Cantacuzenum magnum domesticum toto pectore et omni conatu ornamentis imperatoriis condecorare, sibique assessorem et collegam cooptare contendit. Quo nimiopere detrectante confirmanteque, quo res cumque caderet, nunquam se obtemperaturum, diu in gravi aegrimonia versatus est et immodicam eius obstinationem in reprehensione posuit. Exteriore quidem habitu vestituque non eo incedebat, quo imperator postulabat: sed actionibus propemodum nihil ab eo differebat. Nam et rerum tota administratio penes illum erat; et edictis imperatoriis aeque ut ipse imperator minio seu cinnabari subscribebat: quaeque ipse protulisset, perinde accipiebantur, atque si ab ore imperatoris prodiissent: et reliqua demum, quaecumque imperator faceret, eadem ipsi licebant. Nam et in eius stragula veste somnum capiebat, si quando in expeditione contigisset ministros supellectilem seu impedimenta portantes non adesse: et in grabatulo eiusdem (quod nec filio, et quidem imperatori, nisi id ei parens deferret, fas erat) ipse liberrime, idque eo tam praesente, quam absente, meridiabatur: et

A.C. 1329 καὶ βασιλέα ὁρῶντα τὰ τοιαῦτα ἥδεσθαί τε ἄγαν ὑπερφυῶς
καὶ τοῖς ἄλλοις ἐνδείκνυσθαι ὡς εἴη αὐτῷ καθ' ἡδονήν. τὰ
τοιαῦτα δὲ οὐδὲ τῇ βασιλίδι Ἄννῃ ἄγνωστα ἦν, ἀλλὰ πα-
ρούσης καὶ αὐτῆς, ἐπράττετο πολλάκις, ὡς καὶ βασιλέα πρὸς
D τὸν μέγαν δομέστικον λέγειν, ὅτι „τί δ' ἂν εἴη δεινὸν, εἰ ἃ
ἰδίᾳ, ταῦτα καὶ δημοσίᾳ πραχθείη καὶ τοῖς πᾶσι γένοιτο κα-
ταφανῆ"; ὁ δ' οὐδὲν ἧττον ἢ πρότερον ἀπεωθεῖτο, ἀρκεῖ-
σθαι τοῖς παροῦσι φάσκων. ἀλλὰ περὶ μὲν τούτων τῆς ἀλη-
θείας ἕνεκα τοσαῦτα εἴρηται ἡμῖν.

P.227 ι'. Οὐ πολλοῖς δὲ ἔτεσι πρότερον Ζαχαρίας Μπενέτος ὁ
ἐκ Γεννούας τῇ Χίῳ ἐπιθέμενος ἐκράτησεν αὐτῆς. βασιλεῖ δὲ
Ῥωμαίων τῷ πρεσβυτέρῳ Ἀνδρονίκῳ διὰ τὰς συχνὰς ἐφό-
B δους τῶν Περσῶν κατὰ τῶν πρὸς ἕω τοῖς Ῥωμαίοις ὑπηκόων
πόλεων οὐ ῥᾳδίως ἔχοντι πολέμῳ τὴν νῆσον Ῥωμαίοις ἀνα-
κτᾶσθαι, ἔδοξε λυσιτελεῖν εἰρηνικὰς πρὸς Ζαχαρίαν σπονδὰς
θέσθαι, ὥστε Χίον μὲν ἐπὶ δέκα ἔτεσι κατέχεσθαι παρ' αὐ-
τοῦ καὶ μηδένα βασιλεῖ παρέχειν φόρον, ὀνομάζεσθαι δὲ μό-
νον βασιλέως καὶ σημαίας ἐπὶ τῶν τειχῶν ἀνάγεσθαι βασιλι-
κὰς, μετὰ δὲ τὴν δεκαετίαν πάλιν Ῥωμαίοις τὴν νῆσον ἀπο-
διδόναι. τοιαύτας μὲν βασιλεὺς τὰς πρώτας σπονδὰς ἔθετο
πρὸς Ζαχαρίαν· ἐν τοῖς αὐτοῖς δὲ ἔτεσιν αὐτὸς περιεποίει τε
V.183 τὴν νῆσον ἑαυτῷ ὑποποιούμενος τοὺς Χίους, καὶ Ὠχύρου τὴν
πόλιν τά τε πεπονηκότα ἀνοικοδομῶν, καὶ εἴπου δέοι, τοῖς

si quando simul pernoctassent, cothurnis eius licentius quam suis utebatur, agebatque imperatorie omnia: ut imperator intuens, etiam atque etiam vehementerque laetaretur et gaudium suum nec apud alios tacitum habere posset. Nec ista Annam imperatricem latebant: in cuius conspectu eadem saepe faciebat: ut imperator ei nonnunquam diceret, Quid tandem foret mali, si quae privatim agis, publice fierent, noscerenturque ab omnibus? Ille nihilo minus ut semper renitebatur, praesentibus se contentum autumans. Ac de his quidem veritatis testificandae causa tantum dixisse sufficiat.

10. Non multis ante annis Benedictus Zacharias Genuensis Chium invadens, ea potitus est. Cum vero seniori Andronico propter frequentes et infestas Persarum in urbes orientales Romanorum incursiones difficile esset insulam recuperare, pacem cum Zacharia composuit, sub ea conditione, ut is Chium retineret per decennium, nec esset tributarius: tantum ut insula imperatoris vocaretur et in muris signa eius figerentur: eo tempore finito, Romanis restitueretur. Hoc foedus primum cum Zacharia percussit imperator. Intra eosdem annos Zacharias, Chiis subactis, insulam sui iuris fecit: Ochyrum oppidum et alia vetustate ruinosa instauravit: et sicubi opus erat, muros in altitudinem maiorem eduxit: fossas, item et

τείχεσιν ὕψος προστιθεὶς, καὶ τάφρους τε καὶ τἄλλα ἐξαρτυό- A. C. 1329 μενος ἃ ἔμελλε λυσιτελήσειν, εἰ κατασταίη πρὸς τὸν πόλεμον. C μετὰ δὲ ταύτας τὰς δεκαετεῖς οὐ ῥᾳδίαν ὁρῶν ὁ βασιλεὺς τὴν παράληψιν τῆς Χίου διὰ τὸ ὠχυρῶσθαι, ἄλλως τε καὶ Ζαχαρίου πρεσβείαν πέμψαντος καὶ βασιλέως δεομένου μὴ περὶ τῆς νήσου ἐνοχλεῖν, ἑτέρας ἔθετο πενταετεῖς ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις, καὶ μετ' αὐτὰς ἑτέρας πάλιν. καὶ τετελευτηκότος Ζαχαρίου, τῆς τε Χίου καὶ τῆς πανουργίας οἱ παῖδες καταλειφθέντες κληρονόμοι, οὕτω διεπαιδαγώγουν βασιλέα, πρὶν τὰς οὔσας ἐξικέσθαι ἑτέρας τιθέμενοι· καὶ ἔργῳ μὲν αὐτοὶ καρπούμενοι τὴν Χίον, ψιλῇ δὲ προσηγορίᾳ βασιλεῖ παρέχον- D τες αὐτῆς κυρίῳ εἶναι. τῶν σπονδῶν δὲ αὐτοῖς τότε πρὸς ἔξοδον ἤδη οὐσῶν, Καλόθετος τῶν παρὰ Χίοις δυνατῶν ὁ μάλιστα διαφορώτατος, τῷ μεγάλου δομεστίκου οἴκῳ προσῳκειωμένος ἐκ πολλῶν ἐτῶν, (πατέρες τε γὰρ ἐκείνου τοῖς μεγάλου δομεστίκου πατράσιν ἐς τὰ μάλιστα ἦσαν φίλοι καὶ οἰκεῖοι, καὶ αὐτὸς αὐτῷ,) οὗτος δὴ ὁ Καλόθετος τῇ τοῦ μεγάλου δομεστίκου μητρὶ τότε προσελθὼν Διδυμοτείχῳ ἐνδιατριβούσῃ καὶ τήν τε κακουργίαν τῶν Λατίνων ἀπαγγείλας, ᾗ χρώμενοι ἀπεστέρησάν τε Ῥωμαίους τῆς Χίου τὴν ἀρχὴν καὶ νῦν ἐπὶ τοσοῦτον κατέχουσιν ἐξαπατῶντες, πρᾶγμα οὐκ εὐκαταφρόνητον, οὐδ' οἷον ῥᾳδίως τινὰ αὐτὸ καταπροέσθαι· (δύο γὰρ πρὸς ταῖς δέκα μυριάσι χρυσίου ἐτησίους τελεῖ φό- P. 228 ρους,) τήν τε εὔνοιαν αὐτοῦ τὴν ἀρχαίαν καὶ τὴν συνήθειαν

alia adornavit, quae usui essent, si bello peteretur. Elapso hoc decennio cum videret imperator, Chium sic munitam haud sine magno labore posse recipi: et accessisset praeterea legatio a Zacharia, qua rogabatur, ne sibi propter insulam negotium exhiberet, quinquennium sub iisdem conditionibus adiecit: rursumque aliud quinquennium. Zacharia autem mortuo, filii eius ut Chii, ita paternae calliditatis haeredes et imperatorem instar pueri tractantes, priusquam anni concessi finirentur, alios paciscebantur: et cum re quidem ipsi insula fruerentur, solo nomine imperatorem esse dominum sinebant. Iam foedus exibat, cum Calothetus unus de Chiis dynastis maximarum opum, cui cum domo magni domestici vetus et summa erat necessitudo (avi enim eius domestici maioribus amicissimi coniunctissimique fuerant, ut et ipse domestico) hic igitur Calothetus ad matrem eius per id tempus Didymotichi manentem adiit, Latinorum ei scelus indicavit, qui Romanos insula spoliassent, quam per fraudem tamdiu occuparent: et rem haud contemnendam, neque temere e manibus dimittendam videri, cum in annos singulos centum viginti aureorum millia pensitet. Benevolentiam quoque suam et coniunctionem consuetudinis cum ipsa et eius filio in medium attulit,

A.C. 1329 τήν τε πρὸς αὐτὴν καὶ τὸν υἱόν· τελευταῖον συνεβούλευεν ὡς εἰ εἴη δυνατὸν βασιλέα στόλῳ εἰς τὴν Χίον βοηθῆσαι, αὐτὸν τὰ μέγιστα ἂν συνάρασθαι πρὸς τὸ ἀνακτήσασθαι τὴν νῆσον, τὰ πρῶτά τε δυνάμενον παρὰ Χίοις καὶ πολλοὺς ἑτέρους προσεταιρισάμενον καὶ τῶν φίλων καὶ τῶν συγγενῶν. εἶναι δὲ καὶ ἀφορμὰς οὐκ ἀγεννεῖς τοῦ πρὸς Μαρτῖνον πολέμου τό, τε πρὸς ἔξοδον ἤδη εἶναι τὰς σπονδὰς, καὶ τὸ, βασιλέως ἀγνοοῦντος, ἀκρόπολιν ἐπὶ τῷ Χίον βίᾳ κατασχεῖν οἰκοδομεῖν.
B ἐδεῖτό τε αὐτῆς σκέψασθαι περὶ αὐτοῦ πρότερον καλῶς, ὅπως μὴ αὐτῷ ἐς κίνδυνον τὰ πράγματα χωρήσει, βασιλέως οὐ μετὰ τῆς προσηκούσης δυνάμεως ἐκεῖ ἐλθόντος. περὶ πλείστου μὲν γὰρ ποιεῖσθαι καὶ τὸ Χίον Ῥωμαίοις προσχωρῆσαι, ὠφέλειαν παρέξουσαν οὐ τὴν τυχοῦσαν· οὐδὲν δὲ ἧττον καὶ ἑαυτοῦ καὶ τῶν οἰκείων προνοεῖσθαι, ὡς εἰ μὴ κατὰ γνώμην αὐτῷ τὰ πράγματα χωρήσει, πανοικεσίᾳ διαφθαρησομένου, εἰ κατάδηλον γένοιτο Λατίνοις, ὅτι αὐτοῦ πράττοντος ἐπεστράτευσεν αὐτοῖς ὁ βασιλεύς. οὗ δὴ ἕνεκα αὐτῇ τὴν γνώμην ἀναθεῖναι πρώτῃ, ὡς ἅττα ἂν αὐτῇ δοκοίη ἐκείνου διαπραξομέ-
C νου. Τοιαῦτα μὲν ὁ Καλόθετος τῇ μητρὶ τοῦ μεγάλου δομεστίκου κρύφα περὶ Χίου διειλέχθη· ἡ δὲ ἐπέῤῥωσέ τε μᾶλλον πρὸς τὸ ἔργον αὐτὸν καὶ καλῶς ἔφασκε καὶ λυσιτελούντως βεβουλεῦσθαι καὶ Ῥωμαίοις καὶ ἑαυτῷ. ἐπεὶ δὲ αὐτῇ τὴν πρᾶξιν ἀναθείη πρώτῃ διὰ τὴν ἀρχαίαν οἰκειότητα καὶ

4. πρῶτά τε ED, P. pro πρῶτα τό.

ac tandem auctor fuit, ut, si posset, imperator classem subsidiariam in Chium mitteret: ipse vero qui per se plurimum opibus et gratia valeret, multosque alios tum amicos, tum cognatos ad societatem aggregaturus esset, ad insulam vindicandam vires suas coniungeret. Praeclaram autem occasionem belli contra Martinum fore, tum quod foederis tempus iam exspiraret; tum quod, imperatore inscio, arcem ad Chium vi subiugandam exstrueret. Orabat tamen illam, negotium prius perpenderet diligenter, ne ipse caput et fortunas suas in periculum adduceret, si imperator cum copiis non iustis eo adnavigaret. Sibi quidem nihil esse optatius, quam Chium quoque non mediocriter fructuosam sub Romanorum ditionem succedere: nihilo minus se sibi ac propinquis suis prospicere. Si namque res secus evenirent, cum tota stirpe vita et facultatibus exutum iri; nempe Latinis resciscentibus, eius impulsu imperatorem cum hostili classe advenisse. Ideo porro se ipsi ante omnes mentem suam aperire, quod imperator per omnia ex eius iudicio arbitrioque acturus sit. Haec matri magni domestici clam de Chio Calothetus; quae stimulos ei maiores subiecit bonumque et utile tum Romanis tum sibimet quoque consilium dedisse affirmavit. Et quia ad se primum pro

τὴν εὔνοιαν ἣν ἔσχηκεν ἐκ παλαιοῦ πρὸς αὐτὴν καὶ τὸν A. C. 1329
υἱὸν, αὐτὴ καὶ διαπράξεται ὅπως ἄριστα αὐτῷ ἕξει. Ἐκείνη
μὲν οὖν τοιαῦτα εἶπε· πέμψασα δὲ ἐκ Βυζαντίου βασιλέα
καὶ τὸν υἱὸν εἰς Διδυμότειχον ἐκάλει, ὡς ἀναγκαίων πέρι
διαλεξομένη. οἱ δ' εὐθὺς, τῶν ἄλλων ἀμελήσαντες, εἴχοντο
ὁδοῦ· γενόμενοι δὲ ἐν Διδυμοτείχῳ, ἐπεὶ ἐπύθοντο περὶ ὧν D
καλοῖντο, ἡδέως τε ἐδέξαντο τοὺς λόγους καὶ ἐδόκει δεῖν V. 184
ὡς περὶ ἀναγκαίου τῆς Χίου παρασκευάζεσθαι τὰ πρὸς τὸν
πόλεμον προθύμως. τόν τε Καλόθετον ἰδίᾳ μετακαλεσάμε-
νοι, ἑκάτερος αὐτῶν λόγοις τε ἐπέῤῥωσαν πρὸς τὸ ἔργον ἐπα-
γωγοῖς καὶ δώροις φιλοφρονησάμενοι ἀξίως ἑαυτῶν, ἔτι δὲ καὶ
ἐπαγγειλάμενοι αὐτόν τε καὶ γένος εὖ ποιήσειν, ἐξέπεμψαν πρὸς
Χίον, ὡς ὧν ἂν δέοιτο παρασκευασόμενον πρὸς τὸ Λατίνοις, ἢν
δέῃ, ἐπιθέσθαι. αὐτοὶ δὲ εἰς Βυζάντιον ἐπαναστρέψαντες,
τριήρεις τε ἐναυπηγοῦντο, καὶ τἄλλα παρεσκευάζοντο ὡς πλευ-
σούμενοι ἐς Χίον. σκεπτομένοις δὲ αὐτοῖς ἥντινα ἕξεσται τοῦ
πολέμου εὐπρόσωπον ἀρχὴν λαβεῖν, ὁ μέγας δομέστικος συνε- P. 229
βούλευε τὰς μὲν τριήρεις ναυπηγεῖσθαι καὶ τὰ ὅπλα ὧν δέονται
παρασκευάζεσθαι καὶ ναυτικὸν συλλέγειν, οἳ ἐπιβήσονται, καὶ
ὁπλίτας. ἐπεὶ δὲ αἵ τε σπονδαὶ τῷ Μαρτίνῳ ἐν ἐξόδῳ εἰσὶν
ἤδη, καὶ ἄκραν, βασιλέως μὴ ἐπιτρέψαντος, οἰκοδομεῖ ἐπὶ τῷ
καταδουλώσασθαι τὴν νῆσον, πρόσταγμα πρὸς ἐκεῖνον αὐτοῦ
πεμφθῆναι, ἅμα μὲν αὐτὸν αἰτιωμένου ὡς τὴν ἄκραν, αὐτοῦ
μὴ συνειδότος, οἰκοδομοίη, κελεύοντός τε τὸ οἰκοδομεῖν ἐᾷν

23. αἰτιωμένου ED. P. pro αἰτιώμενον.

familiaritate, quae illi secum et cum filio inde a maioribus intercessisset, referendum putavisset, se rem optime confecturam. Haec illa. Inde imperatorem et filium Byzantio Didymotichum, ut de necessariis quibusdam cum ipsis actura, accersit; qui illico in viam se dederunt. Audita causa, ob quam essent evocati, laetitiam ceperunt bellumque pro Chio, ut rem praecipui momenti, prompte comparandum decreverunt. Accitum quoque Calothetum uterque verbis efficacibus confirmarunt et pro dignitate munerarunt: datisque promissis, se ipsi et generi eius benefacturos, Chium dimiserunt, ut quibus opus foret ad Latinos in tempore adoriundos pracpararet; ipsi Byzantium reversi, triremes fabricandas locarunt et cetera, tamquam Chium navigaturi, curaverunt. Dum vero circumspicerent et honestum aliquod belli principium quaererent, magnus domesticus, triremes et arma necessaria conficienda, copiamque navalem et gravis armaturae militem, qui conscenderet, colligendum suadebat. Et quoniam foederis cum Martino terminus adesset, ipseque inconsulto imperatore arcem ad insulam servitute opprimendam exaedificaret, mandatum illi mittendum, quo tum de facto incusare-

A. C. 1329 καὶ περαιτέρω μὴ προβαίνειν· ἅμα δὲ καὶ τὰς σπονδὰς ὡς εἰ βούλοιτο ἑτέρας θέσθαι, τῶν οὐσῶν ἤδη ἐξηκουσῶν, εἰς Βυ-
B ζάντιον ἐλθεῖν. κἂν μὲν παύσηταί τε οἰκοδομεῖν καὶ γενόμενος ἐν Βυζαντίῳ περὶ ἑτέρων δέοιτο σπονδῶν, ὅ, τι ἂν εἴη σκεψαμένοις βέλτιον ποιεῖν. ἢ γὰρ μηκέτι Χίου Μαρτῖνον ἄρχειν δίκαιον ἐᾶν, ἀλλ' ἕτερον τρόπον εὖ ποιεῖν, τὴν νῆσον δὲ τελεῖν ὑπὸ Ῥωμαίους· ἢ σπονδὰς οὐ κατὰ τὰς προτέρας, ἀλλ' ἐφ' οἷς ἂν αὐτοῖς βέλτιον δοκοίη τίθεσθαι, ὥστε αὖθις Μαρτῖνον Χίου ἄρχειν ἐπὶ χρόνον τινὰ ῥητόν. ἐὰν δὲ μήτε παύηται οἰκοδομῶν, σπονδῶν τε μὴ δέοιτο ἑτέρων, ὡς ἤδη βεβαίως τῆς νήσου ἐχομένης, τότε παρεσκευασμένων
C τῶν τριήρεων οὐσῶν, τὴν ταχίστην ἐπιπλεῖν· πέμπειν δὲ καὶ ἕτερα γράμματα Χίοις, κελεύοντα καὶ αὐτοῖς ἀποσχέσθαι τοῦ οἰκοδομεῖν, ὡς ἢ παύοιτο καὶ ἄκων, οὐκ ἔχων τοὺς συναιρομένους, ἢ εἰ βιάζοιτο καὶ ἄκοντας, μᾶλλον ἐκπολεμωθεῖεν πρὸς αὐτόν. Οὕτω βουλευσαμένοις ἐδόκει δεῖν τά τε γράμματα εἰς Χίον πέμπειν, καὶ τριήρεις τάς τε οὔσας ἐπισκευάζειν καὶ ἑτέρας ἐπιναυπηγεῖν. τὰ μὲν οὖν γράμματα βασιλέως ἀφιγμένα πρὸς Μαρτῖνον, πλέον ἤνυσαν οὐδὲν, ἀλλ' ἀναγνοὺς, μᾶλλον ἔργου εἴχετο καὶ πᾶσαν ἐπεδείκνυτο σπουδὴν, ὥστε τὴν ἀκρόπολιν ἀπαρτίσαι ὧν ἂν δέοιτο τὴν βασιλέως φθάσας ἔφοδον. ἤδη γὰρ ὑπώπτευε καὶ αὐτός.
D Μπενέτος δὲ ὁ Μαρτίνου ἀδελφὸς ἐν διαφορᾷ πρὸς ἐκεῖνον καταστὰς, ὅτι χρυσίων ἑξακισχιλίων ἀποστεροῖτο παρ' αὐτοῦ,

tur et exstructione desistere iuberetur: tum, si foedus novum cuperet, priore iam exacto, Byzantium venire moneretur. Si aedificare cessarit, et Byzantium profectus, pacta nova rogaverit, quod re considerata melius censebitur, se facturos. Etenim aut iustum esse, non pati Martinum Chio imperare: sed alio modo de illo mereri insulamque Romanis parere: aut foedus non in eas conditiones, in quas antea, sed quibus ipsis libuerit, ineundum: nempe, ut Martinus rursum ad tempus certum praesit: et si neque aedificare destiterit, neque foedera nova quaesierit, ac si iam firma sit ei insulae possessio, tum instructis triremibus primo quoque tempore illuc contendendum; mittendasque insuper litteras, quae Chios in aedificando pergere vetent: ut hac ratione aut invitus desinat, ab operis desertus; aut si etiam nolentes coegerit, sibi infensiores reddat. Itaque consilium ceperunt, ut Chiis scriberent, et paratas triremes armarent novasque adderent. Ac epistola quidem Martino reddita, frustra fuit: ea siquidem lecta, operi magis institit, summa ope enitens, ut arx absolveretur, et ut quibus esset opus, iis adventum imperatoris, quem iam suspicione et ipse praecipiebat, anteverteret. Benedictus porro cum Martino fratre litigans de sex aureorum millibus, quae

ἃ ἐχρῆν αὐτὸν ἐκ τῶν δημοσίων τῆς Χίου φόρων λαμβάνειν A.C. 1329 ἐτησίως, προσήκοντα ἐκ πατρῴου κλήρου, ἧκεν ὡς βασιλέα τὴν ἀδικίαν ἐγκαλῶν τῷ ἀδελφῷ καὶ τυχεῖν δεόμενος ἐπικουρίας. γραμματεῖά τε ἐδείκνυ ἃ σαφῶς πολλὴν τοῦ ἀδελφοῦ καὶ τὴν ἀδικίαν κατηγόρει καὶ τὴν ἀγνωμοσύνην. βασιλεὺς δὲ ἐπηγγέλλετό τε τιμωρήσειν αὐτῷ ἐφ' οἷς ἀδικεῖται ἀφικόμενος ἐκεῖ, καὶ αὐτὸς οὐδὲν ἧττον ἃ παρὰ Μαρτίνου ἀδικεῖται ἀπολήψεσθαι.

ιά. Παρεσκευάζετο μὲν οὖν στόλος πέντε καὶ ἑκατὸν νεῶν, P. 230 ὧν ἦσαν ὀλίγῳ ἐλάσσους εἰς τὰς δύο μοίρας διήρεις καὶ τριή- V. 185 ρεις, ἐξ ὧν ἦσαν ἱππαγωγοὶ ὀκτὼ ἄγουσαι τριακοσίαν ἵππον· B αἱ λοιπαὶ δὲ μονήρεις ἦσαν. ἐπεὶ δὲ παρεσκευασμέναι ἦσαν, τήν τε ἵππον ἐσεκόμιζον καὶ τὰ ἄλλα ἐπιτήδεια. ἦν τε ἅμιλλα πολλὴ τοῖς τριηράρχαις, ἑκάστου φιλονεικοῦντος πολυτελείᾳ καὶ λαμπρότητι παρασκευῆς τοὺς ἄλλους ὑπερβαλέσθαι· καὶ τά τε ἄλλα ἐξηρτύοντο πρὸς τὸ μεγαλοπρεπέστερον καὶ τὰ πληρώματα ἐκόσμουν ἰδίοις παρασήμοις ἔν τε ὅπλοις καὶ ἀσπίσιν. ἦσαν γὰρ οὐ τῶν τυχόντων, ἀλλὰ τῶν τε εὐγενῶν C καὶ μεγάλα δυναμένων. συνέπλεον δὲ τῷ βασιλεῖ οὐ μόνον ὁπλῖται καὶ ψιλὸς πολύς, ἀλλὰ τῶν τε συγκλητικῶν οὐκ ὀλίγοι, καὶ στρατιωτῶν οὐ μόνον οἱ χρησόμενοι τοῖς ἵπποις, ἀλλὰ καὶ ἄλλος ὅμιλος πολύς. ἐπεὶ δὲ πάντα ἤδη ἐπεπόριστο καὶ οὐδὲν ἐνέδει ἔτι, ἄραντες ἐκ Βυζαντίου ἔπλεον ἐπὶ Χίον. γνώμην δὲ εἶχεν ὁ βασιλεύς, ὡς ἦν ὁ Μαρτῖνος τὸν ἐπίπλουν πυθόμενος, πρὶν εἰς τὴν νῆσον κατᾶραι, ἀφίκηται πρὸς αὐ-

sibi in annos singulos hereditario iure de publicis vectigalibus debebantur, quibusque ab eodem fraudatus erat, ad imperatorem se contulit, fratris iniquitatem accusans et auxilium flagitans: quin etiam litteras exhibens, quibus magna illius iniustitia improbitasque coarguebatur. Imperator et se, ubi eo venisset, scelus vindicaturum, et Benedictum pecuniam interversam recepturum promisit.

11. Itaque classis centum et quinque navium comparabatur, e quibus paulo pauciores erant duorum generum, biremes et triremes videlicet, et ex his hippagogi octo, in iis equi trecenti, reliquae uniremes. His paratis, equitatum et cibaria imposuit. Tum non levis contentio trierarchis incidit, dum quilibet ceteros sumptuoso apparatu superare nititur, et cum alia magnifice instruit, tum classiariorum arma et clypeos suis insignibus exornat: nec enim de infima plebe, sed viri nobiles et admodum copiosi erant. Navigabant porro cum imperatore non modo gravis et levis armaturae multi, verumetiam de proceribus non pauci, et praeter equites multitudo item non spernenda. Omnibus rite paratis, Byzantio vela in altum dantes, cursum in Chium dirigunt. Statuerat vero imperator, ut si Martinus, adventu classis audito, priusquam in insulam descendere-

A. C. 1329 τὸν καὶ δεηθῇ περὶ αὐτῆς, τὴν μὲν ἀκρόπολιν, ἣν αὐτὸς
ᾠκοδόμει, τὰ ἐλλείποντα ἐπισκευάσας, κατασχεῖν φρουρᾷ τῆς
εἰσέπειτα ἀσφαλείας ἕνεκα· Μαρτίνῳ δὲ τῆς ἄλλης νήσου ἐπι-
τρέψαι ἄρχειν, ἀποδιδόντι ἐτησίως Μπενέτῳ ἃ πρότερον χρή-
D ματα ἀπεστέρει. ὁ δ᾽ οὐ μόνον ἐποίει τῶν δεόντων οὐδὲν, ἀλλ᾽
ἐπεὶ ἐπύθετο ὕσον οὐδέπω ἐπιπλέοντα τὸν στόλον, τὰς μὲν τριή-
ρεις ἃς εἶχε (τρεῖς δὲ ἦσαν,) εἰς τὴν θάλασσαν κατέδυσε κενάς·
Ῥωμαίων τε τοῖς τὴν νῆσον κατοικοῦσι μηδενὶ ἐκέλευσεν ἐξεῖ-
ναι ὅπλοις χρῆσθαι, θάνατον δὲ εἶναι τὴν ζημίαν τῷ χρωμένῳ.
αὐτὸς δὲ τάς τε πύλας τῆς πόλεως ἀσφαλισάμενος καὶ τὰ ἄλλα
καταστήσας ᾗ αὐτῷ ἄριστα ἐδόκει ἔχειν, ἅμα ὀκτακοσίοις οὓς
εἶχε, φραξάμενοι ἀνῆλθον εἰς τὰ τείχη ὡς ἀμυνούμενοι ἐπι-
όντα βασιλέα. ἤδη γὰρ ἀνθίσταντο ἀναφανδὸν, καὶ οὐδὲ ση-
μαίας τὰς βασιλικὰς ἠξίωσαν ἀναγαγεῖν ἐπὶ τὰ τείχη, ὥσπερ
ἦν ἔθος, ἀλλὰ τὰς Μαρτίνου μόνας, ὡς βεβαίως ἤδη τῆς νή-
P. 231 σου ἐχομένης. Καλόθετος δ᾽ ἅμα τοῖς περὶ αὐτὸν, ὅπλοις μὲν
οὐκ ἐτόλμων χρῆσθαι τῷ δέει τῶν Λατίνων· παρεσκευασμέ-
νοι δὲ ἦσαν ὡς ἐπιθησόμενοι αὐτοῖς, ἐπειδὰν ὁ βασιλεὺς εἰς
τειχομαχίαν καταστῇ. Μαρτῖνος μὲν οὖν οὕτω τοῖς ὀκτακο-
σίοις πεποιθὼς, ἀντικατέστη πρὸς τὴν μάχην. βασιλεὺς δὲ τῇ
νήσῳ ὡς προσέσχεν, ἀπόβασίν τε ἐποιεῖτο τῆς γῆς εὐθὺς
κρατῶν, καὶ τὴν ἵππον ἐξάγων παρεσκευάζετο πρὸς τὴν τει-
χομαχίαν. Μπενέτος δὲ ὁ Μαρτίνου ἀδελφὸς φρούριόν τι

5. οὐδ᾽ οὖν vitiose pro ὁ δ᾽ οὐ legebatur.

tur, pro ea rogatum veniret, reliquum arcis aedificare et pro securitate in futurum praesidium illi imponere: Martino, restituenti Benedicto ceterorum annorum quam ei detraxerat pecuniam, reliquae insulae praefecturam committere. Qui tamen non solum nihil eorum fecit, quae debuit: sed ubi appropinquare classem intellexit, ternas triremes suas, easque vacuas in mare demersit, Romanisque insulam habitantibus, mortis poena proposita, armis interdixit: urbis portas communiit et cetera quam visum est optime constituit, octingentosque armatos quos habebat, in muris ad imperatoris impetum repellendum collocavit: iam enim non dubie rebellabatur, nec signa imperatoria in moenibus pro consuetudine, sed Martini dumtaxat figebantur: quasi insula ab eo certo iam acquisita et mancupio obtenta esset. Calothetus cum suis Latinorum metu corripere arma ultro non audebat: sed ad operam praestandam, ubi imperator oppugnare urbem coepisset, parati erant. Martinus octingentis illis confisus, se defendere instituebat. Imperator ad litus appulsus, et exscensione facta, terra statim potitus, producto equitatu ad oppugnationem accingebatur. Benedictus Martini germanus castellum iactu lapidis ab oppido dissitum tenens, venit, illudque imperatori

καὶ αὐτὸς κατέχων οὐ μακρὰν τῆς ἄλλης πόλεως ᾠκοδομημέ- A. C. 1329
νον, ἀλλ' ὅσον ἀφ' ἑκατέρου πρὸς τὸ ἕτερον λίθῳ σχεδὸν
ἐξικνεῖσθαι, ἐνεχείρισεν ἐλθὼν τῷ βασιλεῖ, πολλὰ τοῦ ἀδελ- B
φοῦ κατηγορῶν ὡς καὶ ἀνόητα καὶ ἄδικα πράττειν ἐγνωκό-
τος· τοῦτο μὲν, εἰ πρὸς τοσαύτην δύναμιν ἀντισχήσειν ἤλ- V. 186
πισε, μὴ αὐτὸς ἐξ ἴσης ὁρμώμενος παρασκευῆς· ἀδικίαν δὲ
κατεγίνωσκεν αὐτοῦ, εἰ πολλὰ πρὸς βασιλέως εὐεργετηθεὶς,
Χίον διενοήθη αὐτοῦ ἀποστερῆσαι. βασιλεὺς μὲν οὖν εἰς τὸ
φρούριον εἰσῆλθε, Μπενέτον τῆς εἰς αὐτὸν εὐνοίας ἐπαινέσας,
καὶ μετὰ μικρὸν ἐξελθὼν διεκόσμει τὴν στρατιὰν ὡς ἐς τει-
χομαχίαν. Μαρτῖνος δὲ πρός τε τὴν βασιλέως στρατιὰν ἤδη
ἑαυτὸν οὐκ ἀξιόμαχον ὁρῶν, ἔκ τε τῶν Χίων ἐπικουρίαν οὐ-
δεμίαν προσδοκῶν διὰ τὸ οὐχ ἧσσον αὐτοῦ ἀφεστηκέναι ταῖς C
γνώμαις ἢ καθ' ὅσον εὔνοι ἦσαν βασιλεῖ ὑπωπτευκέναι, ἄλ-
λως τε καὶ Μπενέτου προσχωρήσαντος καὶ τὸ φρούριον παρα-
δόντος, ὃ οὐκ ἔλαττον ἠδύνατο ἀποτειχισμοῦ οὕτω πλησίον
ᾠκοδομημένον, σφοδρῶς τε ἐθορυβεῖτο καὶ τὰς σωζούσας ἀπε-
γίνωσκεν ἐλπίδας. ἐπεὶ δὲ τά τε σημεῖα ἤδη ἤρετο καὶ ἦρ-
χον μάχης οἱ Ῥωμαῖοι, πρεσβείαν πέμψας ὁ Μαρτῖνος, ἐδεῖτο
βασιλέως συγγνώμης τυχεῖν καὶ πρὸς συμβάσεις χωρῆσαι οἵας
ἂν δοκῇ βασιλεῖ. βασιλεὺς δὲ ἀπεώσατό τε τὴν πρεσβείαν καὶ
οὐκ ἔφασκε δεῖν, τῆς στρατιᾶς πρὸς τὴν μάχην παρατετα-
γμένης, διαλέγεσθαι περὶ συμβάσεων. πρότερον γὰρ αὐτῷ
ἐξῆν πρὶν ἐνθάδε ἥκειν συγγνώμην τε αἰτεῖν καὶ σπονδὰς τί- D
θεσθαι εἰρηνικὰς, νῦν δὲ ὅπως ἂν αὐτῷ δοκῇ ποιεῖν, ἐπεὶ τῇ

tradit, et fratrem ut iniustum ac stolidum accusat; si quidem apparatu multo inferior, tantis copiis resistere se posse speravisset: et pluribus ab imperatore beneficiis obligatus, Chio ipsum spoliare meditatus esset. Imperator castellum ingreditur, Benedictum de officio commendat: pauloque post exercitum ad oppugnandam urbem ordinat ac disponit. Martinus iam se illi imparem aspiciens et nullum a Chiis subsidium exspectans, quod eorum animos non minus a se aversos, quam in imperatorem conversos coniectabat, cum etiam Benedictus, deditione castelli facta, quod quidem muro valido cinctum et firmatum urbique vicinum, aeque resistere poterat, eius fidei potestatique se permisisset, medullitus conturbatus, de spe, qua se adhuc consolabatur, decidit. Cum Romani iam signa vellerent pugnamque ordirentur, missis legatis Martinus veniam precari et pactis, quae vellet imperator, se staturum promittere. Ille legatos repudiare ac dicere, stante iam in procinctu milite, importunum esse de pactis agere: integrum ei fuisse, antequam huc iretur, et veniam rogare et de pace secum convenire. Nunc facere se quod luberet: quando ipse sua fretus potentia, contra se arma capere

A. C. 1329 σφετέρᾳ πεποιθὼς δυνάμει ὅπλα αὐτῷ ἀντῆρε. Βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπε· Μαρτῖνος δὲ ἤδη πᾶσαν ἐλπίδα περιῃρημένος σωτηρίας, δείσας μὴ καὶ τὸ ζῆν ἀφαιρεθείη, ἑαυτὸν ἐνεχείρισε βασιλεῖ καὶ τὴν στρατιὰν, τῆς πόλεως ἐξελθών. οἱ Χῖοι δὲ αὐτὸν ὁρῶντες ἤδη πρὸς αἰχμαλώτου τύχην καταστάντα, ὥρμησαν ὡς ἐπὶ τοῦ βασιλέως ἀποκτενοῦντες. ὁ μέγας δὲ δομέστικος ἀπειλήσας αὐτοὺς τὰ δεινότατα διαθήσειν, εἴ τι νεωτερίζοιεν περὶ αὐτὸν, ἀπαθῆ διετήρησε κακῶν. βασιλεὺς δὲ αὐτὸν πολλὰ καταμεμψάμενος τῆς ἀβουλίας, ὅμως οὐ διέθηκεν αὐτὸν κακῶς, ἀλλὰ τὴν μὲν γυναῖκα αὐτοῦ ἐκέλευσε καὶ παῖδας, ἔτι δὲ καὶ θεραπαινίδας ὅσαι ἦσαν, αὐτὰς
P. 232 μὲν ἐπιφορτίσασθαι ὅσον ἀνύσαι δυνατὸν ἐκ τῶν ἐκείνῳ προσόντων χρημάτων τε καὶ ἄλλων ἐπίπλων καὶ σκευῶν πολυτελῶν, τοὺς δὲ δούλους στρώματά τε καὶ τάπητας ἆραι καὶ ἄλλα ὅσα ἐπιτήδεια πρὸς τὸ καθεύδειν τῆς νυκτὸς, καὶ ἐξελθόντας Χίου πορεύεσθαι ὅποι ἂν δοκῇ· Μαρτῖνον δὲ ἐκέλευσεν εἱρχθῆναι. καὶ τοῦτο μὲν τοῦτον ἐπράχθη τὸν τρόπον, καὶ σχεδὸν ὅσα Μαρτίνῳ ἦσαν αἱ θεραπαινίδες ἅμα γυναικὶ ἐπεφορτίσαντο· τοὺς συνόντας δὲ αὐτῷ ὀκτακοσίους συγγνώμης τε ἠξίωσεν ὁ βασιλεὺς, ἀδικήσας μηδὲν, καὶ προὔθηκεν αἵρεσιν αὐτοῖς τοιαύτην, ὥστε τοῖς τε βουλομένοις τὰ ὄντα
B λαβόντας ἐξεῖναι ἀναχωρεῖν, τοῖς τε μένειν ἐθέλουσι μηδένα ἐνοχλεῖν, ἀλλὰ τὴν μισθοφορὰν λαμβάνοντας, δουλεύειν βασιλεῖ. ὀλίγοι μὲν οὖν ἐκείνων ἀπῆραν ἐκ τῆς Χίου, οἱ λοιποὶ δὲ, οἱ μὲν ἔμειναν ἐν Χίῳ αὖθις μισθοφοροῦντες, οἱ δὲ τοῖς

non dubitasset. Martinus omni iam spe deperdita timens ne insuper morti dederetur, urbe egressus, seque exercitumque suum imperatori transdidit. Chii hominem nunc ad captivi fortunam redactum cernentes, insurgere, ut eum ante oculos imperatoris mactarent. At magnus domesticus se pessimis modis illos accepturum comminatus, si quid ei nocuissent, vivum incolumemque servavit. Imperator de amentia obiurgatum, nulli supplicio subiecit: sed uxorem, liberos et famulas quotquot erant tollere iussit quantum ferre possent de illius rebus pretiosaque supellectile: famulos autem toralia, tapetes ac reliqua omnia ad nocturnam quietem requisita, et Chio excedentes ire, quo voluntas duceret, Martinum autem in vincula duci. Et haec quidem hoc modo patrata sunt: ac ferme omnia quae Martinus habebat, ministrae et uxor in humeros sublata extulerunt. Octingentos autem illos, qui eidem militabant, venia et impunitate dignatus est; tali optione data, ut qui vellent, cum re familiari sua libere insula demigrarent: qui manere mallent, iis nemo esset molestus, et imperatoris militiam mercede tolerarent. Paucis Chium deserentibus, ceteri omnes aut ibidem aera merere perrexerunt:

βασιλέως συνηριθμήθησαν οἰκέταις. Χίος μὲν οὖν οὕτως αὖ- A.C. 1329
θις γέγονεν ὑπὸ Ῥωμαίοις. βασιλεὺς δὲ Μπενέτον τε δί-
καιον ἔκρινεν ἀμείβεσθαι τῆς εὐνοίας καὶ τῆς προθυμίας τῆς
εἰς αὐτὸν, καὶ τῶν Χίων τοὺς δυνατοὺς καὶ τὸν δῆμον. εἰ
γὰρ καὶ μηδὲν εἰς τὸν πρὸς Μαρτῖνον πόλεμον εἰσήνεγκαν
αὐτοὶ, ἀλλὰ ταῖς γνώμαις οὕτως ἦσαν παρεσκευασμένοι, ὡς
ἢν δέῃ, πᾶσαν ἐπιδειξόμενοι σπουδὴν καὶ προθυμίαν ὑπὲρ C
βασιλέως. διὸ καὶ Καλόθετον μὲν καὶ γένος τά τε ἐν Διδυ-
μοτείχῳ προεπηγγελμένα, ὅτε περὶ Χίου κρύφα διελέχθη,
καὶ προσέτι πλείω εὐηργέτει, καὶ τοὺς ἄλλους καὶ τιμαῖς V. 187
ἠμείβετο καὶ δωρεαῖς· τὸν δῆμον δὲ τῶν δημοσίων ἀνῆκεν
εἰσφορῶν, ὅσαι μάλιστα ἐπίεζον.

ιβ. Μπενέτον δὲ μετακαλεσάμενος τὸν Μαρτίνου ἀδελ- D
φὸν ἀνεμίμνησκέ τε ὢν πρὸς Βυζάντιον ἐλθὼν τοῦ ἀδελφοῦ
κατηγόρει, ὡς ἀποστεροίη μὲν τῶν ἑξακισχιλίων χρυσίων, ἃ
προσῆκεν αὐτῷ ἀπὸ τῶν δημοσίων προσόδων τῆς Χίου λαμ-
βάνειν, αὐτὸς δὲ τὴν νῆσον σφετεριζόμενος ἀποστεροίη τοῦ
πατρῴου κλήρου, καὶ ὡς ἐδεῖτο τῆς δυνατῆς τυχεῖν ἐπικουρίας·
ὧν τε αὐτὸς ἐπηγγείλατο, ὡς ὅσον ἤδη γενόμενος ἐν Χίῳ τῆς P. 233
τε εἰς αὐτὸν καὶ τὸν ἀδελφὸν ἀδικίας εἰσπράξεται Μαρτῖνον
δίκας. ὧν δὴ νῦν καλῶς καὶ ὡς προσῆκεν ἀποβάντων καὶ
Μαρτίνου Χίου ἐξεληλαμένου, δίκαιον ἡγεῖσθαι εἶναι τάς τε
ἐπαγγελίας ἐκπληροῦν τὰς εἰς αὐτὸν, καὶ τῆς εὐνοίας ἀμείβε-
σθαι ἧς πρὸς ἐλθόντα ἐνεδείξατο, τὸ φρούριον παραδοὺς. οὐ

aut in ministros eius domesticos relati sunt. Hac ratione Chius in Romanorum ius mancipiumque rediit. Imperator deinde et Benedicto pro navata benevolentia ac prompta voluntate, et Chiorum principibus populoque gratiam rependi aequum iudicavit. Qui quamquam ad bellum contra Martinum nihil contulissent, tamen is erat eorum sensus atque animus, ut necessitate flagitante, omnem operam ad imperatorem strenue adiuvandum collaturi fuerint. Quare et Calothetum et genus eius tum iis, quae apud Didymotichum de Chio clandestino secum disserenti promiserat, tum aliis praeterea pluribus remuneratus est: atque alios donis et honoribus auxit; populum vero tributorum onere, quo gravissime premebatur, levavit.

12. Accersitum quoque Benedictum Martini fratrem accusationis admonet, quam ei Byzantium veniens intenderat de sex aureorum millibus, quae pro paterna sorte de publicis Chii reditibus capere debuisset, ab illo autem, qui insulam sibi vindicasset, privatus fuisset. Et quo pacto auxilium, si quod posset, afferri petivisset; quae ipse promisisset, quam severe nimirum in Chium delatus et sibi et illi iniuriam illatam ulturus foret. Quod quoniam feliciter atque ut par erat evenerit et Martinus insula exactus sit, consenta-

A. C. 1329 δὴ ἕνεκα τῆς τε Χίου ἐπιτρέπειν τὴν ἀρχήν, καὶ τῶν προσόδων αὐτῆς τῶν δημοσίων οὐκ ἔλαττον χρυσίου μυριάδων δυοκαίδεκα οὐσῶν, εἰς μὲν ἐπιμέλειαν τῆς νήσου καὶ φυλακήν, ἔτι τε λοιπὴν ἀναγκαίων ἀναλωμάτων χρείαν ὅσα ἂν B αὐτῷ σκεψαμένῳ βέλτιον δοκοίη ἔχειν ἀναλοῦν· τὰ δὲ ὑπολειφθέντα χρήματα, τὰ ἡμίση μὲν τῷ βασιλικῷ ταμιείῳ εἰσκομίζειν, αὐτὸν δὲ τὰ ἐπίλοιπα καρποῦσθαι. ἄδηλον δὲ ὂν ἀνθρώπῳ παντὶ ὁπότε ἀπροσδόκητον ἥξει τὸ τέλος τῆς ζωῆς, δίκαιον ἅμα καὶ λυσιτελὲς ἡγεῖσθαι εἶναι, τὴν ἀκρόπολιν, ἣ πρὸς Μαρτίνου ᾠκοδομεῖτο, ἐπισκευασθεῖσαν ὧν δέοιτο, φρουρᾷ κατασχεθῆναι παρ' αὐτοῦ, ὡς εἴ τι περὶ αὐτοῦ, οἷα τὰ ἀνθρώπινα, συμβαίη καὶ γένοιτο ἐξ ἀνθρώπων, μὴ τὴν Χίον Ῥωμαίους ἀποστερηθῆναι, πολλοὺς ἔχουσαν οὐ πόῤῥωθεν μόνον, ἀλλὰ καὶ ἐγγύθεν ἐπιβούλους καὶ μάλιστα τοὺς ἐκ Δήλου Σπιταλιώτας. Τοιαῦτα πρὸς Μπενέτον διεξιόντος βασι- C λέως καὶ μικρᾶς εὐνοίας χάριν μεγάλην κατατιθεμένου, οἱ μὲν ἄλλοι πάντες κατεπλήττοντο τὴν περὶ τὰς εὐεργεσίας τοῦ βασιλέως φιλοτιμίαν, ὅτι μικρᾶς ἕνεκα εὐνοίας τοσαύτην ἀντιπαρέσχε χάριν, μήτε ὧν ἀνάλωσε χρημάτων πρὸς τὴν παρασκευὴν τοῦ στόλου καὶ τῆς συνεπομένης ἄλλης στρατιᾶς ὑπολογισάμενος τὸ πλῆθος, μήτε ὧν ἐκ Χίου ἔμελλεν ἐτησίως ὁ Μπενέτος ἀποφέρεσθαι, καὶ ταῦτα, ὀλίγα ἢ οὐδὲν πρὸς τὸν ὑπὲρ τῆς Χίου πόλεμον εἰσενεγκών. Μπενέτῳ δὲ οὐδὲν ἄρα ἤρκει, ἀλλ' ἀδικεῖσθαι ἡγεῖτο καὶ ἀποστερεῖσθαι, μὴ μει-

15. *Σπιτάλη* in Graeco barbaro hospitium est. *ED. P.*

neum sibi videri promissa persolvere et castello sponte dedendo declaratam erga se propensionem compensare. Quocirca se illi praefecturam Chii deferre. Cumque reditus insulae centum ac viginti millium aureorum summam plane conficerent, ad eius procurationem, ad praesidia ususque necessarios, quantum re perspecta merito requiri putaret, impenderet: de reliquo dimidium unum in imperatoris fiscum inferret: altero ipse frueretur. Et quoniam suus quemque dies latet, aequum se et utile arbitrari, arcem a Martino inchoatam perfici et a se cum praesidio occupari; quo, si quid, ut sunt res humanae, sibi acciderit et inter homines esse desierit, Romani Chium, cui multi et remoti et vicini praesertimque Delii Hospitalenses insidientur, ne amittant. Haec cum imperator diceret parvoque officio illius ingenti beneficio suo responderet, reliqui omnes eius tam fervens benefaciendi studium obstupescebant, quando tam modica tam magnis pensaret, non reputans, neque quantos sumptus in aedificanda ornandaque classe et in classiarios fecisset: neque quam grandem pecuniam Benedictus anniversarie reportaturus esset; idque cum parum aut nihil bello pro Chio commodasset. Sed Benedicto nihil sufficie-

ζόνων ἀξιούμενος. διὸ καὶ τὴν βασιλέως δωρεὰν ἀπεωθεῖτο A. C. 1329
μὴ δεῖσθαι φάσκων μήτ' ἐπιτροπεύειν Χίου, μήτ' ἐφ' οἷς
ὁ πατὴρ αὐτῷ, μήθ' ὁ ἀδελφὸς Μαρτῖνος καὶ αὐτὸν κατέχειν· V. 188
ἀλλ' εἰ μὲν αὐτῷ παντάπασι τῆς Χίου βασιλεὺς παραχωροίη, D
ὥστ' ἰδίαν αὐτῷ ἀρχὴν εἶναι καὶ μηδαμῶς τελεῖν ὑπὸ Ῥω-
μαίους, πολλὴν ἂν εἰδείη τῆς εὐεργεσίας χάριν. εἰ δὲ μὴ
τοῦτον βούλοιτο τὸν τρόπον, μηδεμιᾶς ἑτέρας εὐεργεσίας με-
μνῆσθαι, ὡς πρὸς ἡδονὴν αὐτῷ οὐκ ἐσομένης, ἀλλ' αὐτὸν ὅ,
τι ἂν δοκῇ δεσπότην ὄντα περὶ τῆς νήσου πράττειν. Βασι-
λεὺς δὲ οὐ δίκαια αἰτεῖν ἔφασκε Μπενέτον, οὐδ' οἷα τυχεῖν.
ἐχρῆν μὲν γὰρ εἰ καὶ τοὺς ἑξακισχιλίους ἐλάμβανε χρυσοῦς,
ὧν παρὰ Μαρτίνου ἠδικεῖτο, ἀγαπᾷν καὶ πολυπραγμονεῖν
μηδέν. εἰ δὲ οὐ τοσαῦτα μόνον, ἀλλὰ καὶ πολλαπλασίω τού-
των καὶ προσέτι τὴν ἀρχὴν ἔχειν ἔξεστι τῆς νήσου, πῶς
ἂν εἴη δίκαιον ἐνδεᾶ τὴν χάριν τοῦ προσήκοντος νομίζειν; P. 234
ἔτι δὲ οὐδὲ ἑαυτῷ τὸ παντάπασιν αὐτῷ παραχωρῆσαι Χίου
ἐν καλῷ τοῦ σχήματος ἔφη κείσεσθαι ὁ βασιλεύς, οὐδὲ φιλο-
τιμίαν καὶ μεγαλοψυχίαν, ἀλλὰ παραπληξίαν καὶ ἀκρισίαν
περιάψειν ἑαυτῷ. εἰ γὰρ ἔδει τοσοῦτον πόνον αὐτόν τε καὶ
Ῥωμαίους ὑπομείναντα καὶ τοσαῦτα κατὰ τὴν παρασκευὴν
τοῦ στόλου χρήματα οὐκ αὐτὸν μόνον ἐκ τῶν βασιλικῶν,
ἀλλὰ καὶ ἐκ τῶν ἰδίων τῶν ἐπιφανῶν πολλὰ ἀναλωκότων
ὥστε κρατῆσαι Χίου, ἔπειτα αὐτῷ παραχωρῆσαι ἐς τοσοῦτον,
ὥστε μήτε νῦν μήθ' ὕστερον μὴ μόνον μὴ μετεῖναι Ῥωμαίοις
τῆς ὠφελείας τῆς αὐτῆς, ἀλλὰ μηδὲ προσρήματι ψιλῷ κυ- B

bat: qui se etiam iniuria affici et suis spoliari censebat, quod maioribus dignus non haberetur. Quare donationem imperatoris reiiciebat profitebaturque, non se iis indigere: nec Chium procurare velle, nec retinere iis conditionibus, quibus aut parens aut frater retinuissent. Si imperator eam totam omnimodis pro peculiari principatu, a Romanorum imperio prorsus exemptam, sibi cedat, tum demum illi ut beneficio gratiam magnam habiturum. Si nolit, ne ullius beneficii mentionem faciat, audire enim non posse. Verum cum ipse insulae dominus sit, ageret pro arbitratu. Respondit imperator, Benedicti petitionem nec aequam, nec impetrabilem esse: oportuisse enim sex aureorum millibus a Martino recipiendis contentum, alienis se non implicare. Cum vero non tantum modo, sed multo etiam plura et insuper insulae praefecturam consequi liceat, qui tandem munus hoc eius meritis impar iuste videri queat? Ad hoc si totam insulam ei in mancipio det, id ne sibi quidem laudi fore: neque gloriae cupidum et magnanimum, sed vaesanum et nullius cerebri visum iri. Si enim necesse erat tot laboribus et a se susceptis et a Romanis atque in classe instruenda non a se dumtaxat

A.C. 1329 ρίους ὀνομάζεσθαι αὐτῆς, πολλῷ τῷ μέτρῳ βέλτιον καὶ λυσιτελέστερον ἦν, τὴν ἀπραγμοσύνην καὶ τὴν ἡσυχίαν αἱρεῖσθαι, Μαρτῖνόν τε ἐᾷν κατέχειν καὶ μὴ παρενοχλεῖν. ἐκείνως μὲν γὰρ πρὸς τῷ μὴ κόπτεσθαι καὶ ταλαιπωρεῖν ἐν στρατείαις, καὶ ταῦτα διαποντίοις, καὶ τὰ ἀναλωθέντα χρήματα ἐξῆν κερδαίνειν· καὶ προσέτι γε εἰ μὴ νῦν, ἀλλ' ὕστερόν ποτε δύναμιν κτησαμένοις τοῖς Ῥωμαίοις τὴν νῆσον ἂν ἐξῆν ἀνακαλεῖσθαι ὡς ἀδικουμένοις, καὶ ἢ αὐτῆς τῶν ἀδικούντων κρατήσασι τυγχάνειν, ἢ ἐλάσσοσι τῶν ἀντιπάλων γενομένοις μὴ C ἀδικεῖν νομίζεσθαι, μηδὲ παρασπονδεῖν. εἰ δ', ὥσπερ νῦν ἀξιοῖς αὐτὸς, σοὶ παραχωρήσομεν τῆς νήσου, οὐ μόνον εἰκῇ καὶ μάτην τόν τε πόνον ἐσόμεθα πεπονηκότες καὶ τὰ χρήματα ἀναλωκότες, ἀλλ' οὐδ' ἐλπίδα ὑπολειψόμεθα Ῥωμαίοις τοῦ ἀνασώσασθαι ἄν ποτε τὴν νῆσον· ἢ δοκεῖν ἀδικεῖν καὶ παρασπονδεῖν ἐάν τε κρατήσωσιν, ἐάν τε μή. δι' ἃ δὴ πάντα μήτ' αὐτὸν μήτε δίκαια μήτε δυνατὰ αἰτεῖσθαι, μήτ' αὐτὸν δύνασθαι παρέχεσθαι· ἀλλ' ἃ ὑπ' αὐτοῦ πρότερον ἐκρίθη, δυνατά τε εἶναι καὶ Ῥωμαίοις καὶ αὐτῷ λυσιτελῆ. Μπενέτου δὲ πάντων μὲν φάσκοντος ἀκηκοέναι τῶν βασιλέως λόγων καὶ προσεσχηκέναι αὐτοῖς, μηδενὶ δὲ πείθεσθαι αὐτῶν, ἀλλὰ τοῖς ἐξ ἀρχῆς ἐμμένειν δεδογμένοις, καὶ μηδεμίαν ἡγεῖσθαι D χάριν προσήκουσαν αὐτῷ ἢ τὴν παντελῆ παραχώρησιν τῆς

e fisco suo, sed ab illustribus quoque separatim impensa non mediocri facta, ut Chius reciperetur, deinde eam illi relinquere, adeo, ut Romani neque nunc, neque posthac quidquam inde emolumenti perciperent, imo nec verbo saltem illius domini appellarentur, longe utique melius et conducibilius fuisse, procul negotiis quietem persequi Martinumque eam retinere perpeti et nihil turbarum excitare. Sic namque et defatigatione ac labore expeditionis huius, et quidem maritimae, et praeterea consumptae pecuniae supersederi potuisse. Adde quod, si non hoc tempore, at aliquando Romanis, ut iniuriam passis, comparato exercitu insulam recuperare licebit; et vel ea potitis ius suum obtinere, vel poteniia adversariorum superatis, neque perperam egisse, neque foedus violasse existimari. Sin, quod tu nunc postulas, insula tibi cessero, praeterquam quod tempus et impensa periit, nulla spes eius unquam recipiendae Romanis relinquetur; aut contra fas agere et foedifragos haberi oportebit, sive eam obtinuerint, sive non obtinuerint. His de causis nec tu iusta et quae fieri possunt petis, nec ego possum concedere. Quae autem prius a me statuta sunt, ea fieri queunt et cum ex Romanorum, tum etiam ex re tua sunt. Hic Benedictus, audisse attente omnia, quae dixisset imperator; sed iis nec hilum commoveri perstareque in prima sententia et ita sentire, nisi tota insula detur, nulla posse meritis suis digna praemia rependi. Solent, excipit

νήσου, Οὐδὲν, ἔφη, θαυμαστὸν, ὁ βασιλεὺς, εἴ τινι περὶ πρά- A. C. 1329
γματός τινος βουλευομένῳ νῦν μὲν τοιάδε τινὰ λογίζεσθαι
παρασταίη, μικρὸν δὲ ὕστερον τἀναντία ἢ βελτίω ἢ χείρω
σκεπτομένῳ φαίνοιτο ἐκ τῶν πραγμάτων. διόπερ οὐδ᾽ αὐτὸν
δίκαιον νῦν πρῶτον τῶν πρὸς αὐτὸν ἀκηκοότα λόγων, ἀπερι-
σκέπτως οὕτως ἀπαγορεύειν, ἀλλὰ δέον εἰς δευτέραν καὶ
τρίτην μετὰ τῶν φίλων σκεψάμενον ἡμέραν, οὕτως ἥκειν
ἀπαγγέλλοντα ὅσα ἔδοξεν. ἴσως γάρ τι τῶν δεόντων ἡ μετὰ
τῶν φίλων καὶ οἰκείων συνδιάσκεψις εὑρήσει. Ἐπιχειροῦντος
δὲ αὖθις ἀντιλέγειν τοῦ Μπενέτου, ἐπέσχεν ὁ βασιλεὺς, τῆς
καθέδρας τε ἐξαναστὰς καὶ πρὸς αὐτὸν εἰπὼν, ὡς οὐκ ἀκού- P. 235
σεται πρὶν μετὰ τῶν φίλων βουλευσάμενον ἥκειν. Μπενέτος V. 189
μὲν οὖν οὕτως οἴκαδε ἀπῆλθεν, ἀνάπλεως ταραχῆς· εἰς τρί-
την δὲ ἡμέραν μεταπεμψάμενος αὐτὸν ὁ βασιλεὺς, τῶν τε
πρότερον ἀνεμίμνησκεν εἰρημένων καὶ ἕτερ᾽ ἄττα προσετίθει,
τήν τε εὐμένειαν τὴν πρὸς αὐτὸν ἔνδηλον ποιῶν καὶ ὅσην
ἔχει περὶ τὸ εὖ ποιεῖν αὐτὸν τὴν προθυμίαν. συνεβούλευέ
τε πείθεσθαι αὐτῷ ὡς λυσιτελοῦντα βουλευομένῳ. ὁ δὲ τῆς
τε ἐξ ἀρχῆς εἴχετο γνώμης καὶ βασιλεῖ παρῄνει μὴ εἰκῆ πο-
νεῖν, μήδ᾽ ἄλλο τι πείθειν ἐπιχειρεῖν. ἀλλ᾽ εἰ μὲν αὐτῷ τῆς
νήσου πᾶσαν παραδοίη τὴν ἀρχὴν, εἰ δὲ μὴ, ἀλλά τόγε δεύ- B
τερον, τῶν τριήρεων ὅσων δέοιτο ἐδεῖτο παρασχεῖν, ὡς ἂν
εἰς Γαλατᾶν ἀφίκηται, ἐνθέμενος τὰ ὄντα. βασιλεῖ δὲ ἐδό-
κει δεινὸν, εἰ μήπω πᾶσι φανερᾶς τῆς εἰς αὐτὸν εὐεργεσίας

imperator, de re aliqua deliberantibus iam haec, paulo post contraria in mentem venire, quae aut meliora, aut deteriora appareant. Quare nec ipsum decere, primis ab se auditis sermonibus, adeo inconsidate desperare; verum cum amicis ac propinquis biduo triduove ubi consuluerit, tum demum venire et quid probetur exponere; fortassis enim ea consultatione, quid facere par sit, inventurum. Benedictum adhuc parantem contradicere imperator solio exsurgens cohibuit, testificans, non se ante aures illi daturum, quam communicato cum amicis negotio redierit. Sic ille domum perturbatissimus abiit. Tertia luce vocatum imperator et dictorum admonuit, et alia quaedam adiecit, quibus et animum suum erga ipsum et quantopere de homine bene mereri cuperet, declaravit: hortatusque est, ut sibi utile danti consilium obsecundaret. Benedictus a pertinacia non discedere, imperatoremque monere, ne dum aliud suadere conetur, oleum atque operam perdat: sed si quidem plenum totius insulae principatum sibi det: sin autem, rogare se, triremes quot indigeret daret, quibus facultates suas imponeret Galatamque traiiceret. Imperator odiosum arbitrari, si, cum de sua in illum beneficentia nondum constaret palam, aut ipse veritatem celare

A. C. 1329 καθεστηκυίας, ἢ τἀληθὲς αὐτὸς ἐθέλων ἀποκρύπτειν, ἢ ἕτεροί τινες τῶν γενομένων πέρι μηδὲν εἰδότες, οἰήσονται τὸν βασιλέα βούλεσθαι μὲν ἀπελαύνειν Μπενέτον Χίου, εὐπροσώπου δὲ προφάσεως οὐκ εὐπορεῖν, καὶ διὰ τοῦτο ἀσμένως λαβόμενον τοῦ λόγου, τάς τε τριήρεις παρέχειν καὶ τὴν ἔξοδον ἐπιτρέπειν. διὸ καὶ αὖθις ἐφ' ἑτέραις τρισὶν ἡμέραις περὶ τοῦ πράγματος ἐκέλευε διασκέψασθαι, δίκαιον δὲ εἶναι μὴ C πρὸς τὴν ἐκείνου μικροψυχίαν ἀπιδεῖν, ἀλλὰ τὴν αὐτῷ προσήκουσαν ἐνδείξασθαι μεγαλοψυχίαν καὶ καρτερίαν. ἴσως γὰρ ἐν αὐταῖς τῶν δεόντων τι βουλεύσασθαι δυνήσῃ. Μπενέτος δὲ μηδὲν ἔτι προσθεὶς, θυμοῦ γέμων, οἴκαδε ἀπεχώρει ὡς τὰ ἔσχατα ἠδικημένος. βασιλεὺς δὲ ἐπὶ τοῖς γινομένοις δυσχεραίνων, τῶν παρόντων ἐπυνθάνετο Ῥωμαίων, εἰ μὴ τὴν προσήκουσαν εὐεργεσίαν κατατίθεται Μπενέτῳ, μικρὰ ἢ οὐδὲν πρὸς τὸν ὑπὲρ τῆς Χίου πόλεμον συναραμένῳ, ἢ εἰ δικαία ἡ ἀξίωσις αὐτοῦ καὶ σὺν λόγῳ γινομένη. αὐτὸν γὰρ μὴ δύνασθαι συνεῖναι, ὅ, τι ταῦτα αὐτῷ τὰ ῥήματα νοεῖ. οἱ μὲν οὖν ἄλλοι Μπενέτον τε κατῃτιῶντο καὶ πολλὴν κατεγί-D νωσκον αὐτοῦ ἀβελτηρίαν· ὁ μέγας δὲ δομέστικος „τὴν μὲν ἀλογίαν" εἶπεν „ὦ βασιλεῦ, καὶ τὴν παράνοιαν τῶν Μπενέτου ζητημάτων πάντες τε ἴσασι σαφῶς καὶ τὴν ὁμοίαν ψῆφον φέρουσι περὶ αὐτοῦ. διὸ οὐδὲ πολυπραγμονεῖν ἐξετάζοντας χρὴ, ὅ, τι βουλόμενος ἀνενδότως ἔχει περὶ αὐτά· οἴε-

15. πρὸς ED. P. pro πέρ.

vellet: aut quidam alii, rei transactae prorsus ignari existimarent, imperatorem Benedictum Chio expulsum cupere: verum causa aliqua in speciem honesta non suppetente, libenter ex eius verbis occasionem arripuisse et, triremibus suppeditatis, abitionem illi permittere. Itaque rursus alio triduo rem deliberationi iussit committere aequum censens, non ad eius illiberalem animum respicere: sed personae suae convenientem mentis celsitatem patientiamque prae se ferre, forsitan enim illo spatio quippiam opportunum posse statuere. Benedictus verbum non amplius addens et ira aestuans, quasi intoleranda vexatus iniuria, domum recessit. Imperator facto indignatus, praesentes Romanos percunctatur, num Benedicto meritas gratias non retulerit, qui tamen ad bellum Chium tenui aut nullo auxilio fuerit: et, numquid non iusta et ad praescriptum rationis ab eo requireret: se enim non percipere, quid eius verba significent. Aliis igitur in hominem invehentibus et ut insigniter vecordem condemnantibus, magnus domesticus ita disseruit: Quam a ratione alienum ac delirum sit Benedicti desiderium, omnes perspectum habent. Ideo quid spectans tam rigidus in eo et praefractus perseveret, non est curiosius inquirendum. Censendum vero, furio-

σθαι δὲ αὐτὸν τοῖς μαινομένοις προσεοικέναι, οἳ μήτε περὶ A.C. 1329
ὧν λέγουσι, μήτε πρὸς οὓς ποιοῦνται ἴσασι τοὺς λόγους, ἀλλ'
ᾗ ἂν τὸ δαιμόνιον κινοίη, φθέγγονται ἀδιανόητα τοῖς πᾶσιν.
ὡς ἂν δὲ μήθ' ὕστερον αὐτός ποτε μήδ' ἕτερός τις τὴν ἀλή-
θειαν ἐθέλων ἀφανίζειν δύναιτο τῷ ψεύδει χρῆσθαι καὶ τὰ
οὐκ ὄντα λογοποιεῖν, κακίαν δῆθεν προστριβόμενος ἡμῖν τινα,
ἅ μοι δοκῶ ποιητέα, εἴγε καὶ αὐτῷ σοι συνδόξειεν εἶναι, ἐρῶ. P. 236
τῇ Χίῳ νυνὶ πολλῶν ἐπιδημούντων, οὐ Ῥωμαίων μόνον, ἀλλὰ
καὶ ἐκ Γεννούας καὶ Βενετίας κατ' ἐμπορίαν, καὶ Νικολάου
Σανούτου τοῦ τῶν Κυκλάδων ἄρχοντος, ὃς ἧκε κατὰ φιλίαν
σὲ προσκυνήσων, ἔτι δὲ καὶ ἐκ Λατίνων ἀρχιερέως, ὃς τὴν
τῆς Χίου παρὰ τοῦ πάπα ἐπιτέτραπτο ἐπισκοπὴν, καὶ Φρε-
ρίων τινῶν καθ' ἱστορίαν, κέλευσον ἐκ πάντων ἐκκλησίαν
ἀθροισθῆναι· πάντων δὲ παρόντων γενέσθαι τοὺς λόγους
πρὸς Μπενέτον. κἂν δέξηται πεισθεὶς τὴν εὐεργεσίαν, παντα-
χόθεν ἂν ἔχοι καλῶς· ἐὰν δὲ τῇ προτέρᾳ παρανοίᾳ χρώμενος, B
τῶν μὲν ἐν χερσὶν ἀπόσχηται ἀγαθῶν, τῶν δὲ μήτε ὄντων V. 190
μήτε ἐσομένων ἐπιθυμοίη, εἰ μὴ αὐτὸν ὡς ἀδύνατα ἀξιοίη
πεῖσαι δυνησόμεθα, ἀλλὰ τούς γε παρόντας οὐ μάρτυρας
μόνον ἕξομεν, ἀλλὰ καὶ κήρυκας καὶ τῆς σῆς καλοκαγαθίας
καὶ φιλοτιμίας περὶ τὰς εὐεργεσίας, βασιλεῦ, καὶ τῆς ἐκείνου

12. Φρέριοι non sunt Ferrarienses, ut Intpr. vertit; quo enim? nam et Ferraria Graecis, ut in C. Florentino, dicitur Φεῤῥαρία; sed est vox Gallica *freres*; erant autem equites Hierosolymitani, testante Niceta pag. 145. primae editionis: πρὸς τῶν Ἱεροσολυμιτῶν λυθεὶς, οὓς Φρερίους φασίν. *ED. P.*

sorum esse similem, qui neque quid, neque apud quos loquantur, norunt: sed quatenus a cacodaemone exagitantur, cogitationibus humanis abhorrentia effutiunt. Ut autem in posterum nec ipse, nec alius veritatem mendacio obscurare queat et inanes comminisci fabulas, quo nobis labem aliquam improbitatis inurat, quae mihi videantur, si forte eadem tibi probabuntur, eloquar. Quia in praesens non Romani dumtaxat, sed et Genuenses, et Veneti in hac insula negotiantur, et Nicolaus Sanutus Cycladum praefectus, qui amicitiae ergo te salutatum venit: item ex Latinis episcopus, cui a papa Chii pontificatus commissus est, et aliquot Milites Templi qui terram hanc lustrare student; conventum omnibus istis indicito, et in eorum praesentia Benedictum compellari iubeto: qui si quod offers, mutatus admiserit, optatissimum acciderit: sin priore adhuc obstrictus amentia, quae in manibus habet bona abiecerit; quae autem nulla sunt, neque erunt, concupierit, et nos illi fidem facere nequibimus, ea ipsum postulare, quae dari non possint, certe praesentes quidem non solum testes, verum etiam integritatis tuae ac studii in benefaciendo et illius insaniae praecones habebimus: et hinc praecipuam

A. C. 1329 παραπληξίας, καὶ δύο τὰ μέγιστα ἐντεῦθεν κερδανοῦμεν, ἡμᾶς
τε αὐτοὺς ἀπαλλάττοντες ἀδοξίας οὐ προσηκούσης καὶ τοὺς
ἄλλους τῆς ἐκ τοῦ ψεύδους ἐλευθεροῦντες προσγενησομένης
βλάβης." Τοιαῦτα μὲν ὁ μέγας δομέστικος εἶπε· βασιλεὺς
δὲ ἐπείθετό τε εὐθὺς τοῖς εἰρημένοις ὡς καλῶς ἔχουσι, καὶ
C αὐτῷ ἐπέτρεπε τὴν πρᾶξιν, προσθεὶς, ὡς εἰ μὴ βούλοιτο κατὰ
τὰ διατεταγμένα πρότερον ἄρχειν ὁ Μπενέτος Χίου, καὶ δευ-
τέραν αἵρεσιν εὐεργεσίας αὐτῷ προθεῖναι, ἐλάττονος ἢ κατὰ
τὴν προτέραν οὐδαμῶς. τακτῇ δὲ ἡμέρᾳ ἐκκλησίαν ὁ μέγας
δομέστικος ἔκ τε Ῥωμαίων καὶ τῶν ἐπιχωριαζόντων Λατί-
νων συναγαγὼν, παρόντος καὶ αὐτοῦ Μπενέτου καὶ τῶν Μαρ-
τίνῳ τῷ ἀδελφῷ πρότερον συνόντων οὐκ ὀλίγων, εἰς λόγους τε
καθίσταντο καὶ διηγεῖτο ἄνωθεν ἀπ' ἀρχῆς, ὅπως τε εἰς Βυζάν-
τιον ἀφίκοιτο πρὸς βασιλέα ὁ Μπενέτος κατηγορῶν τοῦ ἀδελ-
φοῦ ἐφ' οἷς ἠδικεῖτο παρ' αὐτοῦ, ὅσα τε αὐτῷ λεχθείη πρὸς
D βασιλέως, καὶ τὴν εὔνοιαν, ἣν ἐνεδείξατο πρὸς αὐτὸν ἀφικό-
μενον πρὸς Χίον, καὶ ὡς τῆς εἰς αὐτὸν εὐνοίας ἕνεκα ὁ βα-
σιλεὺς ἀμείβεται τοιαύταις εὐεργεσίαις. Μπενέτος δὲ αὖθις
τήν τε δωρεὰν ἀπεωθεῖτο τὴν βασιλέως, ἀναξίαν κρίνων ἑαυ-
τοῦ, καὶ εἰ μὴ παντάπασιν αὐτῷ παραχωρήσει Χίου, τῆς
Ῥωμαίων ἀφελόμενος ἡγεμονίας, μηδεμιᾶς ἑτέρας εὐεργεσίας
φάσκων δεῖσθαι παρ' αὐτοῦ, καὶ μηδὲ τρίβεσθαι εἰκῇ καὶ
μάτην ἀδύνατα ἐπιχειροῦντας πείθειν. οἱ μὲν οὖν παρόντες
καὶ μάλιστα οἱ ἐκ Λατίνων, πολλὴν ἀκρισίαν κατεγίνωσκον

eamque bipartitam utilitatem hauriemus; quod nos ipsos nimirum ab immerita infamia servabimus: et aliis a nocumento mendacii cavebimus. Haec ubi effatus est magnus domesticus, imperator protinus in eius sententiam ivit, et rei conficiendae negotium illi dedit: atque hoc amplius, nisi Benedictus ex priori decreto Chium administrare vellet, ut aliam ei ex liberalitate conditionem, prima nequaquam deteriorem, proponeret. Die praestituta cum magnus domesticus ex Romanis et Latinis advenis conventum coegisset; praesente etiam Benedicto et non paucis, qui antea cum Martino fratre eius familiariter vivebant, ad verba ventum est: altiusque repetito principio, domesticus narravit, quo pacto Benedictus Byzantium ad imperatorem confugiens, fratrem iniuriarum postulasset, quidque imperator supplici respondisset, et qua is benevolentia postea eumdem imperatorem in Chio complexus esset: atque hanc esse causam, quare imperator tantam ei gratiam referret. Benedictum autem iterato quasi se indignam reiecisse; ac nisi Chio a Romano imperio avulsa sibi penitus cederet, nullo se alio eius beneficio egere iactasse: et ne irritus ac temerarius labor impossibilibus sibi suadendis susciperetur, monuisse. Qui aderant, Latini praesertim, fatuum adeo

Μπενέτου καὶ ᾐτιῶντο φανερῶς, καὶ τὴν βασιλέως θαυμάζοντες A.C. 1329 φιλοτιμίαν καὶ τὴν αὐτοῦ κακοβουλίαν, καὶ συνεβούλευον P. 237 πείθεσθαι βασιλεῖ, ὡς, εἰ μὴ πεισθείη νῦν, πολλὰ πολλάκις ὕστερον μεταμελήσοντος αὐτῷ. ὁ δ' οὐδὲν μᾶλλον ἐπείθετο αὐτοῖς, ἀλλὰ τοῖς προτέροις ἐνέμενε λογισμοῖς. ὁρῶν δὲ αὐτὸν ὁ μέγας δομέστικος οὕτως ἔχοντα ἐφ' οἷς ἠξίου ἀμεταμελήτως „οὐκοῦν" εἶπεν „εἰ μή σοι ταῦτα ἀρεστὰ δοκοίη, ἀλλ' εἰ μὴ τύχοις ὧν αὐτὸς ἀξιοῖς, καὶ τῆς Χίου παντάπασι κέκρικας ἀποστῆναι δεῖν, καὶ δευτέραν αἵρεσίν σοι προθήσομαι εὐεργεσίας, ἣν αὐτὸς ἐκέλευσε βασιλεύς. οἰκίας γάρ σοι λαμπρὰς καὶ πολυτελεῖς χαρίζεται ἐν Βυζαντίῳ, καὶ τῶν συγκλητικῶν Ῥωμαίων ἕνα κελεύει εἶναι, καὶ ἀξιώματι B τῷ προσήκοντι τιμήσει καὶ ἀρχὴν ἐγχειρίσει τῶν παρὰ Ῥωμαίοις νενομισμένων, καὶ τἄλλα ὅσα τοῖς εὐγενεστέροις Ῥωμαίων καὶ αὐτῷ προσήκοντα ἔσται· καὶ τούτων πάντων χωρὶς προσόδων ἐτησίων ἕνεκα ἐκ τῶν τῆς Χίου φόρων μυριάδας χρυσίου λαμβάνειν δύο. Τούτων ἀκούσας ὁ Μπενέτος, οὐκέτι οὐδὲ καθεκτὸς ἐδόκει εἶναι, ἀλλ' ὥσπερ τὰ μέγιστα ἀδικούμενος, ἀχθόμενος καὶ δυσανασχετῶν, καὶ ὅρκοις ἑαυτὸν κατελάμβανε καὶ ἀραῖς ταῖς παλαμναιοτάταις, εἴ τι παραδέξαιτο τῶν λεγομένων, εἰ μὴ ἅπερ ἐξ ἀρχῆς ᾐτήσατο παράσχοι βασιλεύς. τρεῖς δὲ ᾐτεῖτο τριήρεις ἐκ τῶν βασιλικῶν ὡς πανοικεσίᾳ πλευσούμενος ἐς Γαλατᾶν. ὁ μὲν οὖν C τοιούτους παραπληξίας γέμοντας προΐει λόγους· οἱ δ' ἀκροώ-

Benedicti iudicium insectabantur et damnabant apertissime; atque ut imperatoris honestissimum conatum, sic huius perversum consilium admirabantur, et ad parendum imperatori impellebant: quod ni faceret modo, fore ut in futurum saepe vehementerque poeniteret. At enim surdo fabula canebatur: quippe qui animo obstinaverat non cedere. Tum magnus domesticus usque eo in proposito suo pertendentem videns, Igitur, inquit, si haec tibi non placent; sed, nisi quae vis adipiscare, Chio omnino emigrare decrevisti, en alteram tibi iussu imperatoris optionem do; aedes enim tibi magnificas et sumptuosas donat Byzantii, et inter proceres Romanos te allegit, proque dignitate te honorabit, et consuetos Romanis magistratus tibi mandabit: quaecumque etiam nobilioribus Romanis, eadem tibi similiter tribuentur. Praeter haec omnia in annuam pensionem ex Chii vectigalibus viginti nummum aureorum millia accipies. His auditis Benedictus e potestate videbatur exiisse, et tamquam mirifice laesus, aeger animi, semet iureiurando astringebat dirissimisque precibus detestabatur, si quid eorum, quae promittebantur, admitteret: nisi, quae a principio petivisset, imperator daret. Quapropter iterum ternas de imperatoria classe triremes orabat, quibus cum tota familia sua Galatam navigaret. Tales ille sermones vesaniae

A.C. 1329 μενοι τῶν εἰρημένων βασιλέα μὲν ἐθαύμαζον καὶ ἐπῄνουν
V. 191 καὶ τῆς μεγαλοψυχίας καὶ τῆς φιλοτιμίας, Μπενέτου δὲ πολλὴν κατεγίνωσκον ἀγνωμοσύνην. καὶ ὁ σύλλογος διελέλυτο ἐπὶ τούτοις. πυθόμενος δὲ ὁ βασιλεὺς ὅσα τε εἴποι καὶ ὧν ἀκούσειε Μπενέτος, ἐπεὶ μηδὲν ἔτι συνεώρα λειπόμενον τῶν προσηκόντων, ἐκείνῳ μὲν τρεῖς παρέσχετο τριήρεις, ὥσπερ ᾐτεῖτο, αἷς ἐνθέμενος ὅση ἦν αὐτῷ περιουσία, ἦλθεν εἰς
D Γαλατᾶν.

ιγ'. Αὐτὸς δὲ ὅσα ἐξῆν πρὸς φυλακὴν ἐξαρτυσάμενος τῆς νήσου, ἄρας ἐκεῖθεν ταῖς λοιπαῖς ναυσὶν, ἦλθεν εἰς Φώκαιαν τὴν παλαιὰν, οὖσαν ὑπήκοον Ῥωμαίοις· καὶ ἀπόβασιν ποιησάμενος ἐφ' ἡμέρας τινὰς συνεγένετο Σαρχάνῃ, τῶν κατὰ τὴν Ἰωνίαν ἄρχοντι Περσῶν ἐκεῖσε γενομένῳ καὶ μετὰ
P. 238 τῆς προσηκούσης αὐτῷ προσελθόντι μετριότητος καὶ, οἷον εἰπεῖν, δουλείας. ὃν καὶ δώροις φιλοφρονησάμενος ὁ βασιλεὺς μεγαλοπρεπῶς, ἀπέστειλεν ἔνσπονδον Ῥωμαίοις. Αἰτίνης δὲ καὶ αὐτὸς Καρίας ὢν σατράπης, πρὸς βασιλέα μὲν οὐ παρεγένετο ὑπὸ νόσου χρονίου κωλυθείς· τῶν ὑπ' αὐτὸν δὲ Περσῶν οὐκ ὀλίγους πέμψας ἅμα δώροις πρὸς βασιλέα, τὴν νόσον, ὡς ὑπ' αὐτῆς κεκωλυμένος, ᾐτιᾶτο, προσκυνῆσαι βασιλέα. βασιλεὺς δὲ λόγοις τε εὐχαριστήσας καὶ δώροις ἀμειψάμενος αὐτὸν, ἀπέστειλε τοὺς ἐλθόντας. ἐκεῖθεν δὲ ἐξελθὼν, εἰς Φώκαιαν τὴν νέαν ἦλθεν. αὕτη δὲ Ῥωμαίους
B μὲν οἰκοῦντας εἶχεν· ἐξ αἰτίας δέ τινος ὥσπερ Ζαχαρίας

plenos effundebat. Qui intererant, imperatorem suspicientes, eius laudabile studium excelsumque animum commendabant, ac Benedictum valde improbum ingratumque pronuntiabant. Ita conventus est solutus. Imperator ut didicit quae Benedictus audivisset ac respondisset, quoniam nihil aequitatis videbat praetermissum, tres illi triremes quas petebat attribuit: iis omni instrumento suo imposito, Galatam pervenit.

13. Imperator quantis potuit praesidiis in insula constitutis, Phocaeam antiquam, Romanis parentem, navibus delatus, ibi dies aliquot cum Sarchane Persarum in Ionia satrapa familiariter versatus est; qui eum qua par erat modestia, et, ut ita dicam, subiectione humili convenerat. Quem splendidis muneribus amice donatum et Romanis foedere sociatum dimisit. Aetines porro Cariae satrapa, morbo diuturno prohibitus, ad imperatorem ipse non venit: sed Persarum quibus praeerat missa non parva manu cum donis, valetudinem excusavit: qua detentus ad eum salutandum proficisci nequivisset. Imperator, gratiis actis, vicissim dona ei portanda dedit. Inde Phocaeam novam accessit, quam Romani habitabant quidem: ex quadam vero causa, ut Zacharias Chio, sic ipsi Andreas Catanias

Χίου, οὕτω δὴ καὶ αὐτῆς Ἀνδρέας Κατανίας ἐκ Γεννούας κρα- A.C.1329
τήσας, ἀκρόπολίν τε οἰκοδομησάμενος καὶ κατασχὼν φρουρᾷ,
τῆς ἄλλης πόλεως ἦρχεν ἀσφαλῶς. τότε μὲν οὖν Ἀνδρέας
οὐ παρῆν, ἀλλ' εἰς Γέννουαν κατά τινα χρείαν ἀπεδήμει.
Ἀρῆγος δὲ Ταρταρῷ, ὃς ἦν Ἀνδρέου θεῖος, Φωκαίας ἦρχεν
ἀντ' αὐτοῦ· ὃς ἰδὼν τὸν βασιλέα προσιόντα, Φωκαίας τε
ἐπέσπευδεν εἰς ὑπάντησιν βασιλέως ἐξελθεῖν, ἀνοίξας τὰς πύ-
λας, καὶ αὐτὸς ἅμα σὺν αὐτοῖς ἐξῆλθε καὶ προσεκύνει βασι-
λέα. ἐπεὶ δὲ γένοιτο ἐντὸς τειχῶν, τοὺς τὴν ἀκρόπολιν φρου-
ροῦντας (ἦσαν δὲ ἐκ Γεννούας Λατῖνοι,) ἐξελθόντας ἐκέλευε
βασιλεῖ παραδιδόναι. οἱ δὲ ἐξήρχοντό τε προσκυνοῦντες, καὶ C
παρεδίδοσαν τὴν ἄκραν. βασιλεὺς δ' ἐν αὐτῇ δύο αὐλισά-
μενος ἡμέρας, εἰς τὴν τρίτην ἅμα ἕῳ τὸν Ἀρῆγον μεταπεμ-
ψάμενος, καὶ τὰ κλεῖθρα τῆς πόλεως τοὺς τοὺς πελέκυς ἔχον-
τας βαράγκους κελεύσας ἀγαγεῖν (τούτους γὰρ ἔθος τὰ κλεῖ-
θρα τῶν πόλεων ἔνθα ἂν ἐπιδημοίη βασιλεὺς, κατέχειν,)
Ἀρήγῳ ἐκέλευε παραδιδόναι, πρὸς αὐτὸν εἰπὼν, ὡς „νῦν μὲν
εἰς Φώκαιαν ἐμοὶ ὑπήκοον οὖσαν ἐλθὼν, ἔμεινα ἐφ' ὅσον
ἠβουλόμην. αὖθις δὲ ἐξερχόμενος, τὴν πόλιν παραδίδωμί
σοι, καὶ διὰ σοῦ τῷ Ἀνδρέᾳ, ὥστε ἄρχειν αὐτῆς ὥσπερ καὶ
πρότερον ἐπιτροπεύοντα καθ' ὅσον ἂν χρόνον ἐμοὶ βουλομένῳ
ᾖ." δώροις τε αὐτὸν καὶ τοὺς τὴν ἄκραν φρουροῦντας φιλο- D
φρονησάμενος, καταλιπὼν ἐκεῖ πολλὰς αὐτῷ τῆς εὐεργεσίας

9. δ' ἐγένετο coni. ED. P. 15. Aliis scriptoribus βάραγγοι dicuntur; erantque Angli, ut ex his Codini verbis discere est: πολυχρονίζουσι καὶ οἱ βάραγγοι κατὰ τὴν πάτριον καὶ οὗτοι γλῶτταν αὐτῶν ἤγουν ἐγκλινιστί. ED.P. Vide supra p. 200. v. 11.

Genuensis subiugata, arceque constructa et praesidio firmata, secure dominabatur. Ac per id tempus quidem negotii curandi Genuam peregre abierat. Interim Aregus Andreae patruus pro eo cum potestate praeerat. Is ut imperatorem adventantem conspexit, portis apertis cives ad occurrendum urgere instititit: ipseque simul exiens, venerabundus eum salutavit. Ubi intra moenia ventum est, praesidiarios egressos (erant autem Latini et Genuenses) arcem imperatori transdere iussit. Illi egredientes, capita venerabundi submittunt arcemque dedunt. Duobus diebus in arce exactis, die tertio mane Arego accersito, securigeros barangos claves urbis afferre (hos enim urbium claves imperatore praesente custodire solenne erat) et Arego tradere imperavit, eum in hanc sententiam alloquens: Nunc quidem Phocaeam mihi subiectam veni, mansique quam diu volui: rursum discedens, urbem tibi commendo, et per te Andreae, uti eam quemadmodum prius ceu praefectus gubernet, quamdiu mihi volenti erit. Deinde donis illum ac praesidium humaniter auxit:

A.C. 1329 χάριτας ὁμολογοῦντας, ἄρας σὺν ἅμα παντὶ τῷ στόλῳ ἦλθεν εἰς
Βυζάντιον καὶ διέλυσε τὴν στρατιάν. ὀλίγον δὲ ἐνδιατρίψας
V. 192 Βυζαντίῳ χρόνον, ἐξελθὼν ἐκεῖθεν, ἦλθεν εἰς Διδυμότειχον.
ἔνθα διατρίβοντι ἠγγέλθη ὡς ἐκ τῆς ἕω στρατιὰ Περσῶν
πεζὴ περαιωθεῖσα ἑβδομήκοντα ναυσὶ, τὰ περὶ Τραϊανούπολιν
ληΐζεται καὶ Βήραν. συμβέβηκε δὲ διὰ τὸν εἰς Χίον ἀπόπλουν
πάντων οἴκαδε διαλυθέντων ἀναπαύλης χάριν, βασιλέα ἅμα
δομεστίκῳ τῷ μεγάλῳ σὺν ὀλίγοις τισὶν εἶναι στρατιώταις·
ὅσους δὲ ἐνῆν ὡς τάχιστα συναγαγόντες ἐκ τῶν πέριξ πό-
λεων, ἀπροσδοκήτως ἐπέθεντο τοῖς Πέρσαις, καὶ μάχῃ κρα-
τήσαντες παρὰ πολὺ, τοὺς μὲν ἀπέκτειναν αὐτῶν, τοὺς δὲ
P. 239 καὶ εἷλον ζῶντας. ὅσοι δὲ ἠδυνήθησαν διαφυγεῖν, ἐμβάντες
εἰς τὰς ναῦς, (ἐπεὶ τοτηνικάδε ναυτικὴ δύναμις οὐκ ἦν Ῥω-
μαίοις παρεσκευασμένη) ἐπεραιώθησαν πρὸς ἕω· καὶ ὁ βα-
σιλεὺς μετὰ τὴν νίκην εἰς Ἀδριανούπολιν ἐπανῆλθεν. Μπε-
νέτος δὲ ὁ Μαρτίνου ἀδελφὸς ἐκ Χίου κατασχὼν εἰς Γαλα-
τᾶν, γνώμην ἔχων ὡς ἦν δύνηται ἀμυνούμενος βασιλέα, τριή-
ρεις ἐκ Γεννούας εὑρὼν ἐφορμούσας ὀκτὼ, τὰ ὄντα πάντα
διαθέμενος, πείθει μισθῷ τοὺς τριηράρχας, αὐτῷ κατὰ Χίου
συνεκπλεῦσαι, ἐλπίσας αἱρήσειν ῥᾳδίως, ὡς βασιλέως οὐ τα-
χέως βοηθήσοντος, τῆς ναυτικῆς αὐτῷ δυνάμεως διεσκεδα-
σμένης. ἐπεὶ δὲ προσέσχον τῇ Χίῳ, ἀπέβαινόν τε τῶν νεῶν
B καὶ ὁπλισάμενοι ἐχώρουν πρὸς τὴν πόλιν ὡς τῶν τειχῶν
ἀποπειράσοντες. Χῖοι δὲ ἐξελθόντες πανδημεὶ ἐκράτησάν τε

singularesque de liberalitate gratias agentes relinquens, cum tota classe Byzantio successit ac militi missionem dedit. Brevi tempore illic posito, Didymotichum inivit. Eo nuntiatur, ex oriente Persarum peditatum navibus septuaginta transiecisse, agrumque Traianopolis et Beres depraedari. Evenit autem, propter reditum e Chio omnibus domum ad requiescendum dimissis, cum imperatore magnoque domestico paucos esse milites. Verumtamen quotquot licuit, quam maturrime ex finitimis oppidis cogentes, improviso in Persas feruntur, eosque facillime victos partim occidunt, partim captivos ducunt. Qui effugere potuerant, conscensis navibus (tunc enim Romani a navali manu et apparatu instructi non erant) in orientem recurrerunt, et imperator parta victoria Traianopolin se retulit. Benedictus Martini frater e Chio Galatam appulsus, imperatorem ulcisci volens, si posset, inventis in portu octo Genuatium triremibus, constitutis rebus suis omnibus, mercede persuadet trierarchis, uti secum contra Chium navigent; sperans, se eam levi negotio subacturum, quod imperator dispersis classiariis, tarde opem insulanis esset allaturus. Postquam Chium naves tetigerunt, exscensione facta, armati ad oppidum, veluti periculum murorum facturi processerunt. At Chii erumpentes, quum multi erant, Latinos congressu

μάχῃ τῶν Λατίνων, καὶ φεύγοντας αἰσχρῶς ἐνέβαλον εἰς τὰς A.C. 1329 ναῦς· ἀπέκτειναν δὲ αὐτῶν ὀλίγῳ πλείους τριακοσίων. οἱ δὲ λοιποὶ ἀναχθέντες, ὡρμίσαντο ἐπ' ἀγκυρῶν, καὶ ἐς τὴν ὑστεραίαν, οὐκέτι ἀγαθὰς ἔχοντες τὰς ἐλπίδας περὶ Χίου, ἐπ' οἴκου ἀνεχώρουν. Μπενέτῳ δὲ ὡς πᾶσα ἐλπὶς περιῄρειτο, ἐπιληψίᾳ κατεσχέθη καὶ πρὶν ἑβδόμην ἥκειν ἐτελεύτησεν. C

ιδ'. Ὀλίγου δὲ παρῳχηκότος χρόνου, συμβέβηκε βασιλέα Διδυμοτείχῳ ἐνδιατρίβοντα ὀξεῖ νοσήματι περιπεσεῖν, ὃ παῖδες ἰατρῶν κεφαλικὸν σύμπτωμα καλοῦσιν. ἰατροὶ μὲν οὖν ἐκ πρώτης προσβολῆς τὴν ὀξύτητα δείσαντες τῆς νόσου, οὐκ ἀγαθὰς εἶχον τὰς ἐλπίδας· καὶ βασιλεὺς δὲ αὐτὸς τὴν D ἀθρόαν καταβολὴν ὑπώπτευε μὴ οὐκ ἄνευ κινδύνου τελευτήσειν. δευτέρᾳ δὲ ἡμέρᾳ μετὰ τὴν προσβολὴν τὸν μέγαν δομέστικον μετακαλεσάμενος „σὺ μὲν" εἶπεν „οἶσθα, ὁσάκις ἐμοῦ πείθειν ἐπιχειρήσαντος παρασήμοις σε κοσμηθῆναι βασιλικοῖς, ὥς τι πλέον αὐτὸς εἰδώς, τοὺς μὲν ἐμοὺς διεκρούσω λόγους, καίτοι λυσιτελοῦντα πᾶσιν ἀξιοῦντος· ἃ δὲ αὐτὸς ᾤου βελτίω εἶναι, ταῦτ' ἔθου διὰ σπουδῆς ἀκατάλυτα τηρεῖν. νῦν δὲ αὐτὸς ἔοικα μᾶλλον ἢ σὺ στοχάζεσθαι τῶν συμφερόντων. εἰ γὰρ ὅσα αὐτὸς ἠξίουν ἐτελεῖτο, νῦν οὐκ ἂν ἐν θορύβῳ πολλῷ καὶ ταραχῇ αὐτός τε ἦν καὶ τὰ Ῥωμαίων P. 240 πράγματα τοὺς ἐσχάτους ὑπώπτευε κινδύνους. εἰ γάρ με συμβαίη νῦν ὑπὸ τῆς νόσου κατεργασθέντα τελευτῆσαι, ὅπερ οὐδὲ

devicerunt, lethoque datis paulo plus trecentis, turpiter ad naves fugere compulerunt. Qui restabant, ora soluta a litore recedentes, ancoris naves fundabant. Postridie, cum de insula potiunda nihil bonae spei haurirent, domum viam remensi sunt. Benedictum desperatione fractum epilepsia invasit, et ante diem septimum vita defunctus est.

14. Non multum temporis intercessit, cum imperator Didymotichi in morbum acutum incidit, quem cephalicum symptoma nominant medici. Igitur ex prima eius accessione gravitatem metuentes, parum bene sperabant: et imperator ipse crebriores accessiones interitum sibi allaturas formidabat. Postero igitur die post accessionem magnum domesticum advocans, his eum verbis alloquitur: Memoria tenes, quo pacto, cum ego saepius te flectere enisus sim, ut insignia imperatoria ne recusares, tu velut longius quam ego prospiciens, dicta mea, quamquam ad communem fructum spectantia, repudiaris: quae autem ut meliora probasses, ea studiose constanterque servare constitueris. At nunc quid e republica sit, melius quam tu coniicere videor. Nam si tunc obtinuissem, quae iure postulabam, nec ego iam in tantis curis ac perturbatione, nec Romanum imperium in extremorum periculorum metu versaretur. Si enim modo

A.C. 1329 πόῤῥω προσδοκίας, ἄδηλον εἰ μὴ εἰς πράγματα ὑμῖν καὶ τα-
V. 193 ραχὰς ἡ ἐμὴ τελευτὴ χωρήσει. διὸ καὶ δεῖν οἴομαι, αὐτῶν νυνὶ σαφῶς τὰ δέοντα τῶν πραγμάτων διδασκόντων, τὴν μὲν ἄκαιρον φιλονεικίαν καὶ τὴν οὐ προσήκουσαν ἔνστασιν καταλιπεῖν· αὐτὸν δὲ ὑπ' ὀφθαλμοῖς ὅσοι πάρεισι Ῥωμαίων ὑποδήμασί τε βασιλικοῖς καὶ πίλῳ τῷ ἐμῷ, ἃ δοκεῖ βασιλείας σύμβολα εἶναι, κοσμηθῆναι ἐπ' ἐμοῦ. κἂν μὲν καὶ αὐτὸς περιγένωμαι τῆς νόσου, καινὸν οὐδὲν ἂν εἴη εἰργασμένον. ἃ
B γὰρ προὐθέμην ἐξ ἀρχῆς καὶ διὰ σπουδῆς εἶχον ἐλθεῖν εἰς πέρας, ταῦτα ἔσται εἰργασμένα· εἰ δ' ἐξ ἀνθρώπων γένωμαι, τὴν ἡγεμονίαν πᾶσαν ἀναδέξασθαι Ῥωμαίων σὲ, καὶ μὴ διὰ τὴν ἀναρχίαν εἰς στάσεις καὶ πολέμους χωρῆσαι, ἐξ ὧν διαφθαρήσονται." Βασιλεὺς μὲν οὖν τοιαῦτα συνεβούλευε καὶ προσετίθει, ὡς, εἰ μὴ ἀνιᾷν βούλοιτο αὐτὸν, καὶ ταῦτα νοσοῦντα νῦν, τὸ κελευόμενον ποιεῖν. ὁ δ' οὐδὲν ἔλαττον τῶν ἐξ ἀρχῆς εἴχετο λογισμῶν καὶ γνώμην εἶχεν, ὡς οὐδ' ἂν εἴ τι γένοιτο εἰς βασιλέως σχῆμα κατασταίη. συνιδὼν δὲ ὁ βασιλεὺς ὡς οὐκ ἂν δύναιτο πείθειν αὐτὸν ἀμείβειν τὸ σχῆμα, ἔγνω δεῖν
C μὴ πέρα τοῦ δέοντος φιλονεικεῖν, ἐν οὕτω στενῷ κομιδῇ τῶν πραγμάτων καθεστώτων, ἀλλ' αὐτοῖς πράγμασι διάδοχον αὐτὸν τῆς βασιλείας καταλιπεῖν, καὶ τοῖς παρεστῶσιν ἐκέλευε τούς τε προὔχοντας τῆς συγκλήτου πρῶτον καὶ τοὺς ἄλλους εὐγενείᾳ διαφέροντας, ἔπειτ' ἐφεξῆς καὶ τοὺς ἄλλους ὅσοι παρῆσαν Ῥωμαίων συγκαλεῖν. ἐπεὶ δὲ συνῆλθον καὶ περι-

vi morbi confectus emoriar (id quod ante fores est) forsitan mors mea molestias vobis et turbas creabit. Itaque cum iam res ipsa officium satis doceat, valere iubenda intempestiva pertinacia et indecens in repugnando perseverantia: patiendumque, ut te in conspectu quotquot adsunt Romanorum, sandaliis imperatoriis et tiara mea, quae imperii habentur symbola, exornem. Et si quidem convaluero, nihil novi factum fuerit: sed quod a principio mihi erat in animo quodque studebam ad opus perducere, hoc iam opere ipso perfectum conspicietur. Quod si ab hominibus demigravero, tu totum imperium susceperis, neque (ut solet, cum nullus est princeps) Romani seditionibus et bellis ad mutuam perniciem miscebuntur. Haec imperator hortabatur: addebatque, si se et quidem nunc aegrotum contristare nollet, ne detrectaret, quo invitaretur. Sed domesticus semel susceptae sententiae affixus, omnia potius velle experiri, quam ornamenta imperatoria capessere. Sentiens porro imperator fieri non posse, ut in habitus mutationem consentiret, non ultra quam fas cum eo contendendum, rebus in tantas angustias redactis: sed factis ipsis imperii successorem relinquendum censuit: et astantibus praecepit, principes primum aulicorum procerum et alioqui nobilitate praestantes, deinde alios ordine Romanos qui aderant accire.

ἔστησαν αὐτὸν, καὶ Ἄνναν τὴν βασιλίδα ἐκέλευε παρεῖναι. A.C. 1329 ὡς δὲ καὶ αὐτὴ παρῆν, ὡς μάλιστα εἶχεν ἐπιῤῥώσας ἑαυτὸν, ὀλίγα ἄττα διειλέχθη πρὸς αὐτούς. ἔφη γάρ· „Τὴν μὲν εὔνοιαν, ὦ φίλοι, τὴν περὶ ὑμᾶς καὶ ὡς τοῦ παντὸς ἂν ἐτιμησάμην, οὐ μόνον κοινῇ πάντας, ἀλλὰ καὶ ἕκαστον ὑμῶν ἰδίᾳ τὰ μέγιστα εὐεργετῆσαι, καὶ ὡς οὐκ ἐν παρέργῳ, ἀλλὰ D πάσῃ σπουδῇ τῷ κοινῷ Ῥωμαίων τι λυσιτελήσειν ὑμῖν χρώμενος συνεργοῖς προὐθέμην, νομίζων εἰ ἀποθανοῦμαι τοῖς βαρβάροις μαχόμενος ὑπὲρ αὐτῶν, πάσης ἥδιον καὶ μακαριώτερον ζωῆς, αὐτὸς ἂν εἰδείη θεὸς, ὁ τὰ ἄδηλα καὶ τὰ κεκρυμμένα τῶν ἀνθρώπων εἰδὼς καὶ καρδιῶν καὶ φρενῶν ἐτάστης. ἐπεὶ δὲ οἷς οἶδε κρίμασιν αὐτὸς τοῦτο μὲν οὐ κέκρικε δεῖν, ἀλλ' ὡς ὁρᾶτε περιέστησεν ἡμῖν τὴν τελευτὴν, πάντας πείθων ἔργοις αὐτοῖς, ὡς οὔτε χρήμασιν οὔτε δόξῃ οὔτε τοῖς λοιποῖς ὅσα τῶν ῥεόντων καὶ φθειρομένων, χρεὼν προσέχειν, ἀλλ' ἑνὸς μόνου γίνεσθαι τοῦ διὰ βίου παντὸς προσέχειν θεῷ καὶ πρὸς τὸν ἐκεῖθεν βίον ἑαυτὸν ἕκαστον μεταῤῥυθμίζειν καὶ P. 241 μεθαρμόζειν, πρῶτον μὲν ὑμᾶς ἀσπάζομαι τὰ τελευταῖα δὴ ταῦτα, ἄδηλον ὂν εἰ ἔτι προσφθέγξομαι ὑμῖν, καὶ δέομαι ὑμῶν, εἴ τις ὑμῖν κεῖται χάρις ἐμοῦ, ἱκεσίαις ἱλεώσασθαι τὸ κρεῖττον ἐμοὶ, τῷ πολλὰ πολλάκις αὐτῷ προσκεκρουκότι, μάλιστα νυνὶ δεομένῳ τῆς ἐπικουρίας ταυτησί· ἔπειτα δὲ ἡγεμόνα καὶ προστάτην ἀντ' ἐμοῦ τὸν μέγαν δομέστικον ἀφίημι ὑμῖν." Μετὰ δὲ τοῦτο τῶν αὐτοῦ λαβόμενος χειρῶν καὶ ταῖς

Ubi affuerunt lectulumque circumsteterunt, etiam Augustam vocari iussit. Qua praesente, ut maxime potuit, se confirmans, pauca ad eos his verbis locutus est: Meum erga vos propensum animum, amici, et quomodo me felicissimum iudicassem, si non solum in omnes communiter, sed in unumquemque vestrum seorsum potuissem quamplurimum benignitatis conferre: nec leviter, sed summo conatu reipublicae Romanorum, vobis adiutoribus, prodesse aliquid apud animum certum ac fixum habuerim, ratus omni vita suavius ac beatius, si pro iis contra barbaros decertans oppeterem, ipse, qui occulta et abscondita hominum perspicit, quique corda ac renes scrutatur, Deus novit. Quia vero is hoc fieri non debere statuit, (quo iudicio, ipse scit) sed, ut aspicitis, morte nos circumdedit, omnes manifesto exemplo commonens, nec pecuniae, nec reliquis quibuscumque fluxis ac pereuntibus incumbendum: verum uni tantum Deo serviendum, eique quamdiu supersis adhaerendum, et ad illam caelestem vitam cuique mores suos corrigendos aptandosque, primum quidem hoc sermone extremum vobis valedico, cum dubitem, ecquid vos de cetero allocuturus sim: rogoque, si quid me amatis, ut numen toties et tam graviter a me offensum, precibus vestris mihi tali tempore potissimum tali auxilio indigenti propitietis. Deinde ducem ac prae-

A.C. 1329 χερσὶ τῆς βασιλίδος περιαγαγὼν, ἐχούσης ἐν γαστρὶ Μαρίαν τὴν θυγατέρα, ἣ καὶ ὕστερον Μιχαὴλ πρὸς γάμον ἐξεδόθη B τῷ Μυσῶν βασιλέως Ἀλεξάνδρου, καὶ τῆς εἰκόνος ἐφεστηκυίας τῆς ὑπερφυῶς διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν τετοκυίας θεὸν τὸν κύριον Ἰησοῦν Χριστὸν „σοὶ ταύτην" ἔφη V. 194 „παραδίδωμι καὶ πάντας Ῥωμαίους, καὶ τοαποτοῦδε σοὶ μελήσει περὶ αὐτῶν." θρῆνος μὲν οὖν εὐθὺς ὑπὸ πάντων ἦρτο λαμπρὸς καὶ πάντες ἐτράποντο πρὸς οἰμωγὰς, καὶ οὐδὲν ἦν ὁρᾷν εἰ μὴ κοπτομένους καὶ κατατιλλομένους, καὶ ὁ διὰ πάντων ὀλοφυρμὸς ἐπιπολὺ τοῦ ἀέρος ἐχώρει καὶ πάνταχοῦ ἐξηκούετο συμμιγῆ· καὶ οὐδεὶς εἰ μὴ αὐτολιθίνην εἶχε ψυχὴν, ἴσχυσεν ἂν ἐγκρατὴς ἑαυτοῦ γενέσθαι καὶ μὴ ἐπιδακρῦσαι τοῖς γινομένοις. ἐφ' ἱκανὸν μὲν οὖν πάντες ἐνέμειναν τοῖς C ὀλοφυρμοῖς, οὐδενὸς ἰσχύσαντος ἀπολογίαν πρὸς τὰ εἰρημένα παρασχεῖν· ὀψὲ δὲ ἀναλαβόντες ἑαυτοὺς, συνέθεντο τὰ διατεταγμένα ἐκπληροῦν, καὶ προσαγορεύοντες τὰ τελευταῖα ἕκαστος βασιλέα, δάκρυσι περιῤῥεόμενοι ἀνεχώρουν. διὰ πάσης δὲ τῆς ἡμέρας ταυτησὶν, οὕτω προστεταγμένον ὑπὸ βασιλέως, τῶν ἐν τοῖς βασιλείοις θυρῶν ἀναπετασθεισῶν, πάντες εἰσιόντες ἀκωλύτως προσηγόρευον βασιλέα καὶ ἠσπάζοντο τὰ τελευταῖα, καὶ αὐτὸς ἀντασπαζόμενος αὐτοὺς, τὰ διατεταγμένα ὑπ' αὐτοῦ παρηγγύα στέργειν. οὕτω μὲν οὖν διὰ πάσης τῆς ἡμέρας τοῖς πᾶσι συντασσόμενος διετέλεσεν ὁ βασιλεύς. μετὰ D δὲ τοῦτο προσκαλεσάμενος τοὺς ἰατροὺς, ὥρκιζεν αὐτοὺς

sidem loco meo magnum domesticum vobis relinquo. Haec fatus, comprehensam eius dexteram dexterae imperatricis, tum Mariam filiam utero gestantis, quae postea Michaeli, Alexandri Moesorum regis filio nupsit, implicuit et ante illius imaginem, quae supra naturam ad salutem humani generis Deum Iesum Christum peperit, Tibi, inquit, hanc et Romanos omnes trado atque commendo: tibi ex hoc curae erunt. Illico se omnes in lamenta et gemitus effundere: nec videre licebat, nisi pectora ferientes et crinem laniantes. Tollebatur ad aethera communis eiulatus, et confusae omnium voces exaudiebantur: nec quisquam in tanto luctu, nisi e silice natus esset, a fletu temperare poterat. Diutule igitur universi ploratibus indulgebant: nec ad ea, quae audierant, respondere valebant. Ubi sero se collegerunt, praecepta imperatoris servare inter se decreverunt, eique ultimum vale singuli multis cum lacrymis dicentes recesserunt. Per diem vero totum imperatoris iussu apertis palatii portis, quicumque volebant, ingressi, salve et vale ei dicebant: ipseque vicissim valedicens hortabatur, uti a se sancita boni consulerent. Sic itaque diem omnibus valedicendo consumpsit. Post advocatis medicis, per Deum vivorum ac mortuorum iudicem eos adiuravit, ne ipsum vetarent sancto habitu monachorum indui. Hoc se petere, non quod

θεὸν τὸν ζῶντας κρινοῦντα καὶ νεκροὺς, μὴ ἀποστερῆσαι τοῦ A. C. 1329 σχήματος τῶν μοναχῶν, ἀλλ' ἐπιτρέψαι οἱ τούτου ἀξιωθῆναι. ἔφασκε δὲ μὴ ὡς ἤδη τελευτῶν ἐφίεσθαι τοῦ τοιούτου βίου, μηδ' αὐτοὺς πρὸς ἐκεῖνο ἀποβλέπειν, ὡς εἰ μὲν μηδεμία εἴη τοῦ περιγενήσεσθαι αὐτὸν ἐλπὶς, ἐπιτρέπειν, τοὐναντίον δὲ κωλύειν, ἀλλ' ἤδη πράττειν μηδὲν ἀναβαλλομένους· τοῦτο γὰρ αὐτῷ μᾶλλον εἶναι πρὸς ἡδονήν· καὶ ὅρκοις ἰσχυρίζετο, ἦ μὴν αἱρεῖσθαι μᾶλλον ἐν τούτῳ τῷ σχήματι ὅσα δήποτε ἔτη ἐπιβιοὺς ὑπὲρ τῶν πρότερον πεπλημμελημένων εὐθύνειν ἑαυτὸν καὶ διὰ μετανοίας θεῷ προσοικειοῦν, ἢ ἅμα τῷ περιβαλέσθαι ἀπελθόντα μὴ προσεπεργάσασθαι τῷ χαρίσματι. Ἀσκληπιάδαι δὲ πρῶτα μὲν παρεμυθοῦντο, ὡς μηδενὸς δεινοῦ συμβησομένου, ἔπειτα ὡς ἐπέκειτο σφοδρῶς, καὶ ἃ ἐδεῖτο ὑπισχνοῦντο πράττειν· ὁ δ' οὐδὲν μᾶλλον ἐπείθετο, εἰ μὴ καὶ ὅρκοις αὐτοὺς καταλάβοι, ἦ μὴν αὐτὸν τῆς καλῆς ἐπιθυμίας μὴ ἀποστερήσειν. P. 242

ιε. Ἡ νόσος δὲ ἐπετείνετο μᾶλλον καὶ προέκοπτεν ἐπὶ B τὸ χεῖρον· ἡ θεία δὲ αὐτῷ Παλαιολογίνα παροῦσα ἡ Καντακουζηνὴ ἤρετο περὶ τῆς μητρὸς τῆς βασιλίδος Ξένης, εἴ τι διατάττοιτο περὶ αὐτῆς. ἀποκριναμένου δὲ „μηδὲν", νομίσασα ὑπὸ τῆς νόσου μὴ ἐπαισθάνεσθαι τῶν λεγομένων, αὖθις περὶ τῶν αὐτῶν ἐπανήρετο, καὶ τρίτον· ὁ δ' ἀπεκρίνατο, μὴ δύνασθαι δύο τοῖς πράγμασιν ἐφιστάναι, καὶ ταῦτα γυναῖκας οὔσας. ὁ μέγας δὲ δομέστικος ἐξελθὼν, ὅρκους προσέταξε

iam morti proximus huiusmodi genus vitae desideraret: neque quod eos eo vellet respicere, ut si quidem sanitatis spes nulla esset, hoc ipsi concederent: sin aliqua, prohiberent; sed quod iam nihil cunctandum ac differendum putaret, quo facto esset opus, et hoc sibi iam potius esse voluptati. Quin cum sacramento asseverabat, potius eligere se in hoc habitu quotquot annis superviveret pro commissis antehac se punire, ac per poenitentiam Deo sese coniungere, quam potentia septum, nec divinae gratiae cooperatum emori. Medici primum eum consolari et affirmare, nihil gravius metuendum. Cum instaret vehementius, quae peteret, se facturos promittere. At ille nihilo magis quiescere, nisi et iureiurando eos adigeret, ipsum tam honesto desiderio non fraudaturos.

15. Ingravescente morbo et in deterius proficiente, Palaeologa Cantacuzena eius cognata astans interrogabat, quid de Xena matre decerneret. Cum responderet, Nihil: existimans illa, saevitia morbi non percepisse quae dicebantur, interrogationem iteravit et quaesivit etiam tertium. Tum ait, non posse duos imperare, idque feminas. Magnus autem domesticus egressus, pro inveterata consuetudine in morte imperatorum sacramenta indixit, super his capi-

A. C. 1329 γίνεσθαι κατὰ τὸ ἐπικρατῆσαν ἐξ ἀρχῆς ἔθος ἐπὶ τῇ βασιλέως
C τελευτῇ. καὶ ἐγίνοντο ἐπὶ τοῖσδε· στέργειν Ἄνναν τὴν βασι-
λίδα, κυρίαν καὶ δεσπόζουσαν τῶν πραγμάτων, καὶ τὴν πί-
στιν αὐτῇ καθαρὰν καὶ ἄδολον τηρεῖν· πείθεσθαι δὲ πάντα
καὶ μεγάλῳ δομεστίκῳ καὶ τὰ κελευόμενα ὑπ' αὐτοῦ μηδὲν
V. 195 ἀντιλέγοντας ποιεῖν. οὕτω μὲν οὖν ἐγίνοντο οἱ ὅρκοι, πάντων
ὀμνυόντων ἐφεξῆς. αὐτὸς δὲ τὰ πράγματα διῴκει ᾗ αὐτῷ
ἄριστα ἐδόκει ἔχειν καὶ τὰς ἀρχὰς ἐπέτρεπε τῶν πόλεων, οἷς
ἔκρινε δεῖν· τῶν δὲ ἀφῃρεῖτο. ὅσοι δὲ Ῥωμαίων εἰς Δι-
δυμότειχον ἔτυχον τότε παρόντες, οὐ τῆς συγκλήτου μόνον,
ἀλλὰ καὶ τῆς στρατιᾶς, τὸν μέγαν δομέστικον ἠνάγκαζον συν-
ελθόντες τὰ βασιλικὰ σύμβολα περιθέσθαι· τά τε ἄλλα ἰσχυ-
D ριζόμενοι δίκαιον εἶναι καὶ ὅτι οὕτω διατάξαιτο βασιλεύς. ὁ
δ' ἀνένευέ τε καὶ ἐκέλευε μὴ παρενοχλεῖν ὡς ἀδύνατα ἀξιοῦσι.
Κωνσταντῖνος δὲ ὁ δεσπότης, ὃν ἐν ἀρχαῖς τῆς ἱστορίας μά-
λιστα ἐκ Θεσσαλονίκης ἔφημεν ἀχθῆναι δεσμώτην, σχῆμά τε
ἠμφιεσμένον μοναχῶν καὶ Κάλλιστον ὠνομασμένον, ἔτι μὲν
ἐν δεσμωτηρίῳ κατὰ τὸ Διδυμότειχον ἐφρουρεῖτο. δείσαντες
δὲ οἱ παρόντες τῶν συγκλητικῶν καὶ τῆς στρατιᾶς, μή, τοῦ
βασιλέως τελευτήσαντος, ὁ δεσπότης τοῦ δεσμωτηρίου δια-
δρὰς, στάσιν πάλιν τοῖς Ῥωμαίοις ἐγερεῖ καὶ τὰ πράγματα
διαφθερεῖ, πόλεμον ἐμφύλιον κινήσας, τὴν βασιλείαν ἑαυτῷ
P. 243 περιποιούμενος, πρὸς τὸν μέγαν δομέστικον ἐλθόντες ἐδέοντο
αὐτὸν ἀποκτιννύναι. τοῦτο γὰρ μάλιστα τοῖς πράγμασι λυ-

tibus scilicet: Se Annam imperatricem dominam ac rerum principem agnoscere, eique fidem integram ac sinceram praestituros. Magno domestico in omnibus libenter obtemperaturos. Sic iuramenta concipiebantur, dabanturque ordine ab omnibus. Ipse porro in regunda republica quod optimum iudicabat, id sequebatur: et urbium praefecturas mandabat, quibus mandandae, et auferebat, quibus auferendae videbantur. Quotquot vero Romanorum tunc Didymotichi degebant, non optimatium modo, verumetiam de ducibus exercitus, ad illum accedentes urgebant ad usurpanda insignia imperatoria: asserentes, et aliis de causis id iustum esse, et quia imperator ita decrevisset. Renuebat domesticus petebatque, ne postulantes quae ipse facere neutiquam posset, molestiam sibi exhiberent. Constantinus despota, quem non longe a principio huius historiae Thessalonica in vinculis, cultu monachi adductum et Callistum appellatum demonstravimus, adhuc Didymotichi in carcere attinebatur. Timentes igitur qui aderant primores et principes exercitus, ne imperatore defuncto, despota e custodia elapsus, novam inter Romanos seditionem concitaret civilique bello sato imperium sibi asclsceret et rempublicam perderet, magnum domesticum adeuntes precantur, uti hominem e medio tollat; id enim communi

σιτελεῖν. ὁ μέγας δὲ δομέστικος δεινῶς τε ἀπάνθρωπον ᾤετο A. C. 1329 τὸ πρᾶγμα καὶ ὠμὸν, καὶ τοὺς ἄλλους ἐπεχείρει πείθειν, μηδέποτε λέγων παραστῆναι ἂν αὐτῷ περὶ αὐτῶν τοιαῦτα καὶ βουλεύσασθαι καὶ εἰπεῖν περὶ δεσπότου. εἰ γὰρ μὴ καὶ ἀφ' ἑαυτῶν αὐτοὶ συνεῖναι τὰ δέοντα ἦσαν ἱκανοὶ, ἀλλὰ τῷ γε βασιλεῖ ἐξῆν χρῆσθαι διδασκάλῳ αὐτοῖς πράγμασι παιδεύοντι ἄχρι νῦν, θεῷ δὲ θαῤῥεῖν ὡς καὶ εἰς τοὐπιὸν συνεσομένῳ καὶ παιδεύσοντι ἄχρι πολλοῦ, μὴ ὠμοὺς μηδὲ φονικοὺς εἶναι, καὶ ταῦτα πρὸς ὁμοφύλους. τίνος γὰρ κατεψηφίσατο θάνα- B τον ὁ βασιλεὺς, καὶ ταῦτα οὐκ ὀλίγους αὐτῷ ἐπιβουλεύοντας εὑρὼν καὶ αὐτόχειρας μονονουχί; εἰ δὲ αὐτὸς ὑπὲρ ἑαυτοῦ τοσαύτῃ ἐχρήσατο φιλανθρωπίᾳ, οὐδ' ἡμᾶς ὑπὲρ αὐτοῦ δίκαιον θηρίων ἀγριωτέρους ὀφθῆναι, ἀλλ' ἀποστάντας τῶν τοιούτων λογισμῶν, ἡμερώτερα καὶ μετριώτερα βουλεύσασθαι περὶ τ' ἀνθρώπου. οἱ δ' ἔφασαν οὐ περιόψεσθαι ἑκόντες εἶναι εἰς πολέμους ἐμφυλίους καὶ στάσεις καὶ ταραχὰς τὰ πράγματα χωρήσοντα Ῥωμαίοις. αὐτοὶ γὰρ εἰδέναι ὁπόσα ἐλυμήνατο τοῖς πράγμασιν ὁ τῶν βασιλέων πρὸς ἀλλήλους πόλεμος. διὸ μάλιστα μὲν αὐτοῦ δεῖσθαι τὰ ὑφορμοῦντα κακὰ ἐκποδὼν ποιεῖν, καὶ μὴ τοὺς περὶ βασιλείας ἐρίζοντας ζῆν C ἐᾷν. εἰ δὲ μὴ, τά τε δεύτερα, ἐκτυφλοῦν· ὡς ἂν μήτ' αὐτοὶ στερίσκωνται τοῦ ζῆν, μήτ' αὐτοῖς αἴτιοι γίνωνται πολλῶν κακῶν. Οἱ μὲν οὖν τοιαῦτα εἶπον· καὶ παρεσκευασμένοι

22. Pro αὐτοῖς Intpr. legebat ἄλλοις.

maximopere profuturum. Illi res plena inhumanitatis et crudelitatis visa: idque ipsum alii ut crederent, perficere nitebatur, autumans, nunquam se cogitaturum fuisse, eos in despotam istiusmodi ausuros meditari ac proloqui. Nam si ipsi per se, quid officii ratio exigeret, videre non possent: at imperatore licuisse pro magistro uti, qui usque nunc factis eos docuisset, et, quod Deo fidendum, etiam diutius affuturus, et in longinquum tempus eos docturus esset, ne saevi et ad civilem potissimum sanguinem fundendum proclives sint. Quem enim morte damnasset imperator, quamvis non paucos sibi insidiatos et tantum non sua manu eum iugulare cupientes invenerit? Quare si ipse pro se ipso tanta est usus humanitate, inquit, nec nos aequum est in nostra ipsorum causa belluarum immanitatem superasse existimari: sed his cogitationibus depositis, mansuetius ac moderatius in illum consulere. Tum Romani, haud se volentes imminentia bella civilia, seditiones rerumque omnium perturbationes passuros: nosse enim, quam diram cladem patratum inter imperatores bellum communi invexerit. Idcirco vehementer etiam atque etiam orare, malis impendentibus obviam eat, nec imperii aemulos vivere sinat: aut saltem oculos illis effodiat, ut hac ratione nec ipsi

A.C.1329 ἦσαν ὡς, εἰ μὴ πείθοιτο ὁ μέγας δομέστικος αὐτοῖς, καὶ
ἄκοντος ἐν δεσμωτηρίῳ τὸν δεσπότην ἀποκτενοῦντες. ὃ δὴ
καὶ αὐτὸς ἐκ τῶν λόγων συνορῶν καὶ βουλόμενος αὐτοὺς
ἀποτρέψαι τῆς ὁρμῆς Τὸ μὲν ἀποκτιννύναι, εἶπεν, οὐδενὶ
ἐξέσται τρόπῳ, οὐδὲ περιϊδεῖν ἂν αὐτὸς τὴν βασιλέως ψυ-
χὴν φόνῳ συγγενικῷ δι' αὐτὸν καταχρανθεῖσαν. τὸ δὲ ἀπο-
στερεῖν τῶν ὀφθαλμῶν, μάλιστα μὲν οὐδὲ αὐτῷ βούλεσθαι
D ἑκὼν εἶναι· ὡς ἂν δὲ μὴ ὑποψίαν παρέχῃ στάσεως καὶ τα-
ραχῆς, σκεψαμένῳ τῆς νυκτὸς, ὅ, τι ἂν λυσιτελοίη τοῖς πρά-
γμασι ποιήσειν εἰς τὴν ὑστεραίαν. Οἱ μὲν οὖν ἐπείθοντο τοῖς
λόγοις, οἰόμενοι ἀπαλλάξεσθαι πραγμάτων, ἐὰν τῶν ὄψεων
ὁ δεσπότης ἀποστερηθῇ. αὐτὸς δὲ νυκτὸς τρισὶ τῶν πιστο-
τάτων οἰκετῶν, τὸν δεσπότην ἐκέλευεν ἐκ τοῦ δεσμωτηρίου
V.196 λαβόντας, ἐν μυχοῖς κατακρύψαι γῆς ἀσφαλέστατα εἰς ὅσον
μάλιστα ἂν ἐξῇ· κατὰ δὲ τὸν παραῤῥέοντα ποταμὸν, ὃς Ἄδρα
καλεῖται, ἀκάτιον ἀνατρέψαι, φήμην δὲ κρύφα διαδοῦναι,
πρῶτα μὲν ὡς διαδράσειε τοῦ δεσμωτηρίου ὁ δεσπότης, ἔπει-
P.244 τα δὲ ὡς ἀποπνιγείη κατὰ τὸν ποταμόν. οἱ μὲν οὖν ἐποίουν
κατὰ τὰ κεκελευσμένα· καὶ ὁ δεσπότης ἐκέκρυπτο ἐν ἀδύ-
τοις γῆς. ἅμα δὲ πρωῒ τοῦ ὄρθρου φήμη διεδόθη, ὡς δια-
δράσειε τοῦ δεσμωτηρίου ὁ δεσπότης· καὶ πάντες ἦσαν ἐν
θορύβῳ καὶ ταραχῇ, οἰόμενοι ἤδη τὰ πράγματα εἰς στάσιν
χωρεῖν. ἐπεὶ δὲ ἐπύθοντο περὶ τοῦ ἀνατετραμμένου ἀκατίου

2. ἄκοντος ED. P. pro ἄκοντες.

vitam amittant; et aliis multorum incommodorum auctores ne fiant. Haec fuit eorum postulatio. Quod nisi magnus domesticus annueret, vel invito ipso, despotam in carcere contrucidare constituerant. Id cum et ipse ex eorum sermone animadverteret, et eos ab hoc turbulento animi motu avocare cuperet, occidi illum nullo modo permissurum dixit; nec passurum, imperatoris animam cognati caede sua opera contaminari. Ut autem vel lumina ei effodiat, etiam huc adigi neutiquam posse. Verum ut ne seditionis ac tumultus materiam ministrare videatur, noctu se capturum consilium, et die crastino facturum, quod e republica fuerit. Quibus illi verbis pacati, omni iam molestia defunctos se arbitrabantur, si despota exocularetur. Ea nocte famulis tribus, iisque fidissimis mandat, despotam carcere educant: loco subterraneo quam liceat tutissime abscondant: in Adra praeterlabente fluvio naviculam evertant; rumorem clanculum serant, primum quidem e custodia profugisse, deinde in flumine summersum periisse. Famuli iussa facessunt, despotam sub terra locis secretissimis occulunt. Simul atque luxit, fama diditur, despotam e carcere evasisse. Ingens statim tumultus ac turbae: et res omnium iudicio ad seditionem spectare. Sed ubi de subverso

κατὰ τὸν ποταμὸν, λογισάμενοι αὐτὸν ἐκ προνοίας ἀποπεπνῖχθαι, A. C. 1329 κατεστέλλοντό τε θορυβοῦντες καὶ οὐκέτι περὶ στάσεως προσδοκίαν οὐδεμίαν εἶχον. ὁ δεσπότης μὲν οὖν οὕτω διέφυγε τὸ ἀποθανεῖν πρὸς τῷ μηδὲ τῶν ὄψεων ἀποστερηθῆναι· Λάσκαριν δὲ τὸν Καλαμάνον ὁ μέγας δομέστικος εἰς Βυζάντιον B πέμψας πρωτοστράτορι ἐπιτροπεύοντι αὐτοῦ τὰ περὶ βασιλέως ἐδήλου· ἐκέλευέ τε αὐτόν τε ὀμνύειν τὸν προειρημένον ὅρκον, καὶ τοῖς ἄλλοις ἐπιτρέπειν τῶν συγκλητικῶν καὶ τοῖς δυνατοῖς τῶν Βυζαντίων· καὶ ὃς μελλήσας μηδὲν, ἐποίει τὰ προστεταγμένα.

ιϛ΄. Ἀνδρόνικος δὲ ὁ πρεσβύτερος βασιλεὺς πυθόμενος C περὶ βασιλέως τοῦ ἐγγόνου, ὡς νοσήματι ὀξεῖ κατασχεθεὶς προσδόκιμός ἐστιν ἀποθανεῖν, ὁρῶν δὲ καὶ τοὺς τελουμένους ὅρκους, οὓς ἐπὶ βασιλέως ᾔδει γινομένους τελευτῇ, δείσας μὴ τελευτήσαντος αὐτοῦ νεωτερισθῇ τι περὶ αὐτὸν καὶ ὑπό τινων ἀποστερηθῇ τὸ ζῆν οἰησομένων ἐπιθήσεσθαι πάλιν τῇ ἀρχῇ Ῥωμαίων, ᾐτήσατο γενέσθαι μοναχὸς, οἰόμενος οὕτως D ἂν διαφυγεῖν τὸ ἀποθανεῖν, ἂν ὁ ἔγγονος τελευτήσῃ· ἐνδόντος δὲ καὶ πρωτοστράτορος, ῥάκη τε ἐνέδυ καὶ Ἀντώνιος ἐξ Ἀνδρονίκου μετωνομάσθη. Ἀνδρόνικος δὲ ὁ βασιλεὺς τῇ νόσῳ συνεχόμενος δεινῶς καὶ ὅσον οὔπω νομίζων αὐτὸν ἀπολείψειν καὶ τὸ ζῆν, τοὺς ἰατροὺς προσκαλεσάμενος „ὑμεῖς" εἶπεν „ἴστε σαφῶς ὅσα τε διειλέχθην πρὸς ὑμᾶς αὐτὸς τοῦ τῶν μοναχῶν ἐφιέμενος σχήματος ἐπιτυχεῖν, οὐχ ὡς ἤδη

actuariolo auditum est, divinitus aquis praefocatum rati, turbas facere et seditionem timere desierunt. Itaque despota et mortem et oculorum orbitatem effugit. Domesticus Calamanum Lascarim Byzantium ad protostratorem praefectum super statu imperatoris significando misit: praecepitque, ut et ipse, de quo dixi, iuramentum ederet, atque eo principes civitatis obligaret; qui maturrime paruit.

16. Andronicus porro senior, nepotem difficili morbo conflictantem prope a ianua lethi abesse accipiens et iam, ut in obitu imperatorum mos est, sacramenta dici: timensque, ne eo extincto quidpiam novi se fieret: et reperirentur, qui sibi animam extorquerent, quod ipsum rursus imperium invasurum putarent, rogavit in numerum monachorum referri: quod ita demum se vitam retenturum confideret, et protostratoris permissu vestem detritam induit, mutatoque nomine, pro Andronico Antonius appellatus est. At imperator cum ob morbi magnitudinem spiritum ultimum iamiam se ducturum crederet, coactis medicis, Probe recordamini, inquit, quae vobis ad monasticam vestem obtinendam dixerim: non quia de vita prorsus desperassem; sed quia arbitrarer, etiamsi firmam spem sospitatis haberem, in utramque partem id mihi bono fore. Sive enim vivo-

A. C. 1329 παντάπασιν ἀπηγορευκὼς τὸ ζῆν, ἀλλ' εἰ καὶ βεβαίας ἔχοιμι
τοῦ περιέσεσθαι τὰς ἐλπίδας, οἰόμενος ἔχειν ἀμφοτέρωθεν
καλῶς. ἄν τε γὰρ ἀπέλθω πρὸς τοὺς πλείους, ἐν καλῷ μοι
P. 245 κείσεται τῷ ἀδεκάστῳ κριτῇ τὸ τῆς μετανοίας ἔχοντα σχῆμα
ὀφθῆναι ἐπὶ τῆς δίκης ἐκείνης τῆς φοβερᾶς· ἄν τε περιγέ-
νωμαι τῆς νόσου, μᾶλλον βέλτιον, ὅσῳ καὶ καιρὸν εὑρήσω
μετανοίας ἀπολύσασθαι τὰ πεπλημμελημένα. ὅσα τε ἐπηγ-
γείλασθε αὐτοὶ, καὶ ὅρκοις ἐπιβεβαιώσαντες τοὺς λόγους
V. 179 μὴ τοῦ τοιούτου καλοῦ ἀποστερήσειν, νυνὶ δὲ τοὐναντίον
ἅπαν ὁρῶ γινόμενον. αὐτός τε γὰρ ἤδη ὀλίγον ἀποδέω τοῦ
ἀψύχοις ἐοικέναι, καὶ ὑμᾶς πάντα μᾶλλον ἢ τὸ τὰ συμφέ-
ροντα καὶ φίλα ἐμοὶ διανοουμένους πράττειν ὁρῶ. διὸ δὴ
καὶ δέομαι ὑμῶν, μὴ ἐπὶ πλεῖον καταχρήσασθαι τῇ ἀμε-
λείᾳ, οὐ μέτριά τινα, ἀλλ' εἰς αὐτὰ τὰ καιριώτατα βλα-
B πτούσῃ· ἀλλ' ὃ μὴ πρότερον, νυνὶ σπουδάσαι καταπράξα-
σθαι πρινὴ τὸ τέλος ἐπιστῇ." Βασιλεὺς μὲν οὖν τοιαῦτα
εἶπεν· οἱ δὲ ἰατροὶ μέγα ἀνοιμώξαντες καὶ πολλὰ πολλάκις
ἐπευξάμενοι, εἰ μηδὲ τὴν ἀρχὴν ἐν ἐπιστήμῃ τῆς θεραπευτι-
κῆς ἐγένοντο, ὥστε τοιαῦτα ἐπιδεῖν, ἐπέτρεπον ὅ, τι ἂν βού-
λοιτο βασιλέα πράττειν περὶ ἑαυτοῦ. ὁ δὲ ἀκούσας, ἔνθους
τε ἐγένετο ὑφ' ἡδονῆς, καὶ ὡς ἤδη λαμπρά τινα εὐτυχηκὼς,
τὸν μέγαν δομέστικον μετεκαλεῖτο καὶ μετὰ σπουδῆς ἐκέλευε
πατέρα τὸν πνευματικὸν καλεῖν τὸν ἑαυτοῦ· ὁ δὲ τῶν γεγενη-
μένων εἰδὼς μηδὲν, ἐπυνθάνετο τὴν αἰτίαν τῆς κλήσεως ἥτις

16. πληνὴ ed Par., πρὶν ἢ ed. Ven.

rum numero exemptus fuero, proderit mihi coram incorrupto iudice in terribili illo iudicio cum poenitentium habitu apparere: sive convaluero, multo melius erit, concessum vivendi spatium in peccatis meis per poenitentiam expiandis consumere. Ceterum vos, qui iurati promisistis, non me tali bono privaturos, nunc omnino pugnantia facitis, ut video. Nam cum ego paulum distem a mortuis, vos alia potius omnia, quam quae mihi utilia et iucunda sint, cogitatis. Quamobrem oro, ne diutius negligentes, me non mediocri, sed summo detrimento multetis: et quod hactenus omissum est, nunc resarcire studeatis, priusquam finis vitae superveniat. Hactenus imperator. Medici erumpentes in lacrymas multumque ac saepe optantes, artem medendi nunquam didicisse, ne talia intuerentur, imperatorem suo sibi arbitrio permiserunt: qui prae laetitia vix mente constans, ac velut dona beata consecutus, magnum domesticum accersit, patremque suum spiritualem vocatum celeriter ire iubet. Ille ignarus omnium, quam ob causam accersendus sit quaerit: qua intellecta, se facturum recipit: rem indigne fert, medicos acerrime increpat. Hora propemodum transacta et patre spirituali

εἴη. ἐπεὶ δὲ μάθοι, βασιλεῖ μὲν ὑπισχνεῖτο τὰ κελευόμενα A. C. 1329
ποιεῖν, τοῖς ἰατροῖς δὲ ἐπετίμα τε οὐ μετρίως καὶ αὐτὸς ἤνεγ- C
κεν οὐκ ἀνεκτῶς. τριβομένης δὲ ἐπιπολὺ τῆς ὥρας καὶ τοῦ πνευματικοῦ πατρὸς οὐ παραγινομένου, αὐτός τε ἐπέσπευδε τὴν ἄφιξιν καὶ τοὺς ἰατροὺς τὴν αἰτίαν τῆς μελλήσεως ἠρώτα· συνεὶς δὲ ἀπὸ τῶν λεγομένων ὑγιὲς μηδὲν αὐτοὺς λέγειν, ἐστοχάζετο παρὰ τοῦ μεγάλου δομεστίκου κωλύεσθαι τὴν πρᾶξιν, καὶ μετακαλεσάμενος αὐτὸν, τῆς τε ἐκ πρώτης ἡλικίας πρὸς ἀλλήλους αὐτὸν ἀνεμίμνησκε φιλίας καὶ τοῦ μηδέπω μητοδαμῶς παρὰ πάντα τὸν βίον οὐδέτερον ἑτέρῳ ταραχῆς καὶ σκανδάλου ἀφορμὴν παρεσχηκέναι. νυνὶ δὲ ἀπορεῖν ὅθεν ὁρμώμενος οὕτως ἐξεπίτηδες ἐβουλήθη ἀχθόμενον αὐτῷ εἰς ᾅδην D
παραπέμψαι. „μὴ δὴ τοιαῦτά με ἐργάσῃ κακὰ, ὦ φίλων" ἔλεγεν „ἄριστε, μηδὲ καταπρόῃ μοι τὴν ἐλπίδα τῆς σωτηρίας, ἀλλ' ὥσπερ πολλάκις ὑπὲρ τοῦ δυστήνου σώματος τουτουῒ πάσῃ σπουδῇ καὶ προθυμίᾳ σεαυτὸν ἐνέβαλες εἰς τοὺς κινδύνους, οὕτω νῦν πολλῷ πλέον κινδυνεύοντος κατὰ ψυχὴν, πρόστηθι πάσῃ προθυμίᾳ, οὐ μόνον διὰ τὴν φιλίαν, ἀλλ' ἵνα μὴ καὶ δίκας ὑπόσχῃς τῷ πάντων κριτῇ, τό γε εἰς σὲ ἧκον ἀποστερήσας αὐτὸν ψυχῆς, ὑπὲρ ἧς αὐτὸς θάνατον εἵλετο καὶ σταυρόν. μηδὲ κατάτριβε τὸν καιρὸν, οὕτως ἀναγκαῖον ὄντα, ὃν αὖθις εὑρεῖν οὐκ ἐξέσται διαφυγόντα νῦν, ἀλλ' εὐχῶν τε πολλῶν δεόμενον καὶ σπουδῆς οὐ τῆς τυχούσης. P. 246
ἐγὼ γὰρ καὶ ὃν ἀναλίσκω σοὶ διαλεγόμενος χρόνον, ζημίαν

12. Intpr. leg. αὐτόν.

nondum veniente, imperator ut adveniret instabat; et ex medicis causam cunctationis sciscitabatur. Sed cum nihil sincerum ac simplex responderetur, a magno domestico moras obiici negotiumque impediri coniiciebat. Quem adesse iussum, amicitiae a parvis institutae admonuit et quomodo nunquam in omni vita alter alteri aut turbationi aut offensioni fuisset. Nunc autem nescire se, quo impulsu sic de industria se tanto gravatum pondere ad inferos velit transmittere. Ne, inquit, amicorum optime, tanto malo me mactaveris: neve salutis meae spem prodideris; sed quemadmodum crebro pro hoc misero corpore cupidissime studiosissimeque in discrimina te obtulisti: sic nunc multo in maiore periculo versantem animam meam defende: idque non propter amicitiam nostram solum, verumetiam ne universorum iudex poenas abs te reposcat, qui, quantum in te fuit, animam illi abstuleris, pro qua ipse in cruce suffixus necem pertulit. Noli hoc tempus, quaeso, tam necessarium quodque in multis precibus cum studio singulari ponendum est, negligere atque conterere: quod si nunc praeterierit, frustra requiretur. Ego vero quod hoc quantumcumque intervallum tecum loquens consumo, mihi damno-

A. C. 1329 ἥγημαι τὴν ἐσχάτην." Ὁ μέγας δὲ δομέστικος ἀποκρίνασθαι μὲν ἴσχυσεν οὐδὲν, τῆς ψυχῆς ἤδη τῇ λύπῃ καταβεβαπτισμένης· ἔξω δὲ ἐλθὼν ἀνῴμωξέ τε πικρῶς καὶ τὸν φίλον ἀνεκαλεῖτο, καὶ μικροῦ μὲν ἐδέησεν ἀφεῖναι καὶ τὴν ψυχὴν ἐπὶ τοῖς θρήνοις· ὅμως δ' ἀνελάμβανέ τε πάλιν ἑαυτὸν καὶ τὰς ὄψεις ὕδατι τῶν δακρύων ἀποκαθαίρων, ὥσπερ ἄλλου πάσχοντος ἀδάκρυτος ὡρᾶτο βασιλεῖ. ὡς δὲ ὁ βασιλεὺς συχνοὺς ἀγγέλους ἐπιπέμπων, τὴν τοῦ πνευματικοῦ πατρὸς ἄφιξιν ἐπέσπευδεν, ὁ μέγας δομέστικος πέμψας τὸν μὲν πνευματικὸν
B ἐκέλευεν ἔξω Διδυμοτείχου χωρεῖν καὶ διατρίβειν ἐν προαστείοις ἄχρις ἂν αὐτὸς τὴν εἴσοδον ἐνδῷ, πρότερον δὲ μὴ εἰσιέναι, μηδ' εἰ πάντες ἄνθρωποι ἐπιτρέποιεν· ἕτερον δὲ ἀντ' ἐκείνου παραλαβὼν, εἰσήγαγεν ὡς βασιλέα. ἔφασκέ τε τὸν μὲν εἰωθότα τῆς πόλεως ἀποδημεῖν, καὶ ὅρκους προστιθεὶς ὡς ἀληθεύοι, τουτονὶ δὲ εἰσαγαγεῖν οὐδαμῶς ὄντα σοι ἐν συνηθείᾳ, καὶ
V. 198 πάνυ ἄκοντα διὰ τὸ βιάζεσθαι ὑπὸ σοῦ. Βασιλεὺς δὲ αὐτὸν προσαγορεύσας „ὥρα σοι, πάτερ," ἔλεγε „τοῖς πνευματικοῖς χρῆσθαι φαρμάκοις καὶ τὴν ἐπιστήμην ἐπιδείκνυσθαι τὴν πασῶν φιλανθρωποτάτην, καὶ ψυχὴν ὀδυνωμένην καὶ κακῶς πάσχουσαν ὑπὸ πολλῶν τραυμάτων καὶ πταισμάτων ἀνακαλεῖσθαι
C καὶ πρὸς σωτηρίους τρίβους καθοδηγεῖν, καὶ μετανοίας ἐνδύμασι καὶ πράγμασι τὸν κριτὴν ἵλεων αὐτῇ προκατασκευάζειν." ὁ δ' ἀντησπάζετο μὲν βασιλέα καὶ αὐτὸς, μὴ ἐξεῖναι δὲ αὐτῷ ἔλεγεν, ἔτι ζῶντος τοῦ πατρὸς, ᾧ φέρων ἑαυτὸν ὑπέταξας

sissimum iudico. Ad haec magnus domesticus dolore absorptus obmutuit; egressusque foras, amici nomen inter amaras lacrymas ingeminavit; quas tam largiter profudit, ut cum ipsis pene animam profunderet. Verumtamen se collegit iterum, ablutaque facie, imperatori, velut alio quopiam, non se aegrotante, ne flevisse quidem visus est. Qui cum nuntios duplicans, spiritualem patrem ad se accelerare iuberet, magnus domesticus per certum hominem patrem illum monuit, ut Didymoticho exiens, in suburbio tantisper maneret, quoad ipse ingressum illi permitteret: citius caveret ingredi, quamvis id omnes mortales ei demandarent. Alium vero in eius locum subornatum ad imperatorem introducit, narrans, ordinarium abesse peregre: et addit iuramentum, se vera loqui; hunc autem etsi minime consuetum, eius coactu ab se invito ac nolente adduci. Imperator eo salutato, Tempus est, inquit, pater, ut spiritualem mihi medicinam facias scientiamque in me exerceas omnium humanissimam: animamque multis molestiis discruciatam et afflictam sanes atque in salutarem semitam deducas, et poenitentiae indumentis operibusque iudicem illi ad misericordiam praepares. Ille imperatorem resalutans, non ei licitum esse dixit, vivo etiamnum patre, cui se in spiritua-

πνευματικῶς, ἕτερον ἀνθαιρεῖσθαι, καὶ ταῦτα ἐν καιροῖς μάλιστα A.C. 1329 τοιούτοις, ὅτε βούλει μεταλλάξασθαι τὸν βίον καὶ πρὸς ἀγγελικὴν μετατάξασθαι πολιτείαν, ἐπεὶ καὶ διὰ βίου παντὸς τούτῳ χρῆσθαι δίκαιον διδασκάλῳ καὶ ὡς τῶν κρειττόνων τινὶ προσέχειν, ἀλλὰ μὴ ἁπλῶς οὕτω καὶ ἀπερισκέπτως ὑπὸ τοῦ τυχόντος τὰ τοιαῦτα μυσταγωγεῖσθαι. Τοιαῦτα γὰρ ἦν δεδιδαγμένος λέγειν. βασιλεὺς δὲ ἐδυσχέραινε μὲν οὐ μετρίως πρὸς D τοὺς λόγους καὶ τὸν μέγαν δομέστικον ἐν αἰτίαις ἐποιεῖτο, ὑπ' αὐτοῦ φάσκων κωλύεσθαι σωτηρίας τυχεῖν. συνηγοροῦντος δὲ αὐτοῦ τοῖς εἰρημένοις ὑπὸ τοῦ πνευματικοῦ καὶ διαβεβαιουμένου μὴ παρεῖναι ἐκεῖνον, ᾧ δίκαιον τὰ τοιαῦτα ἐπιτρέπειν, ἔτι τε ἐπαγγελλομένου ὡς, εἴ ποτε ἐπανήξει, μηδὲν ἀναβαλλόμενος παρέσται, ἡσύχασε πεισθεὶς ὁ βασιλεύς. Βαρὺς δὲ, τῶν ἰατρῶν ὁ μάλιστα ἐμπειρότατος, δεινὰ ἐποιεῖτο καὶ οὐδὲ ἀνέξεσθαι ἐδόκει, εἰ βασιλεὺς ἀποστερήσοιτο τῆς σωτηρίας ἐν χρῷ κινδύνου καθεστὼς, ὑπὸ τοῦ μεγάλου δομεστίκου παραχθεὶς, ὥρμητό τε δῆλα βασιλεῖ ποιεῖν ὅσα τε περὶ τὸν πνευματικὸν πατέρα συσκευασθείη καὶ ὡς οὐδὲν ἂν εἴη κώλυμα, εἰ μὴ παρείη P. 247 ὁ πνευματικὸς ἐκεῖνος, ἕτερον τὰ ὅμοια ποιεῖν, τῆς αὐτῆς ἐξουσίας ὑπὸ τοῦ παντουργοῦ πνεύματος πᾶσι πνευματικοῖς πατράσιν ἐξίσης κεχορηγημένης. συνιδὼν δὲ ὁ μέγας δομέστικος ὅ, τι βούλεται ὁ Βαρὺς, εἰς τὸ ἐξώτερον οἴκημα παραλαβὼν, „στοχάζομαί σε" εἶπε „βούλεσθαι βασιλέα παρακινεῖν τὸ μο-

21. κεχορηγημένης ed. Par., recte ed. Ven.

libus subiecisset, alium pro eo deligere: tali praesertim articulo, quo hinc migraturus et inter ordines angelicae reipublicae collocandus esset: quandoquidem et in omni vita eo praeceptore uti et tamquam Deo alicui auscultare iustum sit: nec ita obiter et temeritate quadam a quocumque his sacris initiari: huiusmodi enim ut loqueretur, edoctus erat. His verbis non parum irritatus imperator magnum domesticum in crimen vocavit, ab eo salutem suam impediri affirmans. Quicum suffragaretur his, quae spiritualis dixerat, testareturque abesse illum, cui oporteret talia committere, et insuper polliceretur, si quando rediret, sine procrastinatione affuturum, credens imperator, quievit. Ceterum Barys medicorum longe experientissimus indignari viderique haud passurus, imperatorem, cuius vita in extremo discrimine esset, a magno domestico delusum, salutem amittere. Atque imperatorem docere instituit, quae circa patrem spiritualem per technam conficta essent: nihilque impedire, quo minus alius absentis munus fungeretur, cum omnium opifex omnibus patribus spiritualibus ex aequo eamdem potestatem condonaverit. Domesticus odoratus, quid Barys coqueret, eum extra conclave educit et, Quantum coniectura praecipio, inquit, imperatorem dementare vis, ut

A.C.1329 ναχῶν ἐνδῦναι σχῆμα ὑφ' ὅτου ἂν τύχοι πατρὸς πνευματικοῦ.
σὺ δ' αὐτὸς καὶ τὴν ἀρχὴν εἰς τοῦτο παρώρμησας βασιλέα.
τότε μὲν οὖν ἡ ἀπειρία καὶ ἡ ἄγνοια παρῃτήσατό σε μὴ κακῶς
B παθεῖν· ἂν δ' αὖθις τοῖς αὐτοῖς ἢ καὶ χείροσιν ἐπιχειρῇς,
ἴσθι μὴ ἄνευ τιμωρίας ἀπαλλάξων. πρῶτον μὲν γὰρ οὐκ ἐξ
ἀγορᾶς ἐστιν ὠνήσασθαι βασιλέα, ἂν τοῦ ὄντος ἀποστερηθῶ-
μεν, ἔπειτα εἰ καὶ τοῦτ' ἐξῆν, ἀλλ' οὐκ ἂν τοιούτῳ γε ἐνετύ-
χομεν τὰ πάντα βελτίστῳ. τοὺς γὰρ μέλλοντας τοσαύτην προ-
στασίαν ἐγχειρισθήσεσθαι πραγμάτων ὁ τὰ πάντα προορώμε-
νος θεὸς ἀναλόγους πρὸς τὸ τῆς ἀρχῆς μέγεθος δημιουργεῖ.
ἄλλως τε, πόσοις τῶν νοσήμασι δεινοῖς παλαιόντων, ὑπὸ μὲν
τῶν ἰατρῶν συμβέβηκεν ἀπαγορευθῆναι καὶ εἰς αὐτὸ τὸ
ἔσχατον δοκοῦν κατηντηκέναι τῆς ζωῆς, ὑπὸ δὲ τοῦ τὰ πάντα
οἰκονομοῦντος καὶ μετασκευάζοντος ᾗ βούλεται, ἀνεβίωσάν τε
C αὖθις καὶ ῥαΐσαντες οὐκ ἐλάσσω τῶν προτέρων ἔτη ἐπεβίω-
σαν; τί οὖν θαυμαστὸν, εἰ θεοῦ βουλομένου, τοιαῦτα παρα-
V.199 πλήσια καὶ ἐπὶ τοῦ ἡμετέρου συμβήσεται βασιλέως; οὗ δὴ
ἕνεκα σοὶ λέγω, ἠρεμεῖν καὶ μὴ βασιλέα παρενοχλεῖν, ἀλλ' ἐᾶν
οὕτως ὅπως ἔχει σχήματος. κἂν μὲν θεὸς Ῥωμαίοις ἵλεων
ἐπιβλέψας, τὸν σφέτερον χαρίσηται βασιλέα, αὐτῷ τε τὰς δυ-
νατὰς ἀποδώσομεν εὐχαριστίας καὶ ἡμῖν αὐτοῖς ἀντὶ μεγίστης
εὐτυχίας τὴν ὑγείαν λογιούμεθα βασιλέως· ἂν δ', ὃ μὴ γέ-
νοιτο, κρίμασιν οἷς οἶδεν αὐτὸς, ἐκ τῶν προσκαίρων καὶ ἐπι-

habitum monasticum e cuiuscumque patris spiritualis manibus induat, ad quod illum iam pridem exstimulasti. Ac tunc quidem quod expertus tale quidquam non esses, conditionemque rei ignorares, a supplicio excusabare: si denuo quippiam huiusmodi aut deterius aliquid conabere, scito tibi non sic abiturum. Primum enim si hoc imperatore orbemur, non dabitur nobis in foro rerum venalium emere alium. Atque ut daretur, in talem, id est omnimodis optimum, non incidemus. Nam quorum in manus tantum imperium tradendum est, eos omnia prospiciens Deus pro rata portione ad principatus magnitudinem condere atque aptare consuevit. Ad hoc, quam multi cum periculosis morbis luctantes et a medicis desperati atque ad extremum, ut apparebat, halitum redacti, ab eo qui regit commutatque omnia prout vult, integritati vitae ac valetudinis restituti, praeteritis annis non pauciores supervixerunt? Nihil ergo novum, si Dei nutu imperatori nostro idem contigerit. Quam ob causam praedico tibi, quiescas, nec illum obturbes: sed hunc quem gerit habitum gerere sinas. Et si quidem Deus Romanos propitio lumine respiciens, imperatorem illis redonaverit, et quantas mens nostra capit gratias agemus et sanitatem eius in maxima felicitatis parte numerabimus. Sin, quod absit, occulto Dei iudicio ab hisce fluxis terrenisque ad meliora ac durabiliora palatia evolarit, qui est iustus iudex et cordium

γιέων πρὸς τὰ βελτίω καὶ μονιμώτερα βασίλεια καταστήσῃ, A. C. 1329
δίκαιος ὢν κριτὴς καὶ καρδιῶν καὶ λογισμῶν ἐταστής, τήν τε D
πρόθεσιν κρινεῖ καὶ τῶν ἴσων ἀξιώσει γερῶν τοῖς μοναχοῖς,
ὅτι μὴ προθέσει τῇ σφετέρᾳ, ἀλλ' ἀπατηθεὶς ἀπεστέρηται τοῦ
τοιούτου καλοῦ." Τοιαῦτα τοῦ μεγάλου δομεστίκου εἰρηκότος,
ὁ Βαρὺς οὐ καθεκτὸς ἦν, ἀλλ' οὐ περιόψεσθαι ἔφασκε βασι-
λεῖ οὕτως ἐν ἐσχάτοις κινδύνοις ὄντι μὴ τὴν δυνατὴν βοή-
θειαν εἰσενεγκεῖν· οὐ μόνον ὡς ἰατρὸς ὤν, εἰ μὴ τὰ δέοντα
παραινέσει, τὰς ἐσχάτας τίσων δίκας, ἀλλ' ὅτι καὶ ὅρκοις
πρὸς βασιλέως κατελήφθη ἔνδηλα αὐτῷ ποιῆσαι τἀληθῆ περὶ
ἑαυτοῦ. νυνὶ δὲ ἤδη οὐδενὶ τρόπῳ βασιλέως ἐν τοῖς ζῶσιν
ἐσομένου, τί χρὴ τῆς ψυχῆς τῆς σωτηρίας ἀμελεῖν ἐλπίσι κε-
ναῖς αἰωρουμένους; Τοιαῦτα λέγοντι Βαρεῖ καὶ ἤδη ὡρμη- P. 248
μένῳ βασιλεῖ δῆλα ποιεῖν ὁ μέγας δομέστικος ἠπείλησεν ἀπο-
κτενεῖν, εἰ μὴ παύοιτο τοιαῦτα δρῶν. εἰδώς τε αὐτὸν δειλό-
τατον ὄντα καὶ θορυβῆσαι διανοηθείς, ἐξαγαγὼν ἔξω, τοῖς
παροῦσι Ῥωμαίων εἶπεν· „Ἄνδρες Ῥωμαῖοι, ἰατρὸς οὑτοσὶ
ἐμοὶ μὲν πείθεσθαι βούλεται οὐδαμῶς, ἑαυτῷ δὲ πεποιθὼς
ὡς δή τις ὢν τῶν τε τὰ ὄντα καὶ τὰ ἐσόμενα εἰδότων, ὥρμη-
ται ἡμῖν τὸν βασιλέα μονάζοντα ἐκ βασιλέως ἀποδεῖξαι. εἰ
δὴ τὰ πραττόμενα ὑμῖν κατὰ γνώμην, εἰδείητε ἂν αὐτοί". οἱ
δ' αὐτίκα περιστάντες τὸν ἰατρὸν, ἐθορύβησάν τε οὐ μετρίως
καὶ καινήν τινα αὐτῷ ἠπείλησαν ἰδέαν ἐξευρήσειν θανάτου, B

cogitationumque scrutator, de eius proposito sententiam feret: eumque non sua sponte, sed aliena fraude hoc bono privatum pari cum monachis praemio dignabitur. Haec ubi dicta domesticus dedit, Barys impotenter erumpens ait, non se in extremo periculo versantem imperatorem deserturum; sed quam posset opem ei allaturum: non modo quia nisi salutaria suaserit ut medicus, gravissimas poenas luiturus sit; sed etiam quia sacramento ei spoponderit, veritatem de ipso non celaturum. Nunc cum nequaquam vita illi de cetero suppeditatura sit, cur ab inani spe pendendum et salus animae illius negligenda? Haec loquentem Baryn et iam imperatori parantem quod res erat patefacere, magnus domesticus, nisi facto supersederet, se interfecturum minabatur. Cumque sciret hominem esse timidissimum et qua via eum perterreret mente agitaret, foras educit, praesentesque Romanos ipso audiente sic alloquitur: Medicus iste, viri Romani, mihi morem gerere omnino recusat, sibique multum tribuens, perinde quasi unus sit eorum, qui praesentia et futura norunt, id agit, ut nobis imperatorem monachum reddat. Quod num animis vestris iucundum accidat, ipsi noveritis. Illi repente medicum circumfundunt, tumultuosius fremunt ac nisi coepta deserat, inaudito genere mortis se illum deleturos comminantur. Quibus minis perterritus, sententia decessit. Verum enimvero impera-

A. C. 1329 εἰ μὴ παύοιτο τοιούτοις ἐγχειρῶν. ὁ δὲ ἔδεισέ τε καὶ ἐπείθετο τοῖς ἀπειλοῦσι. βασιλεὺς δὲ, καίτοι τοῦ νοσήματος αὐξανομένου καὶ προσθήκην οὐ μικρὰν ὁσημέραι δεχομένου, ὅμως εἶχεν ὑγιῶς τὰς φρένας καὶ οὐδὲν ὑπὸ τοῦ νοσήματος, καίτοι περὶ τὴν κεφαλὴν ὄντος, παρεβλάπτετο· καὶ τὸν πνευματικὸν πατέρα συνεχῶς ἀνεκαλεῖτο καὶ ἐρωτικῶς εἶχεν ἀτόπως περὶ τὸ Ναζιραίων σχῆμα, τῷ τε παρόντι ἐπέτρεπε πνευματικῷ τὸ ἔργον· οὐδὲν εἶναι λέγων θαυμαστὸν, εἰ ἀπόντος ἐκείνου τοῦ συνήθους, αὐτὸς τὰ ἴσα δρῴη. ὁ δὲ ἀνεβάλλετό τε ἰσχυρῶς καὶ ἔφασκεν οὐκ ἐγχειρήσειν, εἰ μὴ βούλοιτο
C καὶ αὐτῆς ἱερωσύνης ἐκπεσεῖσθαι, ὡς ἐκθέσμως καὶ παρανόμως ἐγχειρῶν τοῖς ἱεροῖς. οὕτω γὰρ εἶναι τοῖς θείοις πατράσι νενομοθετημένον. ὁ δ' ἐπείθετο μὲν, βαρέως δὲ ἤνεγκε τοῦ σχήματος τὴν ἀποτυχίαν. σιωπήσας δὲ ἐπὶ μικρὸν καὶ τῶν τε πεπλημμελημένων εἰς ἔννοιαν ἐλθὼν καὶ ὡς πάντων ἐκείνων ὑφέξει δίκας ἐπὶ τοῦ ἀδεκάστου καὶ φρικτοῦ δικαστηρίου, δάκρυά τε ἠφίει τῶν ὀφθαλμῶν καὶ ἐθρήνησεν αὑτὸν ἐφ' ἱκανόν. εἶτα τῇ περὶ αὐτὸν ἐπέσκηπτε θεραπείᾳ τελευταίας ἐντολὰς, καὶ ὥρκιζεν αὐτοῖς τὸν θεὸν, ὡς ἐπειδὰν ἀναλύσαντα τοῦ σώματος ἐπὶ τῷ ὁσίας ἀπάγωσιν ἀξιῶσαι, ἐπὶ τὴν μεγάλου δομεστίκου οἰκίαν ἀγαγόντας πρῶτον, καὶ
D καταθέντας χρόνον τινὰ, οὕτως ἐκεῖθεν ἀραμένους, ὑπὸ λίθον κατακρύψαι, ὡς ἂν γένοιτο πᾶσι καταφανὲς, ὡς οὐδ'

7. Dicitur et *Ναζηραῖος* et *Ναζίρ*, ut Iudicum c. 13. v. 3. *ED. P.* Infra c. 39. hanc monachorum sectam item *Ναζιραίους* vocat. Vid. Ducang. Gloss. gr. s. v.

tor, etsi morbus quotidie non parvis incrementis augesceret, tamen animo valebat, et is ab illo, quamquam capitis, affectu nihil laedebatur, spiritualemque patrem sine intermissione inclamans, habitum Nazaraeorum, velut quispiam amores suos efflictim et indecore deperibat: praesentique spirituali negotium committebat; nihil esse absurdum dicens, si in absentia consueti et ordinarii illius, ipse eas partes impleret. At enim is differendo contra niti seque id facturum negare: alioqui sacerdotio motum iri, ut qui sacra sibi vetita inique usurparit: sic enim a sanctis patribus lege sancitum esse. Accepit excusationem imperator, et se habitu frustratum acerbe tulit: paulisperque conticescens et peccata sua secum reputans, pro quibus omnibus apud inflexibile illud et horribile tribunal iudicium esset subiturus, manantibus per ora lacrymis semet diu deploravit. Deinde famulorum turbae astanti ultima mandata dedit; per Deum obtestans, ut ubi corpus anima vacuum cum funere extulerint, ad aedes magni domestici primum efferant: ibique aliquamdiu depositum denuo tollant et sub lapide recondant: quo omnes intelligant, nec ipsam mor-

αὐτὸς ὁ τῶν τῇδε πάντων θάνατος ἐπιλανθάνεσθαι ποιῶν, A. C. 1329 ἴσχυσεν αὐτοῦ τὴν πρὸς ἐκεῖνον φιλίαν ἀμβλῦναι. οἱ μὲν οὖν παρόντες ἐθρήνησάν τε ἐπὶ τοῖς λεγομένοις καὶ τὴν ὑπερβολὴν ἐθαύμασαν τῆς πρὸς ἀλλήλους αὐτῶν φιλίας, ὅτι καὶ ἄχρι τελευτῆς οὕτως ἐν ἀκμῇ διετηρήθη.

ιζ΄. Μετὰ τοῦτο δὲ ὁ βασιλεὺς τὸν μέγαν δομέστικον P. 249 μετακαλεσάμενος „οἶδα μὲν" εἶπεν „ὦ φίλων ἄριστε, σαφῶς, V. 200 ὡς ἡ νῦν ἡμέρα οὐ μόνον ἀποφράδος πάσης ἐχθίων σοι φανεῖται, ἀλλὰ καὶ μεγάλας οἴσει τὰς δυσχερείας καὶ περιστά- B σεις. ἀνάγκη γὰρ πρός τε τὴν πρόνοιαν τῆς ἀρχῆς μερίζεσθαι Ῥωμαίων, δεδοικότι μὴ διὰ τὴν ἐμὴν τελευτὴν τῶν καθεστηκότων τι κινηθῇ, καὶ πρὸς τὴν ἐμὴν ἀποστέρησιν οὐδεμίαν ὑπερβολὴν ἀθυμίας ἀπολείπειν, λογιζόμενον εἰκότως ὅτι τὸν πάνυ φίλτατον καὶ ὃν οὔτε χρόνος ὁ πάντ᾽ ἀποῤῥέειν καὶ ἀπανθεῖν ποιῶν, οὔθ᾽ ἡ τῶν πραγμάτων ἄστατος καὶ ἀβέβαιος φύσις, οὔτ᾽ ἀνάγκη τις οὐδεμία τῆς σῆς ἴσχυσε φιλίας ἀποστῆσαι κἂν πρὸς βραχὺ, νῦν ὁ καὶ αὐτῆς φύσεως ἰσχυρότερος θάνατος ἐπελθὼν ἀποτέμνει τε καὶ διαζεύγνυσιν ἀνημέρως· καὶ σὲ μὲν ἀπολείπει σῶμα χωρὶς ψυχῆς, ἐμὲ C δὲ ἀνενέργητον ψυχὴν παραλαμβάνει πικρῶς ὀδυνωμένην τὴν διάζευξιν. ἀλλὰ τί ἄν τις πάθοι; στέργειν γὰρ ἀνάγκη τοὺς παρὰ τοῦ δημιουργοῦ τῆς φύσεως κειμένους θεσμούς. οὐ μὴν

19. Scr. σοὶ et ἐμοὶ, quod Intpr. quoque legisse videtur.

tem, quae omnium istarum rerum oblivionem affert, suum erga illum amorem hebetare potuisse. Quotquot igitur praesentes aderant, dictis eius illacrymantes, incredibilem inter eos caritatem admirabantur, quae etiam usque ad obitum ita vivida permansisset.

17. Postea imperator accito magno domestico, Equidem praeclare scio, inquit, amicorum optime, praesentem diem non solum quovis nefasto die odiosiorem tibi visum iri: sed molestias quoque et afflictiones ingentes pariturum. Necesse namque erit, propter administrationem Romani imperii animum nunc huc, nunc illuc per varias sollicitudines dividere: formidantem, ne propter excessum meum quippiam meorum constitutorum violetur: et quia me orbaris, tristitiam tantam capere, ut ad eam addi nihil queat; cogitantem, et merito, longe carissimum et quem neque tempus, quo omnia defluunt ac deflorescunt, neque mutabilis et inconstans rerum natura, neque ulla necessitudo ab amicitia tua vel ad momentum seiungere potuit, nunc per mortem ipsa natura potentiorem abs te crudeliter abrumpi ac separari. Ac tibi quidem corpus exanimum relinquit, meam autem animam bonis operibus vacuam et ista diremtione etiam atque etiam dolentem aufert. Sed quid agas? Leges a naturae conditore latas aequi bonique faciamus necesse est. Verum quia modicum tempus

A. C. 1329 ἀλλ' ἐπειδὴ τὸ λειπόμενον ὀλίγον τῆς ζωῆς, τοῖς ἄλλοις πᾶσι χαίρειν εἰπὼν, ἐπὶ τῆς κλίνης ἀνακλίθητι τῆς ἐμῆς καὶ τὴν σοὶ φιλτάτην κεφαλὴν τοῖς γόνασιν ἐπίθες καὶ χεῖρας ἐπίβαλε τοῖς ὀφθαλμοῖς. ἴσως τοῦτο παραμυθίαν τινὰ προξενήσει τῇ ψυχῇ τοῦ σώματος χωριζομένῃ, πολλὰς, ὥς λέγουσιν, ὑφισταμένῃ τὰς ὀδύνας· μᾶλλον δ' ἵν' αἰσθάνηται διπλῶν τῶν
D ὀδυνῶν, σοῦ τε καὶ σώματος χωριζομένη, καὶ μήδ' ἐν ᾅδου σοῦ δύνηται ἐπιλαθέσθαι, εἴ τις αἴσθησις τῶν τῇδε ψυχαῖς μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν." Τούτων ὁ μέγας δομέστικος ἀκούσας, ἀνῴμωξέ τε πικρὸν, οὔπω πρότερον ἄχρι τότε τοῦτο παθὼν ἐπὶ τοῦ βασιλέως, ἀλλ' ἀεὶ μὲν ἔξω κοπτόμενος καὶ θρηνῶν, ἔνδον δὲ μάλιστα σπουδάζων ἐγκρατὴς εἶναι ἑαυτοῦ· τότε δὲ ὑπὸ τοῦ πάθους ἤδη λαμπρῶς νενικημένος, ἔστενέ τε βύθιον ἐκ καρδίας καὶ τὸν ἑταῖρον ἀνεκλαίετο, ὡς καὶ τοὺς ἔξωθεν αἰσθομένους τῆς ὀλολυγῆς, τετελευτηκέναι νομίσαι
P. 250 βασιλέα. ἐπιπολὺ μὲν οὖν ὁ θρῆνος παρετάθη, καὶ τῶν ἄλλων τῶν παρόντων πάντων συνθρηνούντων· ἐπεὶ δὲ ἱκανῶς εἶχεν, αὐτῷ ὁ βασιλεὺς αὖθις, τὸ μὲν θρηνεῖν, εἶπεν, ἐᾶν οὐκ ἂν κατὰ καιρὸν, ἐπὶ τῆς κλίνης δὲ ἀνελθόντα, τὸ προστεταγμένον ποιεῖν. ἐπειδὰν δὲ ὁ τοῦ θρηνεῖν ἀφίκηται καιρὸς, σύ τε κλαύσῃ πολλὰ πολλάκις καὶ αὐτὸς ὡς νεκρὸς ἀπὸ καρδίας ἐπιλησθήσομαι τῶν ἄλλων ἀνθρώπων· εἴθε δὲ καὶ τῆς σῆς μέρος τι μικρὸν τῆς μνήμης τῆς ἐμῆς ἠδυνήθην ἐκβαλεῖν! Ἀνῆλθε μὲν οὖν ὁ μέγας δομέστικος ἐπὶ τῆς βασι-

vivendi superest, ceteris curis omnibus sepositis, super lectulo meo reside et tibi carissimum caput genibus tuis et manus oculis meis impone: forsitan hoc animae solatium aliquod conciliabit, quae dum a corpore discedit, multum, ut praedicant, dolorem sustinet. Imo vero, ut duplicem dolorem sentiat, quae et abs te et a tabernaculo suo divellitur, ne apud inferos quidem poterit non meminisse tui; si quis animis, ubi hinc emigrarint, eorum quae hic fiunt sensus restat. Ad haec magnus domesticus flevit miserabiliter, quod illi eo usque coram imperatore nunquam acciderat: sed etsi foris aliquando lacrymas daret, intus tamen maxime studebat, ut se in potestate haberet. Tum vero affectus immensitate prorsus devictus, et imo pectore trahebat gemitus, et amicum tanto fletu lugebat, ut cum id exaudirent qui extra erant, imperatorem iam excessisse arbitrarentur. Duravit diu haec lacrymatio, aliis etiam, quotquot coram erant collacrymantibus. Postquam finem fecit, rursum imperator, desineret ab intempestivis lamentis: ad lectulum autem ascendens, imperata perficeret. Quando flendi tempus advenerit, inquit, tum saepe ac multum flebis, et ego, ut mortuus e corde, aliorum hominum oblivioni tradar: utinam autem et de tua

λέως κλίνης· καὶ τῆς κεφαλῆς ἡμμένος, τὸ μέλλον ἀπεσκό- A.C. 1329
πει, δάκρυα προχέων ἀψοφητί. ἤδη δὲ ἠργμένης τῆς νυκτὸς, B
τό, τε σφύζειν παντελῶς ἀπέλιπε βασιλέα καὶ οὐκέτι ἀμφι- V. 201
βάλλειν ἦν περὶ τῆς τελευτῆς. περὶ δὲ ὥραν αὐτῆς τετάρτην
ἐπυνθάνετο τῶν ἰατρῶν ὁ βασιλεὺς τὸν χρόνον ὁπόσον ἂν
αὐτῷ νομίζοιεν διαρκέσειν τὴν ζωὴν, καὶ ἐκέλευε σὺν ἀλη-
θείᾳ ἀπαγγέλλειν. οἱ δ' ἅμα καὶ θρηνοῦντες ἄχρι νύκτα ἔλε-
γον οἴεσθαι ἐξήκειν. οὐ πολλοῦ δὲ χρόνου διαλιπόντος, τά
τε ἄκρα ψύχεσθαι ἤρχετο, ἀπολείποντος τοῦ ζωτικοῦ, καὶ
αὐτὸς ἤδη καὶ τὰ μέλη παρεῖτο καὶ τὴν φωνήν. καὶ κνῆμαι
μὲν ἐμελαίνοντο ἄχρι γονάτων, πήχυς δὲ χειρῶν οὐδὲν ἦσαν
ἀψύχων ἀπεοικυῖαι, βλέφαρά τε τῶν φυσικῶν ἐκλυθέντα τό-
νων, καθίεντο τοῦ μέτρου πλέον, καὶ ῥὶς ἀπωξύνετο ἐπιπολὺ C
καὶ κρόταφοι συνεπεπτώκεσαν, καὶ πάνθ' ὅσα τελευτῆς τεκμή-
ρια παῖδες ἴσασιν ἰατρῶν γινόμενα ἦν ὁρᾷν, ὡς καὶ αὐτοὺς
καὶ τῆς προθεσμίας οἰηθῆναι πρότερον τελευτήσειν. ὅσα μὲν
οὖν ἦν ἀναγκαῖα πρὸς ταφὴν, πάντα ἤδη ἐπεπόριστο, καὶ
οὐδὲν ἦν ἕτερον οὐδένα προσδοκᾷν πλὴν ταφῆς. βασιλεὺς δ'
ἀμυδρᾷ φωνῇ καὶ οἷον ἤδη ἐκλειπούσῃ, εἰ τῶν ἱερῶν ὑδάτων
τῶν ἐκ τῆς ἀεννάου καὶ σωτηρίου πηγῆς τῆς θεομήτορος ἐκ-
βλυζόντων εὑρεθῆναι ἠρώτα δυνατόν. Φακρασίνα δὲ τῶν τῇ
βασιλίδι συνουσῶν μία γυναικῶν εὐγενῶν τῆς ἑσπέρας ἔφα-
σκεν ἥκοντα ἐκ Βυζαντίου τῶν αὐτῆς τινα οἰκετῶν, τῶν ἱε- D

11. πήχεις coni. ED. P.

memoria partem aliquam memoriae meae possem eiicere. Ascendit itaque domesticus ad lectulum, et contacto eius capite, quid futurum esset praevidebat, tacitus emittens lacrymas. Ut nox serpere coepit, venarum pulsus imperatorem penitus destituit: nec erat cur de eius morte amplius dubitaretur. Sub horam quartam medicos interrogat, quamdiu se victurum adhuc putarent, iubetque verum dicere. Qui non sine lamento, cum nocte vivere desiturum respondent: ut ipsi quidem existiment. Non longo spatio intermisso, extrema corporis, deficiente spiritu vitali, frigore corripi coeperunt; et iam membra resolvebantur, vox tenuabatur, tibiae genuum tenus nigrescebant, et brachiorum cubiti nihil differebant mortuis. Supercilia naturali intentione laxata, nimium demittebantur; nasus multum acuebatur; tempora recesserant: et omnia demum, quae medicis indicia mortis sunt, apparebant: ut et ipsi ante horam praenuntiatam moriturum opinarentur. Iamque parata erant funeralia, cum aliud praeter sepulturam non exspectaretur. Imperator autem exili, et velut iam deficiente voce quaerit, si quid de laticibus illis sacris ex perenni salutiferoque fonte Dei matris habere liceat. Ibi Phacrasina femina nobilis e gynaeceo imperatricis, ad vesperam unum de famulis suis Byzantio venisse et de aqua illa apportasse: curriculoque affert ac bi-

A.C. 1329 ρῶν ὑδάτων κεκομικέναι· ἅμα δὲ καὶ φέρουσα παρείχετο σὺν σπουδῇ. προσαχθέντων τε τῷ στόματι βασιλέως ἐδόκει μὲν καταβροχθίσαι, καὶ ἐθαυμάζετο παρὰ πάντων, ὅτι καίτοι τὰ τελευταῖα πνέων, οὐκ ἀπέσχετο τῆς περὶ τὰ σεβάσμια καὶ πίστεως καὶ τιμῆς. ὅμως δὲ οὐδὲν ἧττον ἐγγίζειν ἐδόκει ταῖς ᾄδου πύλαις· χρισθείσης δὲ αὐτῷ καὶ τῆς σαρκὸς ἐξ ἐκείνων τῶν ὑδάτων, ἡσύχασέ τε παντελῶς καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἄφωνός τε καὶ ἀκίνητος ἔμεινεν ὄρθρου ἄχρι παντελῶς, ζῆν μόνῳ πιστευόμενος τῷ ἀναπνεῖν. περὶ ὄρθρον δὲ ὥσπερ ἐκ
P. 251 τεθνεώτων ἀναβιοὺς „δόξα σοι, ὦ θεὸς," εἶπεν. ἐρομένου δὲ ὅπως ἔχει τοῦ μεγάλου δομεστίκου, αὐτὸς μὲν εἶπεν οὐκ εἰδέναι, εἰδείη δ' ἂν ὁ πάντα γινώσκων θεός. προσελθὼν δ' ὁ τῶν ἰατρῶν προέχων καὶ τῆς χειρὸς ἁψάμενος τῆς βασιλέως, ἐδόκει μὲν σφύζειν ἀμυδρῶς· τῷ παραλόγῳ δὲ τοῦ πράγματος οἰόμενος ἠπατῆσθαι (οὐδεμία γὰρ ὑπελείπετο ἐλπὶς τοῦ ζήσεσθαι αὐτὸν) ἀνηρεύνα τε αὖθις ἐπιμελῶς καὶ περιειργάζετο τοὺς σφυγμοὺς καὶ τὰς χεῖρας περιέψα. ὡς δὲ ἐπείσθετο οὐκ ἠπατημένος ὤν, ἐξεπέπληκτό τε τοῦ πράγματος τῷ παραδόξῳ καὶ „μέγας ὁ θεὸς" ἀνεβόησεν „ὁ μόνος δυνάμενος
B εἰς ᾄδου κατάγειν πύλας καὶ ἀνάγειν αὖθις ἐκεῖθεν." περιστησάμενος δὲ καὶ τὸν ἄλλον ὅμιλον τῶν ἰατρῶν ὥσπερ ὑπ' ἐκπλήξεως οὐδ' ἑαυτῷ θαῤῥῶν, εἰ καὶ αὐτοῖς τὰ ἴσα περὶ βασιλέως ἐπυνθάνετο δοκεῖ. συνθεμένων δὲ καὶ αὐτῶν, ἔκπληξις μὲν πάντας εἶχε καὶ χαρὰ οὐδεμίας δευτέρα· ἀναλαμ-

bendam porrigit. Quam visus est hausisse, omnibus admirantibus, quod cum extremam pene animam duceret, a fide honoreque rebus venerabilibus exhibendo non abstinuisset. Tamen ad portas mortis nihilo secus appropinquare cernebatur. Deinde ea lympha eius corpore perlito, secuta est quies tranquillissima: ut exinde usque ad auroram nec vocem mitteret, nec se quoquam commoveret et vitam sola respiratione testaretur. Diluculo autem, ac si a mortuis existeret, Gloria tibi, Deus, exclamat. Tum percunctante magno domestico, ut se haberet, nescire se dixit: Deum scire, qui nihil nesciat. Accedit medicus primarius, tactaque manu sentit venam micare exiliter: et se tam inopinata re deceptum veritus (in desperatissimis enim salutem eius posuerat) venae pulsum manu iterum contrectata diligenter et curiose explorat. Ut se minime deceptum vidit, obstupefactus miraculo, clara voce, Magnus est Deus, inquit, qui solus potest ad inferos deducere et reducere. Et quia prae stupore nondum sibimet plane credebat, aliorum medicorum turba convocata lectulum circumdans quaerit, ecquid idem de imperatore ipsis videatur. Quibus assentientibus, omnes obstupuere immortalique gaudio exiluere. Coepit vero imperator e morbo recreari ac refici et quasi a portis inferi

βάνειν δὲ ἤρξατο αὐτὸν ὁ βασιλεὺς καὶ ὥσπερ ἀναστρέφειν A. C. 1329 ἐξ ᾅδου πυλῶν. καὶ μέχρι τρίτης τῆς ἡμέρας ὥρας οἵ τε σφυγμοὶ διεφαίνοντο ἤδη καθαρῶς, ἐξίτηλοι μὲν καὶ ἀτονοῦντες, ἴσοι δὲ ὅμως καὶ ὁμαλοί. καὶ αὐτὸς ῥάων ἦν καὶ πάνθ' ὁμοῦ διελέλυτο τὰ δεινά. καὶ ἀπ' ἐκείνης τῆς ἡμέρας ἀνακτώμενος ἑαυτὸν κατὰ μικρὸν, εἰς τελεωτάτην καὶ καθαρὰν ἦλθεν ὑγείαν. τοσαύτη δὲ παρὰ πᾶσιν ἦν ἡ τῆς ἐκπλήξεως C ὑπερβολὴ, ὥστ' οὐ μόνον ἀκούοντες ἠπίστουν τοῖς λεγομένοις, οἰόμενοι τεθνάναι βασιλέα, ἀλλὰ καὶ σχεδὸν ὁρῶντες οὐ ῥᾳδίως ἑαυτοῖς πιστεύειν εἶχον. ὅσοις μέντοι Ῥωμαίων εὔνοια πρὸς βασιλέα καθαρὰ καὶ ἄδολος ἦν, οὐδ' ἡ χαλεπὴ νόσος V. 202 ἐκείνη καὶ ἡ παρὰ δόξαν ὑγεία ἀκερδὴς διέμεινε παντελῶς, ἀλλ' οἰκείαν ἕκαστος λογιζόμενοι τὴν εἰς βασιλέα παραδοξοποιΐαν, ἔργοις ἀγαθοῖς ἠμείβοντο τὸν θεόν· οἱ μὲν ἀφιστάμενοι οἷς συνείχοντο κακοῖς, οἱ δ' ἐλεημοσύναις καὶ λύτροις αἰχμαλώτων καὶ ἐγκρατείᾳ βρωμάτων ἐπὶ καιρὸν τὴν εὐγνωμοσύνην ἐνδεικνύμενοι καὶ τὴν εὐχαριστίαν. οὕτω μὲν ὁ βα- D σιλεὺς εἰς αὐτὸ τὸ ἀκμαιότατον ἔφθασε τοῦ κινδύνου, οὕτω δ' αὖθις παραδόξως διεσώθη.

ιή. Ἐπεὶ δ' ἐῤῥάϊσεν, ἕκαστα καθ' ὅ,τι πραχθείη παρὰ τοῦ μεγάλου διεπυνθάνετο δομεστίκου, καὶ αὐτοῦ διηγουμέ- P. 252 νου κατὰ μέρος, πᾶσιν ὡς λυσιτελῶς καὶ προσηκόντως εἰργασμένοις ἐπεψηφίζετο ὁ βασιλεύς. ἐπεὶ δὲ ἀπαγγεῖλαι ὡς καὶ Συργιάννην τῆς ἑσπέρας ἐκπέμψειε στρατηγὸν, οὐκέτι

redire: et ab hora diei tertia pulsus tenues illi quidem et languiduli, pariter tamen aequaliterque et manifeste sentiebantur, ipseque levabatur et, malis omnibus dissipatis, ab illo die magis magis se confirmans, perfectam et integram valetudinem recuperavit. Tanta porro erat rei admirabilitas, ut omnes non audientes solum dictis diffiderent, obiisse imperatorem credentes: sed propemodum etiam intuentes non facile oculis suis fidem contraderent. Quicumque porro Romanorum in imperatorem candido erant sinceroque animo, iis morbus hic saevus insperataque sanitas non usquequaque infructuosa fuerunt, cum unusquisque tamquam suo corpori praestitum hoc miraculum ducens, pia facta Deo rependeret; et alii quidem vitia, quibus constricti tenebantur, desererent; alii egentibus largiendo et lytro captivis redimendis ciborumque ad tempus abstinentia agnitionem accepti beneficii gratumque animum demonstrarent. Ergo imperator ita in summum periculum delapsus et ita rursum praeter opinionem elapsus est.

18. Ubi ex tam perdita valetudine emersit, quo pacto interim gesta sit respublica, ex magno domestico singillatim sciscitatur. Illo distincte narrante omnia, imperator recte et ordine gesta confirmavit. Sed cum referret de Syrgianne, quem copiis occidentalibus ducem

A. C. 1329 εἶχεν ἐπαινεῖν, ἀλλ' ᾐτιᾶτο τοῦτο μόνον ὡς οὐ διαπεπραγμένον
συνετῶς. βέλτιον γὰρ εἶναι Συργιάννην ἐπὶ τοῦ προτέρου μέ-
νειν σχήματος καὶ μὴ πρὸς κακίαν ἐναγούσης ὕλης εὐπορεῖν.
ὁ δ' „οὐκοῦν" ἔφασκεν „εἴ σοι βέλτιον δοκοίη, γράμμασι μὲν
αὐτὸν τῆς ἑσπέρας παραλύσω τῆς ἀρχῆς· ἐπὶ δὲ τῶν προ-
τέρων πάλιν καταστήσω." ἐπαινέσαντος δὲ τοῦ βασιλέως, ὁ
B μὲν ἐχώρει πρὸς τὸ τὰ κεκελευσμένα ἐκπληροῦν. μεταμελη-
θεὶς δὲ ὁ βασιλεὺς ἐκέλευέ τε ἀναστρέφειν καὶ Συργιάννην
ἐᾶν ἐφ' ἧς ἐτέτακτο ἀρχῆς, ὡς οὐ δίκαιον ὂν οὐδὲ καθ' ἡδο-
νὴν αὐτῷ τῶν ἄλλων πάντων ἃ αὐτῷ πέπρακται στεργομένων,
ταύτην μόνην τὴν πρᾶξιν ἄκυρον ὀφθῆναι. ὁ δ' ἐπείθετο εὐ-
θύς· τῶν παρόντων δὲ ἐκεῖ τινες κρύφα Συργιάννῃ ἐδήλουν
γραφῇ ὡς βουληθείη μὲν ὁ μέγας δομέστικος παραλῦσαι τῆς
ἀρχῆς, μεταγνοὺς ὅτι ἐνεχείρισε καὶ τὴν ἀρχὴν, κωλυθείη δὲ
ὑπὸ βασιλέως· καὶ, τὸ μὲν εἰς ἐκεῖνον ἧκον, ἤδη τῆς ἀρχῆς
ἐκβεβλημένον εἶναι, βασιλεῖ δὲ ὀφείλειν χάριτας κεκωλυκότι.
C τοιαῦτα πυθόμενος ὁ Συργιάννης, τῶν μὲν ὑπηργμένων αὐτῷ
παρὰ τοῦ μεγάλου δομεστίκου ἠμνημόνησεν ἀγαθῶν, διὰ
ταῦτα δὲ, καίτοι γε οὐκ ὄντα ἀληθῆ, ὀργῇ φερόμενος εἰργά-
σατο ἃ δηλώσει προϊὼν ὁ λόγος. τότε δὲ πάντα ἀπαγγέλλων
ὁ μέγας δομέστικος βασιλεῖ, καὶ περὶ δεσπότου τοῦ Καλλί-
στου διηγεῖτο, ὡς κινηθείη μὲν ἡ στρατιὰ κατ' αὐτοῦ, δεί-
σαντες μὴ τοῦ δεσμωτηρίου διαδρὰς μετὰ τὴν σὴν τελευτὴν

misisset, id laudare non potuit atque hoc solum ut minus prudenter factum reprehendit: praestare enim, Syrgiannem in sua pelle quiescentem, idoneam facultatem ad improbe agendum nunquam adipisci. Tum domesticus: Si haec tua mens est, datis litteris praefecturam occidentis ei adimam et in ordinem redigam. Probante imperatore, ille ut iussa confecturus, abibat; cum imperator factum mutans, abeuntem revocat et Syrgianni mandatam praefecturam relinqui iubet: quod nec aequum, nec sibi iucundum sit, cetera eius, domestici inquam, acta confirmasse omnia, hoc solum rescidisse. Obtemperatum subito. Verum ex iis qui aderant, nonnulli clam Syrgianni scribunt, magnum domesticum semet accusare, et absque imperatore fuisset, traditam praefecturam illi adimere voluisse. Quare quod ad ipsum attineret, Syrgiannes iam dignitate sua se deiectum sciret. Imperatori gratias debere, qui id impedivisset. His cognitis Syrgiannes collatorum in se a magno domestico beneficiorum memoriam deposuit, atque ob ea, quamquam falsa erant, ira transversim actus perpetravit, quae procedens narratio declarabit. Dum omnia imperatori recenset magnus domesticus, etiam de despota Callisto inicit: nempe ut milites in illum insurrexerint, quod timerent, ne e custodia fugitivus, imperatore defuncto res novas moliretur; et

τι νεωτερίσῃ, καὶ ὡς βουληθεῖεν ἀποκτεῖναι, αὐτὸς δὲ μηχα- A. C. 1329
ναῖς χρησάμενος καὶ ἀπάταις διασώσειέ τε αὐτὸν καὶ νῦν ἐν
ζῶσιν εἶναι. ἡδέως δὲ ἄγαν ἐπὶ τούτοις διατεθεὶς ὁ βασιλεὺς
καὶ τὸν μέγαν δομέστικον ἐπαινέσας καὶ συγγνώμης ἠξίωσεν
ἐκεῖνον ἀπολύσας τῆς εἱρκτῆς. καίτοι γε καὶ πρότερον πολλά- D
κις ἠβουλήθη τοῦ δεσμωτηρίου ἀπολύειν ὅρκοις πιστωσάμενον
ὡς τοὺς ἐν Θεσσαλονίκῃ κακῶς διαθέντας καὶ δεσμώτην ἀπο-
δείξαντας οὐκ ἀμυνεῖται καιροῦ τυχών· ὁ δὲ οὐκ ἐπείθετο, V. 203
ἀλλ' ἰσχυρίζετο φανερῶς, ὡς ἀμυνούμενος αὐτοὺς ἀξίως, ἂν
τὴν δύναμιν προσλάβηται τοῦ ἀντιδρᾶν. διὰ ταῦτα δὲ ἔτι
ἐφρουρεῖτο· τότε δὲ βασιλέως παραινέσαντος ὅσα ἐχρῆν,
καὶ συνθεμένου καὶ αὐτοῦ ἀμνηστήσειν τοῖς προσκεκρουκόσι,
τοῦ δεσμωτηρίου ἀπηλλάττετο. Περί γε μὴν Ἀνδρονίκου τοῦ
πρεσβυτέρου βασιλέως βασιλεὺς ὁ ἔγγονος ἐνθυμηθεὶς, ἐπυν- P. 253
θάνετο τοῦ μεγάλου δομεστίκου ὅπως περὶ τὴν αὐτοῦ δια-
τεθείη νόσον. ὁ δ' ἔφασκε μοναχῶν τε ὑποδῦναι σχῆμα καὶ
Ἀντώνιον ἐξ Ἀνδρονίκου προσαγορευθῆναι. ἐκπλαγεὶς δὲ ὁ
βασιλεὺς, τὴν αἰτίαν τε ἠρώτα τῆς μεταβολῆς καὶ εἰ ἑκὼν
εἶναι μεταλλάττοιτο τὸν βίον ἢ παρά του βιασθείς. ὁ δ' ἔφα-
σκεν εἰδέναι μὲν τἀληθὲς οὐκέτι ἔχειν. μήτε γὰρ ἀξιόλογόν
τινα ἀπαγγελοῦντα ἐκεῖθεν ἀφῖχθαι, μήτε πρωτοστράτορα
γράμμασι δεδηλωκέναι. τοῦτο δὲ μόνον τῶν ἐκεῖθεν ἀφικνου-
μένων ἀγγελιαφόρων ἀκηκοέναι, ὡς πύθοιτο μὲν ὁ βασιλεὺς
περὶ τῆς νόσου τῆς σῆς ὡς εἴη τῶν πρὸς θάνατον ἀγουσῶν· B

quomodo eum neci dedissent, nisi ipse, machinis et dolis adhibitis, hominem conservasset. Hoc sermone mirum in modum delectatus imperator et magno domestico laudem impertivit et Callistum venia dignatus custodia liberavit. Tametsi et antea saepius liberare voluit, fide cum iureiurando ab eo exacta, Thessalonicenses, a quibus male habitus et vinctus fuisset, etiam oblata opportunitate non ulturum. Sed frustra illi canebatur; quin palam affirmavit, se vires nactum, talibus meritis par pretium redditurum. Quam ob causam adhuc custodiebatur. Verum tunc imperatore quantum oportebat admonente, illoque promittente, se a quibus esset offensus, eorum iniurias oblivione contriturum, e carcere dimissus est. Sed Andronici senioris memor nepos, interrogat magnum domesticum, quem is animum se aegrotante prae se tulisset. Respondet, monachi habitu coopertum et pro Andronico Antonium appellatum. Attonitus imperator causam huius mutationis et spontene sua an ab alio coactus genus vitae mutarit, percunctatur. Ille nondum se veritatem rei comperire potuisse; neque enim quemquam adhuc inde nuntiatum venisse, cuius magni sit facienda fides, neque protostratorem quidquam super eo scripsisse: hoc solum a Constantinopolitanis rumigerulis audivisse, avum de morbo eius, esse videlicet mortiferum,

A. C. 1329 δείσας δὲ μὴ μετὰ σὴν τελευτὴν τῶν ἀνηκέστων τι τολμηθῇ περὶ αὐτὸν, ὑποδύσαιτο τὸ σχῆμα τῶν μοναχῶν. βασιλεὺς δὲ ἤχθετό τε πρὸς τὴν ἀγγελίαν καὶ ἐδυσχέραινεν οὐ μετρίως, οὐ κατὰ γνώμην αὐτῷ λέγων εἶναι τὰ γεγενημένα. ὁ μέγας δὲ δομέστικος ὁρῶν αὐτὸν ἀλγοῦντα ἐπὶ τοῖς συμβεβηκόσι καὶ δείσας μή τι πρὸς τὴν νόσον ὑπὸ τοῦ ἀλγεῖν παραβλαβῇ, ἀνελάμβανέ τε αὐτὸν καὶ παρεμυθεῖτο, τὴν μὲν αἰδῶ καὶ τιμὴν ἣν αὐτὸς ἔχων περὶ βασιλέα διατελεῖ, καὶ ὡς πολλοῦ ἂν ἐτιμήσατο μὴ τοιαῦτα περὶ αὐτὸν συμβεβηκέναι, ἀλλ' ἐπὶ C τοῦ προτέρου διαμένειν σχήματος πάντων μᾶλλον αὐτὸς εἰδέναι καὶ συνεπιμαρτυρεῖν εἰπών. εἰ δὲ ἀδύνατον τὰ γεγενημένα ἀναλῦσαι, τί χρὴ περὶ αὐτῶν πολλὴν ποιούμενον φροντίδα, ἐκείνοις μὲν οὐδεμίαν ἐξευρίσκειν ὄνησιν, ἡμῖν δὲ αὐτοῖς οὐ τὴν τυχοῦσαν βλάβην προξενεῖν; ἐγὼ δὲ, εἴγε ἐξῆν, ἐμαυτῷ δίκας οὐ μικρὰς ἐτιμησάμην, ὅτι οὕτως ἀπερισκέπτως ἢ ἀνοήτως μᾶλλον εἰπεῖν, ἐπ' οὐδενὶ κέρδει ταραχήν σοι προσήγαγον καὶ λύπην οὐδαμῶς ἐν τῷ νυνὶ προσήκουσαν καιρῷ. κἂν γὰρ τῶν πρὸς θάνατον ἀπηλλάγημεν φόβων καὶ ὑπονοιῶν, ἀλλ' οὔπω καθαρᾶς ὑγείας οὐδ' ἀσφαλείας ἀπολαύειν D ἔξεστι. βασιλεὺς δὲ ἃ μικρῷ πρόαθεν περὶ βασιλέα τὸν πάππον διενοεῖτο δρᾷν ἀνεμίμνησκεν αὐτὸν, ὡς „εἴ γε ἐκεῖνα" λέγων „εἰς ἔργον προὔβη, νῦν οὐκ ἂν συνέβαινε τοιαῦτα." ὁ δ' ἔφασκε καὶ αὐτὸς, ὡς „τοιαῦτα μὲν οὐκ ἂν ἐδρᾶτο· ἕτερα δὲ πολλῷ χείρονα καὶ ἀλυσιτελέστερα ἴσως ἂν συνέβη."

accepisse: formidantemque, ne eo mortuo in se atrocissimum aliquid designaretur, monachum induisse. Hic nuntius imperatori aegrimoniae atque indignationi fuit non mediocri: ac voce ipsa non sibi placere factum indicavit. Magnus domesticus illum tali eventu dolere cernens, sollicitusque, ne quid hic dolor ad morbum renovandum momenti afferret, admonere et consolari dicereque, se melius omnibus nosse et una testificari posse, quanta reverentia honoreque avum semper coluerit: et quanto redemisset, ne istuc evenisset: sed vestitum pristinum senex retinuisset. Quia vero facta infecta fieri nequirent, cur ob ea multis curis angeretur, quae nec ipsis proficerent et animis non levi nocumento essent? Ego vero, inquit, si per te liceret, non vulgari me poena afficerem, quod tam imprudenter seu, ut rectius dicam, tam insipienter et inutiliter hoc nuntio te perturbarim contristarimque, quod huic tempori minime omnium congruebat. Etsi enim mortis metu suspicioneque liber, nondum tamen consummata incolumitate securus es. Imperator autem quid paulo ante de avo facere cogitarit, domestico in memoriam redigens, dicebat, si illud ad rem collatum fuisset, quae nunc evenerunt, eventura non fuisse. Et domesticus, Huiuscemodi quidem, non: alia vero multo deteriora, minusque commoda fortassis evenissent.

ιθ'. Ἐπεὶ δ' ὧν περὶ βασιλέα τὸν πάππον ὁ νέος διενο- A. C. 1329
εἶτο, ἐμνήσθημεν, βασιλεύς, ἀναγκαῖον βραχέα καὶ περὶ αὐ- P. 254
τῶν διαλαβεῖν, ὡς ἂν μὴ λυμαίνοιτο τῷ σώματι τῆς ἱστορίας V. 204
ἡ τῶν δοκούντων τινῶν παράλειψις ἀναγκαίων. ὡς γὰρ ὁ βα-
σιλεὺς Ἀνδρόνικος ὁ νέος, καθάπερ ἔφθημεν εἰπόντες, τῆς B
βασιλείας διενοήθη κοινωνὸν τὸν μέγαν δομέστικον παραλα-
βεῖν καὶ τῷ τῆς ἁλουργίδος ἄνθει καὶ βασιλικοῖς κοσμῆσαι
παρασήμοις, καὶ πολλὰ πολλάκις περὶ τούτου γε αὐτῷ δια-
λεχθεὶς, οὐδὲν ἠδυνήθη πλέον, ἀλλ' ἀμετάθετον τὴν γνώμην
ἔχοντα ἑώρα πρὸς τὸ μηδέποτε αὐτῷ πεισθέντα πράττειν ἃ
ἠξίου, ἐκείνου μὲν ἀπέσχετο καὶ αὐτὸς, ἀνηνύτοις οἰόμενος
ἐπιχειρεῖν· ὕστερον δὲ οὐ πολλῷ τῷ πάππῳ καὶ βασιλεῖ πᾶ-
σαν τὴν ἀρχὴν καὶ τὴν διοίκησιν τῆς Ῥωμαίων ἡγεμονίας
ὥσπερ καὶ πρότερον παρέστη ἐγχειρίσαι. οὕτω δὴ διανοηθέντι
ἐδόκει δεῖν προάγειν καὶ εἰς ἔργον, καὶ τῷ μεγάλῳ δομεστί-
κῳ ἐκοινοῦτο τὰ τῆς γνώμης, ὡς εἰ λυσιτελοίη καταπραξόμε-
νος. τῷ δ' εὐθὺς μὲν ἐδόκει πεῖραν αὐτοῦ ποιεῖσθαι βασι- C
λέα, οἰόμενον ὡς ἂν τοιαῦτα περὶ βασιλέως τοῦ πάππου
πύθηται βουλόμενον, ῥᾳδίως ὑπείξει πρὸς τὸ ὑπ' αὐτοῦ γε-
νέσθαι βασιλεὺς, ὅπερ ἀνεβάλλετο πρὶν, καὶ ἐδήλου ἃ ὑπε-
νόει βασιλεῖ. ὡς δὲ ἐκεῖνος τοιοῦτον μὲν ἔφασκε διανενοῆ-
σθαι μηδὲν, ἁπλῶς δ' οὑτωσὶ καὶ πανουργίας τινὸς χωρὶς
καλόν τε οἴεσθαι καὶ βούλεσθαι προάγειν καὶ εἰς ἔργον, ὁ
μέγας δομέστικος ὑπολαβών· „ἀλλ' ἔμοιγε" εἶπεν „οὐκ ἀγα-

19. Et quoniam eorum mentio facta est, quae de avo imperator mente volutasset, res poscit, ut pauca de iis separatim dicamus: ne totius historiae corpus vitiosum ac mutilum reddat quorumdam, ut videtur, necessariorum praetermissio. Posteaquam, ut supra commemoravimus, magnum domesticum imperii consortem sibi adiungere, eumque purpura et imperatoriis ornare insignibus meditatus, crebrius et pluribus cum eo agens nihil obtinuit, et in voluntate nunquam cedendi hac in parte obduruisse vidit, ne contra torrentem niteretur, urgere non perrexit. Non diu post totum imperium et administrationem Romani principatus, ut et antea, avo restituere in mentem venit. Sic igitur sentienti, visum ad opus procedendum. Tamen prius cum magno domestico sententiam contulit, ut si ille expedire putaret, cogitata exsequeretur. Cui statim occurrit, Se ab imperatore tentari, qui existimaret, hac de avo deliberatione audita, sine mora facile se ab ipso imperatorem renuntiari passurum, continuoque suspicionem suam aperuit. Autumante imperatore, nihil tale animo versasse; sed sic candide nullaque vafritie bono id fore censere et velle in rem deducere, magnus domesticus excipiens, Atqui mihi, ait, secus videtur; neque quod ad me attinet, tamquam

A.C.1329 θὸν εἶναι δοκεῖ, οὐδὲ, τόγε εἰς ἐμὲ ἧκον, ὡς λυσιτελοῦν βουλεύσασθαι πραχθῆναι ἄν. εἰ δὲ σοί γε ἔδοξε τοιαῦτα περὶ βασιλέως καὶ παντὶ τρόπῳ βούλει ἐκτελέσαι, βέλτιον ὃ παρὰ D σοι κέκριται καλὸν τοῦ παρ' ἐμοὶ μὴ τοιούτου φαινομένου τὸ πλέον ἔχειν. εἰ μὲν γὰρ σαυτῷ τε καὶ Ῥωμαίοις καὶ προσήκοντα καὶ λυσιτελοῦντα ἐβουλεύσω, θεὸς ὁ πᾶσιν ἀγαθοῖς ἔργοις ἐνηδόμενος καὶ τὴν σὴν ἂν ἐπιῤῥώσειε πρὸς τοῦτο ψυχὴν, καὶ οὐδ' εἰ πάντες ἄνθρωποι κωλύειν ἐπιχειροῖεν πεῖσαι δύναιντ' ἄν σε ἀποσχέσθαι· εἰ δ' ἄρα ταῦτα μὲν ἀσύμφορα πάντη καὶ Ῥωμαίοις καὶ σαυτῷ, θεῷ δ' ἔδοξε τοιαῦτα πεῖσαι ὥστε πρόφασιν πολέμων ἐμφυλίων καὶ στάσεως καὶ ταραχῆς Ῥωμαίοις εὑρεθῆναι, τίς οὕτως ἂν εἴη παντάπασιν ἔρημος φρενῶν, ὥσθ' ἃ ἔδοξε θεῷ, ταῦτ' αὐτὸν ἄν ποτε δυ- P.255 νηθῆναι ἀναλῦσαι νομίσαι; σκέψαι τοίνυν παρὰ σαυτῷ, κἂν ἴδῃς ἁπάσαις ψήφοις πρὸς τοῦτο ῥέπουσαν τὴν σὴν ψυχὴν, τί χρὴ καὶ βουλεύεσθαι περὶ αὐτοῦ; εἰ δ' ἄρα τοιοῦτον μὲν οὐδὲν κέκριται παρά σοι, σαυτῷ δὲ καὶ τοῖς ἄλλοις ὑπηκόοις λυσιτελῆ τε ὁμοῦ καὶ δίκαια ποιεῖν ἐθέλων τὸ πάλιν ἀνακαλεῖσθαι βασιλέα καὶ τὴν ἀρχὴν Ῥωμαίων ἐγχειρίζειν διεσκέψω, οὐχ ἁπλῶς οὕτω καὶ ἀπερισκέπτως ὥς τι τῶν μηδενὸς ἀξίων πράττειν χρή· ἀλλὰ πρότερον πολλὰ πολλάκις σκεψάμενον περὶ αὐτοῦ καὶ διακωδωνίσαντα ἀκριβῶς, οὕτω χωρεῖν ἐπὶ τὸ πράττειν, μή πώς τι τῶν ἀδοκήτων ὕστερον συμβὰν B (πολλὰ δ' ἂν γένοιτο τοιαῦτα) τοῖς τε ἄλλοις καὶ πρό γε αὐ-

6. ἐβούλευσα coni. ED. P. idemque Intpr. legit: *si ego suasi.* Non opus correctione.

utile, velim fieri. Quod si ita de illo statuisti modisque omnibus exsequi vis, praestat vincere quod tu bonum interpretaris, quam quod mihi tale non apparet. Nam si quae tibi et Romanis decora et utilia sunt decrevisti, Deus qui omnibus egregie factis delectatur, animum tuum ad ea aggredienda corroboret: et, si omnes mortales conentur, te ab iis avertere non queant. Sin autem ad haec, tibi et Romanis prorsus incommoda, Deo tamen placuit te impellere, ut tumultus ac seditionis bellorumque civilium nasceretur occasio, quis ita penitus a ratione desertus invenietur, ut se unquam dissolvere ac retexere posse confidat, quae Deus ipse texuerit? Circumspice igitur sollicite, et si mentem tuam omnibus veluti suffragiis eo ferri ac propendere videris, aliorum iudicium ne exquiras. si autem tale nihil statuisti: sed rem iustam tibi et sub ditione tua constitutis frugiferam efficere volens, avum in imperium revocare deliberasti, haud istuc ita temere et inconsiderate, ut nugatorium aliquid, conficiendum est, sed ubi antea multum ac frequenter omnia perpenderis accurateque exploraveris, sic demum ad opus veniendum: ne, si post-

τῶν ἡμῖν ἀβουλίαν καὶ ἀπραγμοσύνην καταγινώσκειν ἑαυτῶν A. C. 1329
πρόφασιν παράσχῃ." Τούτων οὕτως εἰρημένων, ἐπείθετο ὁ V. 205
βασιλεὺς καὶ ὡς καλῶς ἔχοντα ἐπῄνει, ἐπέτρεπέ τε βουλεύεσθαι περὶ αὐτοῦ. ὁ μέγας δὲ δομέστικος τὰς αἰτίας πρότερον ἔφασκε μαθεῖν ἐθέλειν, ἐξ ὧν εἰς τοῦτο ἐναχθείη. κἂν μὲν καὶ αὐτῷ λόγον ἔχουσαι δοκοῖεν καὶ πείθειν ἰσχυραὶ, τί χρὴ περαιτέρω πονεῖν εἰκῇ βουλευομένους; τὸ κωλύον γὰρ οὐδὲν τὰ καλῶς δοκοῦντα ἔχειν ποιεῖν. ἂν δ' ἄρα μὴ τοιαῦτα φαίνοιντο, πάλιν αὐτὸν ἐξ ἀντιστρόφου δι' ἃ μὴ λογίζοιτο αὐτὸς λυσιτελεῖν τὴν πρᾶξιν, προτιθέναι. κἂν μὲν τοῦ ὀρθῶς καὶ C
δικαίως ἔχοντος φαίνηται ἡμμένα, πείθεσθαί τε αὐτὸν καὶ ἀφίστασθαι τοῦ μὴ τὰ δέοντα ποιεῖν· ἐὰν δὲ ἐνδεῶς ἢ ὥστε δύνασθαι πείθειν ἔχωσι καὶ ἀγχώμαλος ἡ μάχη καταστῇ, τότ' αὐτὸν τῆς νίκης αὐτῷ προχωρεῖν, ὥσπερ τοὺς Ἀθηναίους, τῆς Ἀθηνᾶς προστιθεμένης ψήφου, λόγος ποιεῖν. τριῶν δὲ ὄντων ἃ ἂν σε μάλιστα δύναιτο πρὸς μεταμέλειαν τῶν γεγενημένων ἐνάγειν, τοῦ τε μὴ δικαίως δοκεῖν πεπρᾶχθαι, καὶ τοῦ μὴ τοῖς πράγμασι λυσιτελούντως, καὶ τρίτον, τοῦ τινα τῶν δεόντων γίνεσθαι ἀμελεῖσθαι διὰ τὸ μὴ βασιλέα τοῖς πράγμασιν ἐφεστάναι, σκεψώμεθα ἕκαστον αὐτῶν. καὶ πρῶτόν γε πάν- D
τες ἂν ἐμοὶ συμφαῖεν ὡς μάλιστα πέπρακται δικαίως. πρότερόν τε γὰρ αὐτὸς οὐκ ἦρξας πολέμου, ἀλλ' ὑπὸ τῶν πραγμά-

21. δικαίως ED. P. pro δίκαι.

modum inopinatum quidpiam acciderit, (multa autem accidere queant,) id et aliis et ante alios nobismetipsis ad temeritatem inertiamque nostram condemnandam fiat occasio. Dicta approbavit imperator et negotium consultationi permisit. At magnus domesticus momenta prius nosse desideravit, quibus motus in hanc voluntatem descendisset: quae si sibi quoque haud absurda et ad fidem valida videbuntur, ultra non fore, cur in consultando opera frustra consumatur; nihil enim obstaturum, quin, quae bene habere visa sint, peragantur. Si vero talia non reperientur, tum vicissim ex altera parte se rationes, propter quas factum non profuturum arbitretur, expositurum: quas si a recto et iusto aptas iudicarit, obtemperet et contra officium committere parcat. Quod si satis virium ad persuadendum non habebunt fueritque pugna anceps, tum se victoriam illi cessurum, quomodo Athenienses solere fama est, cum Minervae calculus accesserit. Cum igitur tria sint potissimum, quae te ad poenitudinem facti possint inducere: quod non iuste factum; quod non cum utilitate reipublicae; quod nonnulla necessaria negligantur, quoniam avus non imperet; unumquodque eorum, quantum valeat dispiciamus. Ac primum quidem nemo mihi non assentietur, iustissime abs te factum. Tu enim bellum non incepisti: sed ab illo inceptum, coactus es gerere. Et

C. 1339 των αὐτῶν ἐκβιασθείς. καὶ τότε μὲν ἄκων, ἀνεχώρησας δ' οὖν ὅμως, βασιλέως τὸν κίνδυνον ἀποδιδράσκων· καὶ ὕστερον ἀμυνόμενος ἀναγκαίως καί, τοῦ θεοῦ συναιρομένου, ἐπεὶ τὰ πράγματα γεγένηται ὑπό σοι, καίτοι γε ἐξὸν τὴν σύμπασαν ἀρχὴν ἔχειν καὶ προσεῖναι τὸ δικαίως διὰ τὸ ἐκεῖνον πολέμου ἄρξαι, (οὐδεὶς γὰρ ὁ κωλύων νόμος τὰ τῶν πολεμίων τοὺς νενικηκότας ἆθλα τῆς ἀρετῆς κεκτῆσθαι,) οὐκ ἔφθασε μνησθεὶς εἰρήνης, καὶ σὺ τὰ δίκαια ποιῶν ἀπεδίδους τὴν ἀρχήν. ὥστε
P. 256 καὶ ἐξ ὧν πρότερον ἀπεστεροῦ μηδὲν ἀδικῶν, καὶ ἐξ ὧν ὕστερον κρατῶν τῶν ἀντιπάλων οὐκ ἀπεστέρεις τῶν δικαίων, ὁμοίως σοὶ τὸ δικαίῳ εἶναι περιέσται. ὅτι δὲ καὶ τοῖς πράγμασι λυσιτελῶς, οὐδ' ἀποδείξεως δεήσεσθαι οἶμαι. τίς γὰρ οὐκ οἶδε, τῶν ἁπάντων εἰ μὴ τῶν πραγμάτων ἔξω κατοικεῖ, τὸν πρὸς τοὺς ὁμοφύλους πόλεμον λύμην οὖσαν τοῖς χρωμένοις καὶ φθοράν, ὥσπερ τὴν εἰρήνην καὶ τὴν ὁμόνοιαν τοὐναντίον ἅπαν, ὠφέλειαν καὶ πρὸς τὸ βέλτιον ἐπίδοσιν τῶν κοινῶν; ἀλλὰ μὴν ὅτι γε οὐδὲ τῶν δεόντων οὐδὲν παραλείπομεν ἡμεῖς διὰ τὸ μὴ ἐκεῖνον τῶν πραγμάτων ἐξηγεῖσθαι, πει-
B ράσομαι ἀποδεικνύναι. δύο γὰρ ὄντων ἃ προσήκει βασιλεῦσιν ἔργων, τοῦ τε περὶ τὰ πολέμια διατρίβειν, ἀμυνόμενον μὲν τοὺς ἐπιόντας πολεμίους καὶ τὴν οἴκησιν παρέχοντα τοῖς ὑπηκόοις ἀσφαλῆ, εἰ δέ που δέοι, καὶ ἐπιστρατεύοντα τοῖς πρότερον ἐπελθοῦσι, καὶ τοῦ περὶ δίκας ἀσχολεῖσθαι καὶ θεσμοὺς ἐν τῆς εἰρήνης τοῖς καιροῖς καὶ τὰ οἰκεῖα εὖ τίθεσθαι,

tum quidem invitus, tamen secessisti, periculum fugiens, quod ab illo tibi impendebat: et postea te necessario defendisti. Et postquam Deo opitulante omnium evasisti potens, quamvis liceret cum iustitia retinere imperium, quod ab illo bellum esset inchoatum, (nulla quippe lex vetat, ne victores hostium bona, tamquam virtutis praemia, possideant,) non prior pacem petivit et tu iustus iniusto imperium reddebas. Itaque dum neque propter ea quibus antea privatus es, quidquam contra fas egisti: neque propter eam, quam postmodum de adversariis consecutus es victoriam, quemquam spoliasti, utrinque iustitia tibi superat. Quod autem et cum utilitate reipublicae, demonstrandum non opinor. Quis enim nescit, nisi forte extra mundum habitet, bellum civile cladem et perniciem esse civibus? sicut contra, pacem et concordiam norunt omnes esse utilitatem et incrementum reipublicae. Porro nos nullum officii munus praetermittere, quamvis ipse non moderetur imperium, conabor ostendere. Cum enim duo sint imperatorum munera, unum, rebus bellicis occupari, praedones arcendo et subiectis habitationem tutam praestando et, si ferro opus sit, hostibus cum exercitu occurrendo: alterum, tempore pacis iuri et legibus intendere animum

εὐθὺς πρὶν βασιλέα φθέγξασθαί τι, καταψεύδεσθαί τε ἔφασκεν
αὐτοῦ Τζαμπλάκωνα καὶ ἀποδείξεις παρέξειν τοῦ ψεύδους D

16. *Χαλκιδικὴν.* Ad oram MS. legebatur: *ὃ νῦν καλεῖται Βολερὸν* i. e. *quae nunc dicitur Volerum. ED. P.*

res ad tempus ignorata, donec a quodam de illis magno domestico patefacta est. Qui quamquam Syrgiannem ingratissimum meritorumque immemorem iudicaret, nihilo minus solitam in malis aequabilitatem atque constantiam servare studens, nihil ei vel faciebat, vel meditabatur molestius: sed et alioqui nihil ei iratus, occidentis praefecturam diu indulsit. Ille volens sibi amicos stabilire, iusiurandum poscebat: idemque ipse praestabat. Iurabatur autem verbis conceptis, Syrgiannem et illum et illum amicos in fide permansuros: neminemque ulla necessitate adactum, alterum proditurum. Quod si forte moreretur imperator, nullum quod sibi, sed quod habito consilio Syrgianni pro aequo et bono placuisset, id facturum et neminem repugnaturum: verum illi ut communitati fructuose consulturo obedituros. Sed haec prius gesta sunt. Non multo post imperatore apud Chalcidicen Thraciae commorante, aderant ibidem qui magistratibus fungebantur complures, inter quos et Syrgiannes. Arsenius autem Zamplaco magnus pappias eius nomen ut perfidi ad imperatorem detulit: affirmans, se eum iudicio convicturum. Syrgiannes confestim imperatoris verba praeveniens, Zamplaconem mentiri seque mendacium illius firmis argumentis probaturum dixit. Tum Zamplaco non opus esse inanibus verborum pugnis, dum alter

A. C. 1330 ἰσχυράς. ὁ δ' οὐ δεῖν ἔφασκεν εἰκῇ λογομαχεῖν ἀλλήλοις ἀντε-
πάγοντας τὸ ψεύδεσθαι, ἀλλ' ἐπὶ τῆς δίκης καταστάντας ἑκά-
τερον ὧν ἀξιοῖ παρέχεσθαι τὰς ἀποδείξεις. βασιλεὺς δὲ πρό-
τερον μὲν ἡσύχασεν ἐπὶ μικρὸν πρὸς τὰ εἰρημένα· οὐδὲ γὰρ
ἦν πω πρότερον οὐδὲν ἀκηκοὼς περὶ Συργιάννη· ἔπειτα ἄχθε-
σθαι μὲν εἶπε καὶ πάνυ πρὸς τοὺς τοιούτους λόγους. οὐ γὰρ
βούλεσθαι αὐτῷ τοὺς ὑπηκόους, τοὺς μὲν ἀπιστίας φεύγειν,
τοὺς δὲ διώκειν, ἀλλὰ πάντας τε αὐτῷ εὔνους εἶναι καὶ μη-
δένα μηδ' ὑφ' ἑνὸς κατηγορεῖσθαι· ἐπεὶ δὲ εἴρηται τοιαῦτα,
οὔθ' οὕτως ἔχειν ὥστε πάνυ πιστεύειν δεῖ, οὔθ' ὥστε ἀπιστεῖν,
P. 268 ἀλλὰ βασάνῳ τὸ πρᾶγμα δόντας, τἀληθὲς ἀνερευνᾷν. εὔχο-
μαι δὲ Τζαμπλάκωνα παραχθέντα μᾶλλον τὰ μὴ ὄντα λέγειν
ἢ σὲ τοιούτοις οἵοις αὐτός φησιν ἐνέχεσθαι κακοῖς. Συργιάν-
νης δὲ ἐδεῖτο βασιλέως μόνον τῶν δικαίων τυχεῖν καὶ μὴ διὰ
συκοφαντίαν ἐρήμην ἁλῶναι· τοὺς δὲ ψευδεῖς τουτουσὶ καὶ
πεπλασμένους λόγους ἡγεῖσθαί τε μηδὲν καὶ σὺν οὐδενὶ πόνῳ
ὅπερ εἰσὶ ῥᾳδίως ἀποδεῖξειν. βασιλεὺς δὲ καὶ αὐτὸς ἔφασκε
κατὰ γνώμην αὐτῷ εἶναι μᾶλλον ἀπολύσασθαι τὰς κατηγορίας
καὶ μηδ' ἐπὶ μιᾷ αὐτῶν ἁλῶναι ἀληθῶς· ἄδικον δὲ ψῆφον
οὐκ ἄν ποτε αὐτῷ ἐπενεγκεῖν, οὐ μόνον ὥσπερ νῦν περὶ ψυχῆς
B ἀγωνιζομένῳ, ἀλλ' οὐδ' εἰ περὶ τῶν φαυλοτάτων τινὸς ἐλάγ-
V. 215 χανε τὴν δίκην. Τζαμπλάκωνι δὲ ἐκέλευσεν ἃ Συργιάννῃ
ἐγκαλοίη εἰς μέσον ἄγειν· οὐδὲ γὰρ πω ᾔδει περὶ αὐτῶν οὐ-
δέν. Τζαμπλάκων δὲ ἄνωθεν ἀρξάμενος, οὕτως ἐποιεῖτο τὴν

alterum mentiri clamat: sed in iudicium veniendum et ab utroque ad id quod velit ostendendum, rationes in medium adducendas. Ad haec imperator primum quidem aliquantisper siluit: nihil enim hactenus de Syrgianne audierat: deinde permolestos sibi hos sermones esse dixit: quoniam nollet subiectos suos alios quidem infidelitatis crimen intendere, alios causam dicere: sed amari ab omnibus et neminem ab ullo ullius sceleris accusari. Quae vero dicta sint, nec talia esse, ut valde credenda: nec talia, ut omnino credenda non sint: quocirca examinanda et veritatem inquirendam. Optare autem se, Zamplaconem potius quae non sint obiicere, quam Syrgiannem obiectorum criminum reum esse. Syrgiannes rogare imperatorem, tantum ut iure secum agatur, ne per calumniam indicta causa damnetur. Falsis autem hisce et confictis sermonibus nihil se turbari nulloque labore id quod essent demonstraturum. Tum imperator, Sibi quoque probari magis, uti crimina diluat et ne unius quidem vere convincatur. Iniquam autem sententiam nunquam in eum laturum: non solum, ut in praesens de vita in periculum vocatum: sed neque de aliqua re abiectissima iudicium suum subeuntem. Tum Zamplaconi mandavit exponere, quorum Syrgiannem insimularet: adhuc enim ea nesciebat. Ille altius re-

κατηγορίαν· „Συργιάννης οὑτοσὶ” λέγων „ὦ βασιλεῦ, τὴν τῆς A. C. 1330 ἑσπέρας ἀρχὴν ἐπιτετραμμένος, πρῶτα μὲν ἐποιεῖτο διὰ σπουδῆς καὶ ἔργον ἦν αὐτῷ τῶν πάντων περισπουδαστότατον ἑταιρείαν συστήσασθαι περὶ αὐτὸν καὶ πάντας, εἰ δύναιτο, αὐτῷ πεῖσαι προσέχειν καὶ ἐν τοῖς μάλιστα τῶν φίλων ἄγειν. ἡμεῖς δὲ τὰ τοιαῦτα ὁρῶντες μάλιστα ἐν ταῖς ἀρχαῖς, οἰόμενοι αὐ- C τὸν δόξης ἐπιθυμοῦντα καὶ ἐπαίνων, εἰς ἃ μάλιστα ἐπτόηνται οἱ δοκοῦντες εὐτυχεῖν, τοῖς τοιούτοις ἠσχολῆσθαι, ἐποιούμεθα τὰ πραττόμενα οὐκ ἐν δεινῷ· ὡς δὲ τοῦ χρόνου τριβομένου, τὴν ἐν τοῖς τοιούτοις σπουδὴν μείζω τοῦ προσήκοντος γινομένην ἑωρῶμεν, ὑποπτεύειν ἐπῄει, μὴ οὐχὶ εὐδοξίας ἕνεκα τὰ τοιαῦτα αὐτὸν ἐπιτηδεύειν, ἀλλά τινος ἑτέρου χάριν ἀποῤῥητοτέρου, καὶ περιεργότερον προσείχομεν τοῖς γινομένοις. ὡς δὲ τὰ τοιαῦτα ἐρευνῶσιν ἐμηνύετο, ὡς οὐδὲ ἁπλῶς καὶ ἀπεριέργως αἱ φιλίαι γίνωνται τῶν συνισταμένων πρὸς αὐτὸν, ἀλλ’ ὅρκοις διδόντων πίστεις ἰσχυρὰς καὶ λαμβανόντων παρ’ αὐτοῦ, τότ’ ἤδη ἐν πλείονι ἦμεν ὑποψίᾳ τοῦ μεγάλα τινὰ κακουργεῖν D αὐτὸν, καὶ τοὺς ὅρκους ἐφ’ ὁποίοις γίνονται ἀκριβῶς διηρευνῶμεν. ἐμηνύετο δ’ ὑπ’ αὐτῶν τῶν τὰ τοιαῦτα συνειδότων, ὡς πρῶτον μὲν γίνοιντο οἱ ὅρκοι ἐπὶ τῷ αὐτοὺς φίλους εἶναι Συργιάννῃ καὶ αὐτὸν αὐτοῖς, καὶ τὰ συνοίσοντα ἀλλήλοις ἐκ παντὸς τρόπου πράττειν ἑκατέρους· ἔπειτα ἂν συμβῇ βασιλέα τρόπῳ δή τινι τελευτῆσαι, μὴ ἕκαστον ἐφ’ ἑαυτοῦ ὅ,τι ἂν δοκῇ συνοῖσον πράττειν, ἀλλὰ κοινῇ σκεψαμένους, τὰ δοκοῦντα

petens, accusationem sic ordiri: Syrgiannes hic, imperator, occidenti praefectus, primum quidem studiose fecit atque omni ope elaboravit, ut sodalitium sibi constitueret ac, si posset, omnes eo impelleret, uti se ad ipsum applicarent et inter amicissimos numerarent. Quod cum a principio statim videremus, arbitrati eum gloriae laudumque cupiditate (quas homines beati praecipue admirantur et obstupescunt) isti occupationi se dedisse, rem haud indigne ferebamus. Cum autem tempore procedente eius in his diligentiam ultra aequum crescere observaremus, incidit nobis suspicio, non gloriae, sed cuiuspiam occultioris rei desiderio in hoc eum operam ponere: et accuratius ad ea quae agitabantur attendebamus. Ut vero negotio indagato comperimus, aggregantes se ad illum non inconsulte in amicitiam recipi, sed fidem suam iuramento astringere ipsumque vicissim suam illis sacramento obligare, tum nobis aucta est suspicio, hominem magna quaedam scelera moliri, diligenterque conditiones et capita in quae iuratum esset, inquisivimus. Narrabatur autem a consciis, primum iurasse Syrgianni amicitiam et Syrgiannem illis, et omnimodis inter se profuturos. Deinde si quid imperatori humanitus contigisset, non unumquemque quod sibi conducibile appareret, sed quae post communem deliberationem Syrgi-

A. C. 1330 *Συργιάννῃ λυσιτελεῖν ποιεῖν. ὅτι δὲ ἀληθῆ, μάρτυρας παρέξομαι τῶν λεγομένων. σὺ μὲν οὖν ἂν εἰδείης, ὦ βασιλεῦ, ὅ,τι χρὴ ἀποφαίνεσθαι περὶ αὐτῶν· ἐμοὶ δὲ ἐδόκει τῶν ἀτο-*
P. 269 *πωτάτων, ὑπὸ βασιλέα τινὰ τελοῦντα καὶ δουλείαν ὁμολογοῦντα ὀφείλειν, τοιούτοις ἐγχειρεῖν. ἐπυθόμην δὲ καὶ τῶν προώτων τῶν ἐμῶν ἐγὼ, ὡς τὰ τοιαῦτα τολμώμενα παρὰ τῶν ὑπηκόων ἀποστασίαν καὶ ἀπιστίαν πάντων μάλιστα ἂν αὐτῶν κατηγοροίη. διὸ οὐδὲ ἠνεσχόμην σιγῇ φέρειν, ἀλλ' ἐπὶ σοῦ τὰ τοιαῦτα κατηγόρηκα αὐτοῦ, νομίζων οὐκ ἔλαττον εἶναι τοῦ συμπράττειν πρὸς τὰ φαῦλα τὸ συνειδότα μὴ ἐλέγχειν εἰς κατηγορίας λόγον.” Τοιαῦτα Τζαμπλάκωνος διεξιόντος, ἀδικεῖσθαι καὶ συκοφαντεῖσθαι διετείνετο ὁ Συργιάννης καὶ καταψεύδεσθαι Τζαμπλάκωνα αὐτοῦ, πλασάμενον διαβολὰς ἔχθει*
B *παλαιῷ τῷ πρὸς αὐτὸν, ὅτι τοὺς υἱοὺς, βασιλέως ἀποστάντας, στρατηγὸς κατ' αὐτῶν ἐκπεμφθεὶς χειρώσαιτό τε καὶ δεσμώτας πρὸς βασιλέα ἀπαγάγοι. Τζαμπλάκων δὲ τῶν μὲν υἱῶν αὐτῷ μέλειν ἔλεγεν ὀλίγα ἢ οὐδὲν, ὡς οὔτε ὀνησόντων οὐδὲν, ἂν βελτίους ὦσιν, οὔτε προστριψομένων τινὰ αἰσχύνην, ἂν φαίνωνται κακοί· βασιλεῖ γὰρ μελήσειν ὅπῃ ἂν διάθηται τὰ κατ' αὐτοὺς, ὄντας ὑπηκόους. ἔχθει δὲ τῷ πρὸς ἐκεῖνον κατηγορηκέναι, οὐκ ἂν ἔξαρνος γενέσθαι. οὐ γὰρ ἂν δύναιτο κακῷ γενομένῳ περὶ βασιλέα μὴ ἐχθραίνειν. ἐδεῖτό τε βασιλέως μη-*
C *δένα αὐτῶν ἐᾷν οἴκαδε ἀναχωρεῖν, ἀλλ' αὐτῷ συνδιατρίβειν,*

10. *τοῦ συνειδότα* legebatur pro *τὸ συνειδότα*.

annes pro utilibus haberet, ea demum facturos. Haec a me vere asseverari testes dabo. Tu igitur, imperator, quid de his pronunties, monitore non eges: mihi quidem insolentissimum est visum, aliquem imperatori parentem subiectumque se confitentem, talia machinari. Audivi etiam a maioribus meis subditorum huiuscemodi ausus nefarios, maxime omnium eorum perfidiam defectionemque arguere. Proinde cum tacere non possem, horum ipsum apud te accusavi: opinatus, perinde esse atque si mala simul perpetres, nisi ea conscius accusando detegas. Ubi Zamplaco conticuit, Syrgiannes affirmare, iniuriam sibi fieri et se calumniose oppugnari mentirique Zamplaconem, qui ista ex odio inveterato confinxerit; quia scilicet filios Zamplaconis, qui ab imperatore defecerant, dux contra eos missus, captos et vinctos ad imperatorem adduxerit. Zamplaco sibi filios parvae aut nulli curae dixit esse: quod nec profuturi sint quidquam, si meliores: nec maculam sibi aspersuri, si mali fuerint: imperatori cordi fore, quo pacto eos tractet, cum illi subsint. Odio autem commotum accusasse, non inficiaturum: nec enim posse, qui se improbe erga imperatorem gesserit, non odisse: orabatque eumdem, ne eorum quemquam domum dimitte-

ἄχρις ἂν μεταπεμψάμενος τοὺς μαρτυρήσοντας τοῖς εἰρημένοις, A. C. 1330
ἀπελέγξῃ διαῤῥήδην, ὡς οὐδὲν ἂν εἴη ὧν κατηγόρηκε πλάσμα
καὶ συκοφαντία, ἀλλ' αὐτὰ τὰ γεγενημένα ὑπ' αὐτοῦ. βασιλεὺς V. 216
δὲ δίκαιά τε Τζαμπλάκωνα ἐπεψηφίζετο ἀξιοῦν καὶ προσέτατ-
τεν οὕτω πράττειν. ἀξιοῦντος δὲ καὶ Συργιάννῃ προσκαλεῖ-
σθαί τινας, οἳ ἀδικούμενον αὐτὸν καὶ συκοφαντούμενον ἀπο-
φανοῦσιν, ἐπέτρεπε καὶ αὐτῷ πᾶν ὅπερ ἂν ᾖ πρὸς ἀπόδειξιν
τῆς ἀληθείας ἐξεῖναι πράττειν. τοὺς μὲν οὖν συμμαρτυρήσον-
τας αὐτοῖς ἐπὶ τῆς δίκης αὐτίκα ἔπεμψαν τοὺς κομιοῦντας· αὐ-
τοὶ δὲ συνόντες βασιλεῖ, παρεσκευάζοντο ὡς ἐπὶ δίκην. D

κγ'. Τῆς ἡμέρας δὲ ἐκείνης παρελθούσης, ἐπεὶ ἐπεγένετο
ἡ νὺξ περὶ μέσην, ὁ Συργιάννης εἰς τὴν οἰκίαν τὴν μεγάλου
δομεστίκου ἀπελθὼν, ἐδεῖτο μὴ περιϊδεῖν ὑπὸ συκοφαντίας τὰ
ἔσχατα προσδοκῶντα πείσεσθαι δεινὰ, ἀλλὰ χεῖρα σώζουσαν
παρασχεῖν καὶ μὴ διὰ τὸ προσκεκρουκέναι ἀφειδῆσαι κινδυ- P. 270
νεύοντος, ἀλλὰ πρόνοιάν τινα ποιήσασθαι αὐτοῦ. αὐτῷ μὲν
γὰρ ὁμολογεῖν προσκεκρουκέναι, πεισθέντα φαύλοις ἀνθρώποις
καὶ διεφθορόσι καὶ ψευδομένοις ὡς τὰ πολλὰ, καὶ διὰ τοῦτο
αὐτόν τε ἑαυτοῦ κατηγορεῖν πολλὴν ἀγνωμοσύνην καὶ αὐτῷ
ἐφιέναι ἣν ἂν ἐθέλοι δίκην λαμβάνειν παρ' αὐτοῦ. περὶ βα-
σιλέα δὲ μηδὲν ἑαυτῷ κακῷ γενομένῳ συνειδέναι, ἀλλ' ἄκρατον
εἶναι τὴν διαβολήν. οὗ δὴ ἕνεκα αὐτοῦ δεῖσθαι συγγνῶναί τε
αὐτῷ τῆς περὶ αὐτὸν ἀδικίας καὶ ἀγνωμοσύνης καὶ τὴν προσ-
δοκωμένην λύειν συμφοράν· αὐτὸν δὲ ὅρκοις οἷς ἂν ἐθέλοι τὸ

ret, donec ipse, testibus evocatis, nihil se calumniandi libidine fictum, sed ipsissima eius facta in accusatione sua posuisse manifeste ostenderet. Imperator Zamplaconem aequum petere censens, ita facere iussit. Mox et Syrgiannes oravit acciri quosdam, qui secum per calumnias inique actum testarentur. Concessum est, quae ad veritatem demonstrandam liceret, experiretur omnia. Subito itaque missi, qui testes in iudicio utrique adfuturos adducerent: ipsi interea apud imperatorem haerentes, ad actionem se comparabant.

23. Sub medium noctis sequentis, Syrgiannes in aedes magni domestici adventans, orat, ne se ob falsam criminationem atrocissima pertimescentem supplicia despiciat. sed salutarem sibi manum porrigat; neve propter offensionem animi sui periculo iactatum aspernetur: sed aliqua sui cura tangatur. Fateri, se nequam et perditis hominibus et ut plurimum mentientibus nimis credulum, in eum deliquisse. Ideo semet magnae improbitatis condemnare et aestimationem poenae in eius arbitratu ponere. At in imperatorem nullius facinoris sibi conscium meramque calumniam esse. Quamobrem rogare, ut iniustitiae et ingratitudinis suae gratiam sibi faciat imminentemque cervicibus suis calamitatem

A. C. 1330 μὴ διὰ βίου παντὸς κακὸν ὀφθῆναι περὶ αὐτὸν, ἀλλὰ πάντα
B αὐτῷ πιστώσασθαι ὑπείκειν. Συργιάννης μὲν οὖν τοιαῦτα ἐδεῖτο· ὁ μέγας δὲ δομέστικος αὐτῷ ὑπετίθετο θαῤῥεῖν, ὡς οὐκ ἀποστερήσοιτο τῶν δικαίων· οὐδὲ διὰ συκοφαντίαν αὐτῷ ἀπαντήσει δυσχερὲς οὐδέν. οὔτε γὰρ βασιλέα ἀνασχέσθαι ἄν ποτε καταψηφίσασθαι συκοφαντουμένου, μήτ' αὐτὸν περιϊδεῖν. τὸ δ' ὅρκους παρασχέσθαι ἐπηγγέλθαι, ἂν σοι νῦν περὶ τὰς προσδοκωμένας τύχας χρήσιμος ὀφθῶ, ὥστε διὰ βίου παντὸς ἐμοὶ ὑπείκειν καὶ μηδέποτε ἀγνωμονῆσαι, μηδὲ εἰς λήθην τῶν εὐεργεσιῶν ἐλθεῖν, ἐν ἴσῳ μοι δοκεῖς καὶ ἀδύνατα ἀξιοῦν. ὁ γὰρ
C μήτε πρότερον μήθ' ὕστερον ἀγαθὸς γενόμενος περὶ τοὺς φίλους, ἀλλὰ μικρᾶς καὶ φαύλης τινὸς ἕνεκα αἰτίας ἢ οὐδὲ μικρᾶς, Εὐρίπου δίκην μεταφερόμενος καὶ ἀστατῶν, πῶς ἂν εἴης δίκαιος πιστεύεσθαι περὶ τοῦ μέλλοντος παρεχόμενος τὰς πίστεις; οἶσθα γὰρ ὡς φιλίας ἡμῖν ἄνωθεν ἐκ παίδων προσγεγενημένης, ἐγὼ μὲν ἐσπούδασα ἀεὶ μηδεμίαν πρόφασιν δικαίαν σοι διαστάσεως παρασχεῖν καὶ ταραχῆς, καὶ διετήρησά γε ἐμαυτὸν ἄχρι νῦν ἐπὶ τῆς ὁμοίας προαιρέσεως καὶ τοῦ θεοῦ συναιρομένου· σὺ δὲ καὶ ἅπαξ καὶ δὶς μηδὲν ἔχων ἐγκαλεῖν, ἀντὶ φίλου καὶ συνήθους πολέμιος ἐξαίφνης ἀνεφάνης καὶ οὐδενὸς, τό γε
D εἰς σὲ ἧκον, τῶν λυπεῖν ἀπέσχου δυναμένων. ἃ νῦν ἔμοιγε ὀνειδίζειν οὐ κατὰ καιρὸν δοκεῖ, περὶ αὐτῶν ἅπαξ συνεγνω-
V. 217 κότι· τὰ τελευταῖα δὲ νῦν ταῦτα ὑπὸ κλοιοῖς ἐν δεσμωτηρίῳ ὑπὸ τοῦ πρεσβυτέρου βασιλέως κατεχομένῳ καὶ μηδεμίαν ἐλ-

avertat: per omnem deinceps aetatem nihil in eum mali attentaturum, eius auctoritati in omnibus obsecuturum atque huius promissi fidem, si velit, dicto sacramento facturum. Haec Syrgiannes. Quem magnus domesticus admonet bonum habere animum, salva illi esse iura sua: nec propter sycophantiam quidquam incommodorum ei nasciturum. Neque enim imperatorem, ut calumniis tantummodo oppugnatus damnetur, unquam passurum: neque eius res neglecturum. Quod autem iuraturum promittis, inquit, si nunc afflicto tibi succurrero, te in omni reliqua vita in auctoritate mea permansurum: nihil adversum me improbe admissurum: neque beneficiorum immemorem futurum, videris eadem oratione impossibilia petere. Qui enim amicis nunquam fidus, sed ob causam modicam et inanem, imo ne modicam quidem, ut Euripus variabilis et inconstans fuit, quomodo hic, quamvis fidem dederit, de cetero fidem mereatur? Certe nosti, quo pacto cum inde usque a pueris inter nos amaverimus, ego semper studuerim, ne tibi iustam dissidii ac perturbationis occasionem darem: et in hunc usque diem, Deo adiuvante, in suscepto consilio perstiti. Quid tu? cum semel atque iterum non haberes, quod nos accusares, pro amico et familiari repente hostis

πίθα ἔχοντι τῆς τῶν δεινῶν ἀπαλλαγῆς, τῆς μὲν σῆς ἀγνω- A. C. 1330
μοσύνης οὐδὲ ἐπεμνήσθην, τῆς δὲ ἐμῆς πρὸς σὲ φιλίας καὶ συν-
ηθείας ὥσπερ εἴωθα μεμνημένος, ἅπερ οὐδ' ἂν ποτε αὐτὸς
ἤλπισας, οὐδ' ἂν ἑτέρου λέγοντος ἐπείθου ὡς εἴη ἀληθῆ, τοι-
αῦτα καὶ διενοήθην καὶ εἰργασάμην ὑπὲρ σοῦ καὶ οὐ μόνον
τοῦ δεσμωτηρίου ἀπήλλαξα καὶ τῶν κλοιῶν, καίτοι γε πολλὰ
καὶ βασιλίδος τῆς βασιλέως μητρὸς τῆς εἰς σὲ προνοίας ἕνεκα
αἰτιωμένης, καὶ βασιλέως αὐτοῦ δι' οὐδὲν ἕτερον ἢ διὰ τὸ
ἐμὲ βούλεσθαι μόνον τὴν ἄδειαν παρεσχημένου, ἀλλὰ καὶ ἔκ P. 271
τε τῶν κοινῶν ὠφέλησα πολλὰ, προσόδους τε παρέχων ἐτησίους
ἐκ χωρίων καὶ ἄρχοντα πόλεων καθιστὰς, καὶ ἐκ τῶν ἰδίων
οὐδὲν ἔλαττον· ἃ νῦν ἕκαστα ἀπαριθμεῖν, ἀγεννὲς ἂν εἴη καὶ
οὐδαμῶς ἐγγὺς τοῦ ἡμετέρου τρόπου· ἐκεῖνο ἐννοῶν, ὡς αὐτὰ
τὰ πράγματα διδάξαι δυνατὰ οἷον φίλον ἰδίᾳ φαυλότητι τρό-
πων ἀπολωλεκότι, τῇ σφετέρ' αὐτοῦ καλοκαγαθίᾳ πάλιν ὑπῆρξεν
ἀνασώσασθαι· καὶ τελευταῖον ἀπὸ μικρᾶς τινος καὶ εὐτελοῦς
ἀρχῆς ἐπὶ πᾶσαν τῆς ἑσπέρας ἀνῆγον τὴν ἡγεμονίαν. σὺ δ' ἀντὶ
πάντων τούτων θαυμασίαν τινὰ καὶ μάλιστα σοὶ προσήκου- B
σαν ἀπεδίδους τὴν ἀντιμισθίαν. δέον γὰρ ἔργοις τε καὶ λόγοις
εὐεργέτην ἀναγράφεσθαι καὶ σωτῆρα καὶ κηδεμόνα, πᾶν ἐποί-
εις τοὐναντίον, ὡς ἐπὶ πολέμιον καὶ πολλὰ δεινὰ εἰργασμένον
παρασκευαζόμενος καὶ προσεταιριζόμενος πολλοὺς, ὡς ἂν εἰ
βουληθείην ὥσπερ δὴ καὶ πρότερον ἀδικεῖν καὶ κακῶς ποιεῖν,
αὐτὸς εἴης δυνατὸς ἀμύνεσθαι τῇ προπαρεσκευασμένῃ χρώμενος

evasisti et quantum in te fuit, nihil ad dolorem nobis ingenerandum omisisti; quae nunc exprobrandi tempus non est, cum ea semel condonarim. Denique cum imperante seniore in custodia vinculis constrictus tenerere, nulla spe evadendi, sceleris tui immemor et amicitiae nostrae consuetudinisque, ut soleo, recordatus, quae tu nec speravisses, nec ab alio narrata credidisses, ea ego tua causa et cogitavi et feci: nec solum e carcere et vinculis te eripui (quamquam imperatoris mater eam tui curam in me reprehenderet; et imperator non ob aliud, quam quod ego ita vellem, hanc licentiam daret) verumetiam de publico haud parum tibi profui, annuos tibi reditus e locis certis suppeditans, urbiumque praefectum te constituens: nec minus de meis facultatibus tibi consulens: quae nunc sigillatim recensere, nec ingenuum et moribus meis alienum esset. Res enim ipsae docere te possunt, qualem amicum cum tuo vitio perdidisses, ipsius bonitate recuperaveris. Postremo e tenui ignobilique praefectura ad totius occidentis procurationem te provexi. At tu pro istis omnibus admirabilem quamdam et ingenio tuo convenientem in primis gratiam rependisti. Cum enim me benemerentem servatoremque ac tutorem tuum dictis et factis profiteri debuisses, prorsus contra egisti, tamquam in hostem nocentissimum te instruens et

A. C. 1330 δυνάμει. ἐξ ὧν ὥσπερ αὐτοὶ λέγουσιν οἱ κατηγοροῦντες, εἰς πολλῷ χαλεπώτερον καὶ χεῖρον βάραθρον κατεκρημνίσθης· σὺ δὲ ἤδη συνορῶν οἷ κακῶν ὑπ' ἀβουλίας συνηλάθης, ἃ σοι C ἔδοξε μόνα δυνατὰ πρὸς τὴν παροῦσαν ἀνάγκην ἀποχρήσειν, ταῦτα ἥκεις ἐσκεμμένος λέγειν. ἐγὼ δὲ μηδὲν ἀποκρυψάμενος, ὅπως τε διάκειμαι πρὸς σὲ, καὶ οἷα ποιήσω, ἐρῶ. οὐθ' οὕτως ἔχω ὥστε ποτὲ τοῖς φίλοις σε συντάττειν τοῖς ἐμοῖς καὶ ὑπὲρ σοῦ τῶν προσηκόντων τοῖς φιλοῦσι πράττειν τι, οὔθ' ὡς πολεμίῳ χρῆσθαι βλάπτων ὅσα δυνατά· ἀλλ' ἐπὶ τῆς δίκης γενομένου καὶ ὑπὲρ ὧν κατηγορῇ τὰς ἀπολογίας ποιουμένου, αὐτὸς μακρὰν ἐξασκήσω σιωπὴν, φθεγγόμενος μηδέν. κἂν μὲν τῶν κατηγόρων περιγένῃ καὶ τὴν δίκην διαφύγῃς, ἀγαπήσω καὶ αὐτὸς καὶ οὐ φθονήσω τυχόντι τῶν δικαίων· ἂν δ' ἥττων φαίνῃ παραπολὺ καὶ ἁλίσκῃ ἀδικῶν, ἂν μὲν ἀπειρίᾳ λόγων ἢ ἀδικίᾳ τῶν συκοφαντῶν, ἢ τρόπῳ δή τινι ἑτέρῳ ἀπο-D στερεῖσθαι συμβαίῃ τῶν δικαίων, προστήσομαι προθύμως, καὶ οὐ περιόψομαι ἄδικον ψῆφον ἐνεχθεῖσαν κατὰ σοῦ, οὐ σοῦ γε ἕνεκα μᾶλλον, ἢ αὐτοῦ δικαίου· ἂν δὲ προσῇ τὸ δικαίως τῇ κατὰ σοῦ ἐξαγομένῃ ψήφῳ, μηδεμίαν ἐπικουρίαν προσδόκα παρ' ἐμοῦ. ἐξ ὅτου γὰρ αὐτὸς ἀπώσω τὴν φιλίαν τὴν ἐμὴν καὶ πολεμίου ἔργα εἵλου πράττειν, καὶ αὐτὸς τοῦ νομίζειν φίλον ἀπεσχόμην· ἐμαυτῷ δ' ὥσπερ πολιτείαν ἀρχαίαν τὸ μηδενὶ πολέμιος εἶναι συντηρῶν, οὔτε σοι μέχρι νῦν, οὔθ' ὕστερον γενήσομαι· ἀλλ' οὔτ' ἀδικούμενον περιόψομαι ὥσπερ ἔφην,

multos in sodalitium aggregans: ut si iterum vexare te vellem, posses te comparatis ad id viribus tueri atque defendere. Unde, ut accusatores tui dictitant, in barathrum longe deterius atque exitiosius temet deturbasti. Iam vero intelligens, quo miseriarum tua te amentia adegerit, quae sola ad levandam praesentem calamitatem suffectura iudicasti, haec ut diceres, meditatus advenisti. Atqui ego nihil te celans, quo sim in te animo, et quid decreverim, enuntiabo. Neque ita affectus sum, ut aliquando te in amicos referre tuaque causa quid de officiis amantium praestare cogitem: neque hostis loco te habere, quantaque possim detrimenta tibi iniungere velim. Sed cum te in iudicio stiteris, et ad capita accusationis responderis, ego longum silebo. Et si quidem cofutatis accusatoribus absolveris, placebit id mihi quoque: nec tibi ius tuum adepto invidebo. Sin multo adversariis inferior, causa cecidisse videbere: et aut imperitia dicendi, aut iniquitate calumniatorum, aut alio quodam modo iure tuo excidere contigerit, patrocinium tui perlibens arripiam, et iniusta te feriri sententia non sinam: neque id tibi magis, quam aequitati dabo. Sin iure damnaberis, nullam a me defensionem exspectabis. Ex quo enim tu amicitiam meam proiecisti, hostesque imitari maluisti, ex eo ego

ουτ' ἀδικοῦντα ἐξαρπάσω τῶν κινδύνων. πρὸς δὴ ταῦτα ὅπῃ A. C. 1330
ἂν σοι δοκῇ τοῖς πράγμασι χρῆσθαι, συνετός τε ὢν καὶ πεῖ- P. 272
ραν ἔχων καὶ λόγων καὶ πραγμάτων." Συργιάννην μὲν οὖν εὐθὺς οὐκ ὀλίγον ἐθορύβησαν οἱ λόγοι, νομίσαντα ἤδη ἐν χρῷ κινδύνου καθεστάναι. ὅμως δὲ ἔτι πειρώμενος αὐτοῦ εἰ δύναιτο ἀποθέμενος τὴν πρὸς αὐτὸν ὀργὴν στῆσαι τὴν προσδοκωμένην συμφορὰν „Ἐγὼ μὲν ᾤμην" εἶπε „μέχρι λόγων μοί σε τὴν τιμωρίαν τῶν ἡμαρτημένων στήσειν, καὶ μὴ διὰ μικροψυχίαν, ἐφ' ᾗ μοι καὶ πρότερον πολλὰ πολλάκις συνέγνως, προήσεσθαι τοῖς συκοφαντοῦσι νῦν. ὁρῶ δὲ ἤδη τὸν ὄλεθρον κατ' οὐδὲν ἐλλείποντα ἐμοί. ἐὰν γὰρ πεισθῶ σαφῶς, ὅτι σε B
οὐ πείσω δυνατὸν δεηθεὶς ὑφεῖναί μοι τὴν ὀργὴν καὶ ὁμοίας ὥσπερ πρότερον κηδεμονίας ἀξιοῦν, οὐδὲν λοιπὸν ἢ κακοῖς τοῖς ἐσχάτοις περιπεσεῖσθαι προσδοκᾷν." ὁ δ' ἔφασκεν „οὐ χρείαν εἶναι λόγων περιττῶν· αὐτὸς δὲ πρότερόν τε λόγοις ὀλίγοις τὴν διάνοιαν δεδηλωκέναι, καὶ νῦν οὐδὲν ἧττον τὸ αὐτὸ ποιήσειν· ἀνεπίφθονον δὲ εἶναι, εἰ διὰ παραδειγμάτων τὴν ἀπόδειξιν ποιήσομαι τοῦ λόγου. ἐοικέναι γὰρ νομίζειν, ἐμὲ μὲν γαληνῷ τινι λιμένι προσερηρεισμένῃ πέτρᾳ, σὲ δὴ νηῒ κάλων ἐξ αὐτῆς ἀναψαμένῃ καὶ πολλῆς ἀπολαυούσῃ τῆς εὐδίας· νομίσαντα δὲ, ἂν αὐτῆς ἀπολυθήσῃ, πλέον τι καὶ κερδαλεώ- C
τερον εὑρήσειν, ἀφεῖναι ἐπὶ τοῦ πελάγους ἀποστάντα, κλυ-

8. Intpr. corr. μεγαλοψυχίαν, sed melius ex superioribus μικρολυπίαν, quod Nicetae verbum est. *ED. P.*

quoque te amicum agnoscere desii: et vetus quoddam vitae institutum mihi custodiens, ut nemini scilicet inimicus sim, neque tibi hactenus fui, neque in posterum ero: et quomodo inique laesum, ut promisi, non deseram: sic inique laedentem discrimine haud expediam. Igitur cum prudentia et rerum verborumque exercitatione valeas, quemadmodum tibi videtur, sic age. Syrgiannem illico non parum haec conturbavit oratio, existimantem se iam velut in ipsis periculi faucibus versari. Tamen iterum experiens, si posset efficere, ut ille ira deposita, formidatum a se malum depelleret, equidem putabam, inquit, te peccata mea verbis tenus puniturum: nec ob animum generosum, ob quem alias toties mihi ignovisti, calumniatoribus modo obiecturum. Sed iam me nihil perditius. Si enim plane credam, tibi persuaderi non posse, ut iram adversum me remittas, perindeque ut antea curae habeas, quid superest, nisi ut extrema exspectem? Nil opus est, inquit magnus domesticus, supervacaneis sermonibus. Nam et ante compluscolis verbis mentem meam explicavi et nunc nihilo minus idem faciam. Non erit porro absurdum, si rem exemplo declaravero. Me petrae, tranquillissimo portui adhaerescenti, te navigio funibus eidem alligato et placidissimo caelo quiescenti similem arbitror: teque, quoniam, si inde solvereris,

A. C. 1330 δωνίῳ δὲ περιπεσόντα καὶ σαφῶς τὴν ἀβουλίαν ἐγνωκότα, τῆς πέτρας δεῖσθαι τοῦ κλύδωνος ἐπὶ τοῦ πελάγους ἐλθοῦσαν ἐξαρπάσαι· τὴν δὲ ἀποκρίνασθαι, οὐ δυνατὰ αἰτεῖσθαι· ἀλλ' εἴπερ δέοιτο τῆς παρ' αὐτῆς γαλήνης, αὐτὸν μᾶλλον ἐλθόντα πρὸς αὐτὴν, τὰ πρυμνήσια ἀνάψαι. τοῦτο δὲ οὐ λόγοις, ἀλλὰ μᾶλλον ἔργοις ἐπιδείκνυσθαι· οὐδεμία γὰρ ἔσται τις ὠφέλεια ἀπὸ τῶν λόγων, ἐὰν μὴ αὐτὸς ἔργῳ προσορμήσῃ τῷ λιμένι. τὸ νῦν μὲν οὖν ἔχον, μηδένα παρ' αὐτοῦ μήτε κίνδυνον ὑφορᾶσθαι, D μήτ' ἐπικουρίας τυχεῖν ἐλπίζειν. ἐὰν δὲ ἔργοις εἰς τὸ ἐπιὸν ἐπιδείξηται τὴν πρὸς αὐτὸν στοργὴν, (λόγοις γὰρ οὐ πιστεύειν, ἤδη δὶς καὶ τρὶς ἀποδεδειγμένοις ἔχειν ὑγιὲς οὐδὲν,) τότ' ἤδη τὰ παρ' ἑαυτοῦ καὶ αὐτὸν προσθήσειν. Συργιάννης μὲν οὖν τοσαῦτα εἰπὼν καὶ ἀκούσας, ἀνεχώρησεν ἐκεῖθεν, οὐκ ὀλίγα ἀνιώμενος ὅτι μὴ δυνηθείη πεῖσαι τὸν μέγαν αὐτῷ δομέστικον προσέχειν.

P. 273 κδ'. Βασιλεὺς δὲ ἐκ τῆς Χαλκιδικῆς ἄρας, ἦλθεν εἰς Βυ- B ζάντιον· συνείποντο δὲ καὶ Συργιάννης καὶ Τζαμπλάκων, ὡς ἐκεῖ γενησομένης δίκης. οὐ πολλῷ δὲ ὕστερον καὶ οἱ παρ' ἑκατέρου προσκεκλημένοι μάρτυρες παρῆσαν. ἐπεὶ δὲ ἐπύθετο ὁ βασιλεὺς, ἐκέλευεν εἰς τὸ δικαστήριον ἀπαντᾶν. μελλόντων δὲ ἤδη, ἠγγέλλετο ἐκ Βιθυνίας ὡς Ὀρχάνης ὁ τῶν αὐτόθι Περσῶν σατράπης τὴν κατὰ τὸν Ἀστακηνὸν κόλπον Νικομήδειαν, πόλιν μεγάλην καὶ πολυάνθρωπον, στρατιὰν πολ-

maius quiddam et lucrosius inventurum somniasses, in vastum pelagus processisse et in fluctus incidisse. Cumque perspicue stultitiam tuam agnoveris, nunc rogare petram, uti in altum mare veniat et e fluctibus te educat; illam respondere, ab se peti, quod in manu sua non sit: verum si eius secura tranquillitate frui desideres, uti tu potius ad se accurras et retinacula a se aptes: id quod non verbis, sed opere magis ostendendum; nihil enim verba proderunt, nisi re ipsa ad portum hunc confugeris. In praesens itaque nec a me ullum timebis periculum; neque ullum sperabis auxilium. Quod si posthac factis tuum erga me et eximium quidem amorem demonstraveris (verbis namque non credo, quae iam bis terque falsitatis comperta sunt) tum ego quoque officium meum non praetermittam. His a se dictis et a domestico auditis, Syrgiannes admodum moestus discessit, quod eum precibus ad se tuendum flectere nequivisset.

24. Imperator Chalcidice Byzantium venit, Syrgianne et Zamplacone sequentibus, ad iudicium illic obeundum: brevique vocati ab utroque testes affuerunt. Quod ut rescivit imperator, uti ad tribunal omnes praesto adessent, mandavit. Cum inibi res esset, nuntiatur e Bithynia Persarum illic satrapam Nicomediam in sinu Astaceno urbem amplam et frequentem, frequenti exercitu circumsedere admotisque machinis oppugnare; cui mature opem ferendam

λὴν περικαθίσας, καὶ μηχανήματ' ἐπιστήσας, πολιορκεῖ. ἐδό- A. C. 1330
κει δὴ βασιλεῖ βοηθητέον εἶναι κατὰ τάχος. καὶ στρατιὰν ἐν-
θέμενος, οὐ μόνον τριήρεσιν, ἀλλὰ καὶ φορτηγοῖς ναυσὶ πε- V. 219
ζήν τε καὶ ἱππικὴν, ἔπλει πρὸς τὴν Νικομήδους, ὡς ἐξαιρησό- C
μενος τῶν κινδύνων. ἔτι δὲ ὄντος μετεώρου τοῦ στόλου, καὶ μέλλοντος εἰς Νικομήδειαν καταίρειν, Ὀρχάνης πρεσβείαν πέμψας, πρῶτα μὲν ἠσπάζετο βασιλέα· ἔπειτα ἐμήνυεν ὡς βούλοιτο τὸν πόλεμον καταθέσθαι, ἐὰν καὶ αὐτῷ κατὰ γνώμην ᾖ· ἐὰν δὲ μάχην συνάπτειν προθυμοῖτο, μαχεῖσθαι καὶ αὐτόν. ὁ δ' ἀντησπάζετο μὲν καὶ αὐτὸς αὐτὸν, ἐδήλου τε ὡς τοῦ μὲν ἥκειν παρεσκευασμένος ὡς ἐς μάχην, οὐκ ἂν δύναιτο ἔξαρνος γενέσθαι, ἐξ αὐτῶν τῶν πράγματων ὄντος φανεροῦ. ἐὰν δὲ αὐτὸς βούλοιτο τὸν πόλεμον καταθέμενος εἰρήνην ἄγειν, οὐδ' αὐτὸν ἀπώσασθαι αὐτήν. καὶ λόγων γενομένων περὶ σπον- D
δῶν διὰ τῶν πρέσβεων, (οὐ γὰρ αὐτοὶ συνῆλθόν γε ἀλλήλοις,) συνέβησάν τε καὶ ἔθεντο σπονδὰς εἰρηνικὰς, ὥστε Ὀρχάνην βασιλέως εἶναι φίλον καὶ τὰς κατὰ τὴν ἕω πόλεις, ὅσαι ἔτι ἦσαν ὑπήκοοι Ῥωμαίοις, ἀδικεῖν μηδέν· ἔπειτα ἀλλήλους ἠμείβοντο δώροις, Ὀρχάνης μὲν ἵππους πέμψας καὶ κύνας θηρευτικὰς τάπητάς τε καὶ παρδάλεων δοράς· βασιλεὺς δὲ ἐκπώματά τε ἀργυρᾶ καὶ ὑφάσματα οὐκ ἐξ ἐρίων μόνον, ἀλλὰ καὶ Σηρικὰ, καὶ τῶν βασιλικῶν ἐπιβλημάτων ἓν, ὃ περὶ πλείστου παρὰ τοῖς βαρβάρων σατράπαις ἄγεται ἀεὶ καὶ τιμῆς εἶναι δοκεῖ τεκμήριον καὶ εὐμενείας· ἐφ' ᾧ τότε καὶ αὐτὸς ὑπερήσθη τε τῶν ἄλλων μᾶλλον καὶ χάριτας ὡμολόγει βασιλεῖ.

imperator statuit. Ergo non in triremes dumtaxat, sed in onerarias quoque peditibus et equitibus impositis, eo cursum intendit. Verum antequam classis Nicomediense litus teneret, Orchanes missa legatione primum imperatori salutem dicere: tum indicare, se arma positurum, si illi quoque eadem sit voluntas; si decertare aveat, se non recusaturum. Resalutat eum imperator significatque, negare non posse, se ad pugnam instructum adventare, quod ipsa res loquatur: sed si ipse pacem amplectatur, se quoque non repudiaturum. Collocutis inter se legatis, (nam principes non convenerunt) consensu pax foedere constituta est, cum his conditionibus: ut Orchanes imperatoris esset amicus, et urbibus per orientem, quotquot adhuc Romanis parebant, nullo maleficio incommodaret. Postea inter se donaverunt, Orchanes equos et canes ad venandum, tapetas et pelles pardalinas; imperator argentea pocula, textilia non lanea modo, sed et Serica, et unum ex imperatoriis amiculis: quod satrapae barbarorum plurimi aestimant et honoris ac benevolentiae argumentum interpretantur: quo et ipse tum Orchanes supra cetera laetatus, imperatori gratias egit, et in sedes suas recessit. Imperator exscen-

A. C. 1330 μετὰ τοῦτο Ὀρχάνης μὲν ἐπανέζευξεν εἰς τὴν οἰκείαν, βασι-
P. 274 λεὺς δὲ ἀπόβασιν ποιησάμενος καὶ ἐφ' ἡμέραις ἑπτὰ περὶ τὰ
ἐκεῖσε χωρία διατρίψας, (οὔπω γὰρ ἄχρι τότε ταῦτα ἦν
ἑωρακὼς,) καὶ τὸν σῖτον ὅσος ταῖς ναυσὶν ἐνῆν, Νικομηδεῦσι
παρασχὼν, ἅμα παντὶ τῷ στόλῳ εἰς Βυζάντιον ἐπανῆκε· καὶ
μηδὲν ἀναβαλλόμενος εὐθὺς τὴν περὶ τοῦ Συργιάννη δίκην
ἐποιεῖτο. καὶ Τζαμπλάκων μὲν ὅσα καὶ πρότερον αὖθις κα-
τηγόρει καὶ μάρτυρας παρείχετο τῶν λεγομένων· Συργιάννης
δὲ καὶ αὐτὸ μὲν ἐκ τοῦ ὁμοίου παρεισῆγε τοὺς συνεροῦντας
αὐτῷ περὶ ὧν ἀπελογεῖτο· ἐδόκει δὲ οὐδὲν προφέρειν ἰσχυρὸν,
ἀλλ' ἐπλανᾶτο περὶ τὰς ἀποδείξεις καὶ ἀδύνατος ἐδόκει εἶναι.
B βασιλεὺς μὲν οὖν καὶ οἱ ἄλλοι παρόντες τῶν συγκλητικῶν ἐβα-
σάνιζόν τε τὰ λεγόμενα παρ' ἑκατέρων καὶ ἐπειρῶντο ἀπὸ τῆς
συζητήσεως τἀληθῆ ἀνερευνᾷν· ὁ μέγας δομέστικος ἐφθέγγε-
το οὐδὲν, ἀλλὰ καθῆστο μόνον ἀκροώμενος τῶν λεγομένων.
τρὶς δὲ καὶ τετράκις γενομένου συλλόγου περὶ τῶν αὐτῶν,
ἐπεὶ ὁ Συργιάννης συνεώρα τὴν νίκην πρὸς Τζαμπλάκωνα χω-
ροῦσαν, ἐδόκει δεῖν διακρούσασθαι τὴν δίκην καὶ ἐδεῖτο βα-
σιλέως προθεσμίαν αὐτῷ ἔτι παρασχεῖν ἐπὶ τῷ μάρτυρας ἑτέ-
ρους ἀγαγεῖν, οἳ δυνήσονται αὐτῷ συνάρασθαι πρὸς τὸ διαφυ-
γεῖν τὴν καταδίκην. βασιλεὺς δὲ παρέσχετο προθύμως καὶ
C ὅ,τι ἂν ἕτερον δοκοίη δυνάμενον αὐτῷ ἐπικουρίαν παρασχεῖν
τινα μηδὲν ἀναβαλλόμενον κελεύσας ἐκπορίζειν ἑαυτῷ. Τζαμ-
πλάκων δὲ κατεβόα τοῦ δικαστηρίου καὶ δεινὰ ἐποιεῖτο, εἰ

sione facta, et diebus septem locis illis, quae nondum viderat, immoratus, quantum erat in navibus commeatus, Nicomediensibus dilargitus, cum tota classe Byzantium relegit; nihilque procrastinans, de causa Syrgiannis iudex sedit. Et Zamplaco quidem accusationem iterans, testibus praesentibus dicta sua astruebat. Syrgiannes vicissim testes pro se inducebat. At enim nihil solidum afferre, sed ambagibus uti in refutando, deterioremque causam habere visus est. Quare imperator et qui ei aderant in consilio, utriusque partis dicta discutientes inter se disquirendo veritatem indagare conabantur, magno domestico cum silentio, quae dicebantur, audiente. Cum terque quaterque super eodem conveniretur, videretque Syrgiannes victoriam ad Zamplaconem inclinare, ampliandum censuit, rogans imperatorem, sibi diem praefiniret, ad quem alios testes apponeret, quorum opera damnationem effugeret: quod imperator prompte fecit: hortans insuper, ut si quid praeterea putaret auxilio esse posse, id sibi propere pararet. Zamplaco iudicum fidem implorare et indignum ducere, si Syrgiannes testium praetextu evaderet ac supplicio iure infligendo se eximeret, nam diem praestitutum nihil ei adiumenti allaturum; testes enim neque plures, neque meliores habiturum iis,

προφάσει χρώμενος τοῖς μάρτυσι Συργιάννης διαφύγοι τὴν A. C. 1330
ἐπὶ τῇ δίκῃ τιμωρίαν διαδράς. οὐ γὰρ ἄλλο τι δύνασθαι αὐτῷ
τὴν προθεσμίαν· μάρτυρας γὰρ αὐτῷ οὔτε πλείους οὔτε βελ-
τίους εἶναι τῶν παρηνεγμένων. ἐδεῖτό τε βασιλέως, εἰ μὴ
πλεῖστα βούλοιτο χαρίζεσθαι Συργιάννῃ, δεσμωτηρίῳ ἀμφο-
τέρους ἐμβληθέντας φρουρεῖσθαι τὴν ἄφιξιν τῶν μαρτύρων
περιμένοντας. δίκαια δὲ φάσκοντος βασιλέως τὸν Τζαμπλά-
κωνα ἀξιοῦν, „Ἀλλ' οὐ καλὸν" εἶπεν ὁ Συργιάννης „εἰκῇ καὶ
μάτην εἰργομένους ταλαιπωρεῖσθαι, ἐξὸν ἐγγυητὰς παρασχο- V. 220
μένους ἀμφοτέρους τοῦ μὴ ἀποδρᾶναι ἀναπαύλης ἀπολαύειν, D
οἴκοι διατρίβοντας". ὡς δὲ καὶ τοῦτο ἀσφαλείας ἐνέχυρον ἄξιον
ἐδόκει εἶναι, τὸν σύλλογον μὲν διέλυσεν ὁ βασιλεύς, τοὺς ἐγ-
γυητὰς δὲ ἐκέλευε παρέχειν τοῖς δικαζομένοις. ἐς τὴν ὑστε-
ραίαν δὲ ὁ Συργιάννης γενόμενος ἐν τῇ τοῦ μεγάλου δομεστί-
κου οἰκίᾳ „Τὰ μὲν ἐν τῇ Χαλκιδικῇ" ἔφη „εἰρημένα πρὸς ἐμὲ
πέρας ἤδη ἔσχεν· ἃ καὶ πρότερον πιστευόμενα, νῦν μᾶλλον ἢ
πρότερον ἐπὶ τῶν ἔργων βέβαια ἐφάνη. πρὸς οὐδὲν γὰρ ἐπὶ
τῆς δίκης ἐναντία πράττων ἢ φθεγγόμενος ἐμοὶ ἐφάνης· ἔδει
δὲ μηδ' οὕτω παντάπασι κινδυνεύοντα ἀβοήθητον καταλιπεῖν.
νυνὶ δὲ μάλιστα ἀναγκαίως ἐπικουρίας δεομένῳ μὴ περιϊδεῖν
παρακαλῶ· ἀλλ' ἐπὶ τοῖς πρότερον ἡμαρτημένοις συγγνώμην P. 275
παρασχόντα, βοηθεῖν τὰ δυνατά. ᾐτεῖτο τε ἐγγύας παρασχεῖν
ὑπὲρ αὐτοῦ, ἄχρις ἂν πέμψας ὧν δέοιτο μάρτυρας ἀγάγοι.
ἐπαγγειλαμένου δὲ προθύμως ἃ ᾐτεῖτο ἐκπληρώσειν, ἐκεῖθεν
μὲν πολλὰς αὐτῷ χάριτας ἀνεχώρησεν ὁμολογῶν. ἐπιγενομέ-

quos introduxisset. Orabat igitur imperatorem, nisi plurimum Syrgianni gratificari vellet, uti utrumque in custodiam tantisper mitteret, dum testes advenirent. Imperatore Zamplaconis petitionem pro iusta agnoscente, Syrgiannes occurrit, non esse aequum, frustra ac sine causa carcere afflictari, cum ab utroque sponsores exigere liceat, non fugituros, sed interim domi quieturos. Ubi et hoc conveniens securitatis pignus apparuit, imperator reis, ut sponsores darent, imperavit conventumque dimisit. Postridie in aedibus magni domestici Syrgiannes, Quae apud Chalcidicen mihi dicta sunt, inquit, iam evenerunt: quae tametsi prius credita, nunc tamen certiora, utpote re ipsa comprobata evaserunt: quandoquidem in iudicio nihil quidquam pro me aut egisti, aut locutus es, cum ne sic quidem periculis undique circumventum deserere oportuerit. Nunc ut me opis tuae maxime egentem ne abiicias, sed priora delicta ignoscens, quantum potes me adiuves, etiam atque etiam te oro. Contendebat vero ut pro se fideiuberet donec vocati quibus egebat, testes adessent. Promisit magnus domesticus libenter facturum quae peteret; ille singularibus actis gratiis discessit. Ceterum noctu, priusquam satisdaret, Byzantio quam potuit

A. C. 1330 νης δὲ νυκτὸς, ἐκ Βυζαντίου ὡς μάλιστα ἐνῆν λαθὼν πρὶν ἐγγύας παρασχεῖν, εἰς Γαλατᾶν ἐπεραιώθη καὶ κατέκρυψεν ἑαυτὸν ἐν ἀσφαλεῖ. ἐπεὶ δὲ διεθρυλλήθη ἀποδεδρακέναι Συργιάννην, πάντα χρήματα ἐξηρευνᾶτο καὶ ἐζητεῖτο πανταχοῦ· ἀπόρου δὲ ἤδη τῆς εὑρέσεως γινομένης, οἰηθεὶς ὁ βασιλεὺς B ἀμελείᾳ τῶν ζητούντων αὐτὸν διαδιδράσκειν, ἑαυτοῦ αὐτὸς τὴν ζήτησιν ἐποιεῖτο. καὶ παρελθὼν εἰς Γαλατᾶν ἅμα ὅσοις ἔτυχε Ῥωμαίων, ἐπεὶ μηδὲν εἶχον οἱ Λατῖνοι ἀντιλέγειν, τὰς οἰκίας πέμπων διηρευνᾶτο καθ᾽ ἑκάστην· ὁ δ᾽ ἴσα καὶ ᾅδου ὑποδύντι κυνῆν, ἀνεύρητος ἦν. ὅμως δὲ ἐκέκρυπτο ἐν Γαλατᾷ ὑπὸ φαύλου τινὰ οἰκίαν, ἣ διὰ φαυλότητα οὐδὲ ἀνηρευνήθη, καίτοι γε βασιλέως ἐπ᾽ αὐτῆς ἑστῶτος καθ᾽ ὅσον χρόνον αἱ λοιπαὶ διηρευνῶντο. ἐπεὶ δὲ ἀνεχώρησεν ἐκεῖθεν ὁ βασιλεὺς ὡς ἀδύνατον ἀπαγορεύσας τὸ ζητεῖν, ὁ Συργιάννης ἐπιβὰς νεὼς C ἐπ᾽ Εὔβοιαν πλεούσης, ἐκεῖ ἀπεκομίσθη πρῶτον· ἔπειτα ἐκεῖθεν διὰ Λοκρῶν καὶ Ἀκαρνάνων εἰς Ἀλβανοὺς, οἳ περὶ Θετταλίαν οἰκοῦσιν αὐτόνομοι νομάδες, διεσώθη κατὰ φιλίαν παλαιὰν, ἣν πρὸς αὐτοὺς ἦν πεποιημένος, ὅτε τῆς ἑσπέρας ἐστρατήγει· κἀκεῖθεν ἀγωγῶν παρ᾽ αὐτῶν τυχὼν, ἦλθεν εἰς Κράλην ἄρχοντα τῶν Τριβαλῶν φυγάς. καὶ ἐπηγγέλλετο πολλὰ τοῖς Ῥωμαίοις ὑπήκοα αὐτῷ ὑποποιήσειν· Κράλης δὲ ὑπεδέξατο αὐτὸν ἀσμένως, ἅμα μὲν ἱκέτην γεγενημένον, ἅμα δὲ ἐλπίσας δι᾽ αὐτοῦ τὰ Ῥωμαίων πράγματα ὡς μάλιστα κακώσειν. καὶ τά τε ἄλλα φιλοτίμως μάλιστα προσ- D εφέρετο αὐτῷ, καὶ στρατιὰν ὅσης ἐδέετο παρεῖχεν ἐπιτῷ τὰς ὑπηκόους τοῖς Ῥωμαίοις πόλεις καταδουλοῦσθαι. καὶ

occultissime Galatam traiiciens, tuto se abscondit. Ubi rumor dissipatus est, Syrgiannem aufugisse, omnibus locis pervestigatis, inquirebatur. Cum angulus nullus restaret ubi amplius quaereretur, ratus imperator indagatorum negligentia elapsum, per semet hominem quaerere instituit, Galatamque cum Romanis obviis profectus, quoniam Latini id recusare non poterant, domos singulas perscrutatum misit. Ille vero quasi Orci galeam subiisset, nusquam inveniebatur. Tamen Galatae in vili casa latitabat atque idcirco ibi non est quaesitus: etsi dum per ceteras domos vestigaretur, ad eam imperator venisset. Simulatque Galata inventione penitus desperata discessit, Syrgiannes conscensa navi, quae Euboeam solvebat, eo primum portatus est. Dein per Locros et Acarnanes ad Albanos (qui circum Thessaliam habitantes, homines agrestes et pastoritii, suis utuntur legibus) pro veteri amicitia, quam adhuc praetor occidentis cum illis iniverat, confugit. Inde viae duces ab ipsis nactus, ad Cralem Triballorum principem profugus venit, cui multa Romanorum oppida acquisiturum recepit. Crales ut supplicem et quia per eum Romanis

ἄλλα τε μάλιστα πολίσματα προσεποιήσατο, καὶ Καστορίαν A.C. 1330 πόλιν μεγάλην κατὰ τὴν Βοτιαίαν ᾠκισμένην. πυθομένῳ δὲ βασιλεῖ ὅσα κατὰ τὴν ἑσπέραν Συργιάννῃ νεωτερισθείη, ἠρεμεῖν οὐκ ἦν, ἀλλ' ἐκ Βυζαντίου εἰς Διδυμότειχον ἐλθὼν, συνέλεγε τὴν στρατιὰν, ὡς εἰς τὴν ἑσπέραν ἐκστρατεύσων.

κέ. Ἀσχολουμένου δὲ αὐτοῦ περὶ τοῦ στρατεύματος τὴν P. 276 συλλογὴν, Σφραντζῆς ὁ Παλαιολόγος τῶν συγκλητικῶν εἷς, V. 221 οὐ πάνυ δὲ τῶν ἐπ' εὐγενείᾳ λαμπρυνομένων, βασιλεῖ νυκτὸς B προσελθὼν, προσκεκρουκέναι τε ὡμολόγει πολλὰ καὶ δίκης ἄξια, συγγνώμης τε καὶ εὐεργεσίας ἀνθ' ὧν ἔδει τυχεῖν τιμωριῶν. ἀνθ' ὧν βούλεσθαι μὲν καὶ αὐτὸν καὶ προθυμεῖσθαι ἄξιον φανῆναι τῆς εὐεργεσίας καὶ εὐγνώμονα περὶ τὸν οὕτως ἀγαθὸν δεσπότην· καιροῦ δὲ μὴ παρασχόντος, ἀτελῆ μέχρι νῦν καταλείπεσθαι τὴν προθυμίαν· νυνὶ δὲ μάλιστα τῶν πραγμάτων ἐνδιδόντων καὶ δεομένων εὔνων οἰκετῶν καὶ πιστῶν, ἥκειν καὶ αὐτὸν πρὸς τὸν κατὰ Συργιάννη πόλεμον διδόντα ὅ,τι βούλοιτο χρῆσθαι βασιλεῖ. ἕτοιμον δὲ εἶναι μὴ C μόνον πόνοις πολλοῖς καὶ προθυμίᾳ καὶ σπουδῇ, ἀλλὰ καὶ αἵματι τῷ σφετέρῳ ἀλλαττόμενον, καταπράττεσθαι τὰ κατὰ γνώμην βασιλεῖ. βασιλεὺς δὲ „Τῶν μὲν προτέρων ἕνεκα ἁμαρτημάτων" ἔφη „καίτοι γε μεγάλων ὄντων, μηδεμίαν εἶναι δίκαιον παραίτησιν ποιεῖσθαι νῦν, ἐκ πολλοῦ συνεγνωσμένων· εὐνοίας δὲ ἕνεκεν τῆς πρὸς αὐτὸν πράττειν τῶν δεόντων τι καὶ

vehementer nociturum sese sperabat, haud nolens suscepit: et cum cetera honorificentissime illum tractavit, tum exercitum ei ad subiugandas Romanorum urbes attribuit. Ergo et alia oppida, et Castoriam urbem magnam Botiaeae Crali subiecit. Imperator intelligens quas res novas Syrgiannes in occidente machinatus esset, quiete posthabita, Didymotichum abiit illucque exercitum in occidentem ducturus contraxit.

25. Huic rei dum impendit operam, Sphranzes Palaeologus, unus ex optimatibus, non ita conspicuus genere, ad imperatorem nocte adit, multa se in eum piacula admisisse confitetur: pro iis tamen veniam ab eo consecutum et beneficiis auctum. Quocirca se vicissim velle et gestire beneficiis dignum et erga tam bonum dominum non ingratum videri. Quia vero hactenus occasio defuerit, promptam voluntatem hucusque effectu caruisse: quam cum nunc res ipsae porrigant, ministrisque fidelibus ac benevolis indigeant, venire se quoque, suique ad bellum contra Syrgiannem pro arbitrio utendi, imperatori potestatem facere et paratum esse, non solum multis laboribus, idque cum omni alacritate et quam studiosissime, verum etiam cum profusione sanguinis, quod illi placeat, efficere. At imperator, priorum quidem delictorum quamquam grandium, nunc veniam peti non debere; quae iampridem ipse ignoverit. Pro isto autem in se animo cupere vehementissime quippiam in eum officii conferre: quod in

A. C. 1330 μάλιστα βούλεσθαι οὐ μόνον ὅτι δίκαιον εὔνουν εἶναι καὶ πρόθυμον περὶ αὐτὸν, ἀλλ' ἵνα καὶ μᾶλλον ἐπισπάσηται τιμάς τε παρέχειν καὶ προσηκούσας τὰς εὐεργεσίας· ἃ δὲ νῦν ἔφης εἰς τὸν κατὰ Συργιάννη πόλεμον χρήσιμος ὀφθήσεσθαι D ἡμῖν, βούλεσθαι μαθεῖν ὁποῖ' ἄττα, ὡς ἂν ἐκ τῶν λεγομένων ᾗ διαγινώσκειν, ἄν τε λυσιτελοῦντα τὰ βεβουλευμένα εἴη, ἄν τε μή." Σφραντζῆς δὲ οὐδὲν μὲν ἥκειν ἔφασκεν οἴκοθεν αὐτὸς βεβουλευμένος πλὴν τοῦ προθυμότατον ἑαυτὸν ἐφ' οἷς ἂν κελευσθείη παρασχέσθαι· ἐπ' αὐτῷ δὲ εἶναι ἐφ' ὅ,τι ἂν δοκοίη λυσιτελεῖν σκεψαμένῳ χρῆσθαι. βασιλεὺς δὲ ἐπῄνει τε αὐτὸν τοῦ βουλεύματος καὶ οἴκαδε ἐκέλευεν ἀναχωρεῖν, ὡς ἐς τὴν ὑστεραίαν ἅττα ἂν δοκοίη βέλτιστα ὑποθησόμενος. τὸν μέγαν δὲ δομέστικον παραλαβὼν, ἐβουλεύοντο ὅπως δέοι τὸν κατὰ τοῦ Συργιάννη πόλεμον διαθέσθαι· ᾤοντο δὲ πρὶν παρασκευασαμένους ἥκειν ἀντιπάλῳ στρατιᾷ οὐ μέμψιν τινὰ δικαίαν εἶναι, P. 277 εἴγε χωρὶς ὅπλων καὶ κινδύνων ἀπάτῃ τὸν πολέμιον συσχόντες δυνήσονται τὸν πόλεμον πρὶν συστῆναι καταλῦσαι. τὰ γὰρ τοιαῦτα κλέμματα καλλίστην δόξαν ἔχειν, ἃ μάλιστ' ἄν τις τὸν πολέμιον ἐξαπατήσας, ἑαυτόν τε καὶ τοὺς ὑπηκόους ὠφελήσειε. διὰ ταῦτα δὴ ἐδόκει Σφραντζῇ τῶν παρακειμένων τῇ Καστορίᾳ πολιχνίων ἐγχειρίζειν τὴν ἀρχὴν, καὶ ἐπειδὰν γένηται ἐκεῖ, Συργιάννην μὲν οὐκ ἀνέξεσθαι εὐθὺς μὴ προσπέμψαι πρὸς αὐτὸν καὶ παρακαλεῖν αὐτῷ προσθέσθαι ἀποστάντα βασιλέως·

talem virum non solum amicum et promptum gerere animum, sed etiam, quo magis eum sibi devinciat, honoribus ac donis congruentibus eius dignitatem amplificare iustum sit. Cupere porro scire, in quibus se modo operam sibi in bello contra Syrgiannem navaturum profiteretur; ut eo indicante, utile necne consilium ceperit, cognosci possit. Tum Sphranzes, haudquaquam per se meditatum venire, nisi ut se quam promptissimum ad imperata praebeat. In ipso situm esse, ubi re circumspecta operae pretium facturum putaverit, ibi potissimum suo labore uti. Imperator de sententia laudatum, redire domum iussit; se die sequenti, quid optimum fore iudicasset, eum edocturum. Post magnum domesticum in consilium de bello adversus Syrgiannem instituendo adhibuit: visumque factum iusta reprehensione cariturum, si priusquam instructo exercitu contrairetur, absque armis et periculo, per dolum aliquem hoste capto et constricto, bellum ante finire possent, quam incipere. Huiusmodi namque furta belli gloriosissima sunt, quibus hoste circumvento, sibi quispiam ac subditis plurimum commodat. Quapropter Sphranzi oppidorum Castoriae vicinorum praefecturam dandam censuerunt. Quo cum venerit, Syrgiannem non temperaturum, quin sine mora mittens, ab imperatore cum ad suas partes transire hortetur. Sphranzem aures praebiturum libenter, et cum illo amicitiam societatemque con-

τὸν δὲ ὑπακούσαντα προθύμως, φιλίαν θέσθαι πρὸς αὐτὸν καὶ A.C. 1330
συμμαχίαν· καὶ ἐπειδὰν γένωνται ἐν συνηθείᾳ καὶ φοιτῶσι V. 222
παρ' ἀλλήλους ἀδεῶς, τότ' ἤδη φυλάξαντα καιρὸν ἐν ᾧ μὴ B
μεθ' ἑτέρων ἂν εἴη πολλῶν ὁ Συργιάννης, (πάντως δὲ τοιού-
τους πολλοὺς εὑρήσειν,) εἰς ἓν τῶν φρουρίων κατασχόντα δῆ-
σαι· φρουρεῖν τε ἀσφαλῶς ἄχρις ἂν ἐλθόντι ἐγχειρίσῃ βασι-
λεῖ· οἴεσθαι δὲ ἔσεσθαι αὐτοῦ ῥᾳδίαν καὶ τὴν φυλακὴν ἅτε τῆς
ἑπομένης στρατιᾶς οὐκ οἰκείας, ἀλλ' ἐξ Ἀλβανῶν καὶ Τριβα-
λῶν οὔσης συμμαχίδος, οἳ οὐ βουλήσονται ὑπὲρ Συργιάννη
διακινδυνεύειν, τὸ φρούριον πολιορκοῦντες, ἀλλὰ διαλυθή-
σονται ἐπ' οἴκου, ἄσμενοι τῶν ἐκ τῶν πολέμων κακῶν ἀπηλλα-
γμένοι. τοιαῦτα μὲν ἐδόκει ἀμφοτέροις ἐπιχειρητέα εἶναι· C
καὶ ἐς τὴν ὑστεραίαν τὸν Σφραντζὴν μεταπεμψάμενος ὁ βα-
σιλεὺς, τά βεβουλευμένα τε διηγεῖτο, καὶ ἐπυνθάνετο αὐτοῦ,
εἰ καὶ αὐτὸς λυσιτελῆ τε καὶ δυνατὰ ἡγοῖτο· ὁ δ' ἔφασκε τοι-
αῦτα μὲν αὐτὸς οὐδὲ ἐνθυμηθῆναι τὴν ἀρχὴν, ἀλλ' ἕτερ' ἄττα
πολλῷ ἀποδέοντα αὐτῶν· ἃ δὲ ἐβουλεύσαντο αὐτοὶ οὐ λυσιτε-
λοῦντα μόνον, ἀλλὰ καὶ ῥᾷστα καὶ αὐτὸς νομίζειν· διὰ μηδὲ
μέλλειν, ἀλλ' ἔργου ἅπτεσθαι ἤδη ἀναγκαῖον. ἐπεὶ τοίνυν ἐκε-
κύρωτο ἡ βουλὴ, Δρομορᾶν μέν τινα ἐς τὰ μάλιστα φίλον
τῷ Σφραντζῇ, αὐτοῦ δεηθέντος, προσέταξεν ὁ βασιλεὺς, ὡς
ἐπειδὰν ἐμφανῶς ὁ Σφραντζῆς εἰς Συργιάννην ἀποστῇ, κτή-
ματά τε ὅσα πρόσεστι καὶ βοσκήματα καὶ τὴν ἄλλην περιου- D
σίαν δημοσιώσαντα φυλάττειν, ἵνα μὴ ὑπό τινων ἁρπασθέντα

iuncturum. Ubi iam nata consuetudo et familiaritas alterius ad alterum aditus liberos ac securos praestiterit, tum capto articulo, quo Syrgiannem pauci stipabunt (omnino enim talem occasionem saepius futuram) oppressum, et vinctum in castellum aliquod abducturum, ibique, donec venienti imperatori tradat, tuto custoditurum. Facilem autem illius fore custodiam: quippe quem non proprius, sed ex Albanis et Triballis auxiliarius sequatur exercitus: qui pro Syrgiannis capite castello obsidendo vitae aleam experiri neutiquam volent: sed bellicae miseriae immunes, domum cupide repedabunt. Tali arte rem aggrediendam ambobus placuit. Ergo postridie imperator Sphranzen vocat, quid placeat enuntiat: et num ipse quoque id fieri, et utiliter fieri posse arbitretur, exquirit. Respondet, prorsus non haec, sed alia quaedam multum diversa sibi in mentem venisse. Eorum autem consulta non utilia modo, sed etiam effectu expeditissima sibi videri; quare nihil cunctandum, sed opus urgendum. Stabilita hac sententia, Dromorae cuidam, Sphranzi amicissimo, eo petente, imperator hoc munus imposuit, ut postquam Sphranzes palam ad Syrgiannem defecisset, quidquid haberet possessionum, quidquid pecoris, et reliquas facultates proscriberet, easque, ne direptae perderentur,

A. C. 1330 διαφθαρῇ· λόγῳ μὲν ὡς διαφέροντα βασιλεῖ, τῇ δ' ἀληθείᾳ τῷ φίλῳ Σφραντζῇ τὴν χάριν κατατιθέμενον τῆς φυλακῆς· αὐτῷ δὲ γράμματα παρασχόμενος βασιλικὰ, ἃ τῶν φρουρίων Σωσκοῦ τε καὶ Δεύρης καὶ Σταριδόλων καὶ Χλερηνοῦ ἐπέτρεπε τὴν ἀρχὴν, ἐξέπεμπεν ἐκ Διδυμοτείχου κατὰ τάχος· αὐτὸς δὲ περιμείνας οὐ πολλὰς ἡμέρας, ἀλλ' ὅσας ᾤετο Σφραντζῇ ἀνακωχὴν πρὸς τὴν ἐπιχείρησιν παρέξειν, ἄρας καὶ αὐτὸς τὴν πρὸς Θεσσαλονίκην ᾔει σχολῇ βαδίζων. Σφραντζῇ δὲ ἐπεὶ τῆς ἐγκεχειρισμένης ἀρχῆς ἐγκρατὴς ἦν, προσέπεμπεν εὐθὺς
P. 278 τοὺς ἀποστήσοντας ὁ Συργιάννης· ὁ δὲ ὀργῇ τε φέρεσθαι δοκῶν πρὸς βασιλέα καὶ αὐτῷ εὔνους εἶναι ἐκ πολλοῦ συνθήκας θέμενος καὶ ὅρκους πρὸς αὐτὸν, προσεχώρησεν εὐθέως. Συργιάννης δὲ ὑπερήσθη τε τῇ πρὸς αὐτὸν ἀποστασίᾳ τοῦ Σφραντζῆ, καὶ μηδὲν μελλήσας, παραλαβὼν αὐτὸν, ἀφίκετο πρὸς Κράλην, ἅμα μὲν ἐνδεικνύμενος ὡς τὰ πράγματα αὐτῷ ἐπὶ τὸ βέλτιον χωροίη, ὡς καὶ τῶν συγκλητικῶν ἤδη βασιλέως πρὸς αὐτὸν ἀφισταμένων· ἅμα δ' ἵν' ἐφελκύσηται καὶ δι' αὐτοῦ πρὸς τὸ παρεῖναι καὶ αὐτὸν πανστρατιᾷ καὶ συμμαχεῖν. ἐδεδίει γὰρ μὴ, βασιλέως ἐπελθόντος, ἀδύνατος ὢν ἀν-
B θίστασθαι αὐτὸς, διαφθαρῇ καὶ ἀπόληται καταπολεμηθείς· καὶ ἔπεισέ γε ὑποτιθέμενος· ὡς ἂν ἐλθόντες αὐτοὶ στρατοπεδεύσωνται ἐν Θεσσαλονίκῃ, αἱ μήπω προσκεχωρηκυῖαι τῶν ἑσπερίων πόλεων ἀπογνοῦσαι τὴν ἐκ βασιλέως ἐπικουρίαν, ὁρῶσαί τε ἤδη αὐτοὺς τὰ ἔμπροσθεν αὐτῶν πολέμῳ κτωμέ-

custodiret: et verbo quidem imperatori eas servaret, re autem vera in amicum Sphranzen huius tutelae gratiam conferret: traditoque diplomate, quo oppidulorum Sosci, Deures, Staridolorum, et Chlereni praefectus declarabatur, Didymoticho eum mature dimisit: ipse post dies paucos, quot Sphranzen velut per inducias ante facinoris aggressionem consumpturum putabat, lento itinere Thessalonicam petiit. Ad Sphranzen praefecturae iam potentem Syrgiannes continuo mittit qui eum ad defectionem sollicitent. Is ira ingenti in imperatorem, et antiqua iam in Syrgiannem benevolentia simulata, sancito foedere, statim se cum illo coniungit. Qua coniunctione Syrgiannes mirum in modum gavisus cum eodem ad Cralem proficiscitur: tum ut ostenderet rem belle procedere, (utpote iam etiam consiliariis imperatoris ad se transeuntibus) tum ut per eum commotus omnibus copiis suis bello interesset. Metuebat siquidem ne superveniente imperatore, cum ad resistendum haud satis valeret, victus cum suis periret. Et persuasit, monuitque, si profecti apud Thessalonicam castrametarentur, occidentales urbes, quae se nondum dedissent, auxilium imperatoris desperantes, cernentesque ipsos Syrgiannem et Cralem ante se positas urbes iam armis domuisse, inter-

νους, αὐτοὶ ἐναπειλημμένοι μέσοι προσχωρήσουσιν εὐθέως. A. C. 1330 καὶ παραλαβόντες αὐτὸν πανστρατιᾷ ἐλθόντες, ἐστρατοπεδεύσαντο παρὰ τὸν Ἄξιον ποταμόν. καὶ ὁ βασιλεὺς διὰ Μακεδονίας μέρος τῆς Ῥωμαίων ἐπαγόμενος στρατιᾶς, (οἱ πλείους γὰρ ἔτι ἐν παρασκευαῖς ἦσαν διὰ τὸ ταχεῖαν γεγενῆσθαι τὴν στρατείαν,) μεταξὺ Θεσσαλονίκης καὶ Ῥεντίνης φρουρίου τι- V. 223 νός, ὃ παρὰ τῇ Βόλβῃ λίμνῃ κεῖται ἐπὶ λόφου ἱδρυμένον, C ἐστρατοπέδευσεν ἐν χωρίῳ τινὶ τῶν Κρητῶν προσαγορευομένῳ, ὅτι στρατιὰ ἐκ Κρήτης αὐτὸ κατῴκουν δι' αἰτίαν τινὰ ἐκ τῆς νήσου ἀναστάντες. ἐκεῖσε δὲ ἐστρατοπεδευμένῳ ἠγγέλλετο ὑπό τινος δρόμῳ πρὸς τὴν ἀγγελίαν ὡρμημένου, ὡς περὶ τὴν Σερμυλίων πόλιν, πάλαι μὲν ᾠκισμένην, νυνὶ δὲ ὑπό τινος ὡς ἔοικε πολέμου κατεσκαμμένην, μεταξὺ Παλλήνης καὶ Ἄθω, ἑξήκοντα προσέσχον νῆες Περσικαί, καὶ τὰ ἐκεῖσε χωρία πορθοῦσιν ἀποβάντες. τὸν μέγαν δὲ δομέστικον μετακαλεσάμενος ὁ βασιλεύς, περὶ τῆς στρατιᾶς ἐπυνθάνετο τῆς ἐκεῖ ἐστρατοπεδευμένης, εἰ ἀρκοῦσα πρὸς τὴν τῶν βαρβάρων δοκοίη συμπλοκήν. ὁ δ' ἔφασκεν, ἀκριβῶς μὲν οὐδὲ αὐτὸς τὸν D ἀριθμὸν εἰδέναι. διὰ γὰρ τὸ ἐγγὺς Θεσσαλονίκης ἤδη γεγενῆσθαι πολὺ προσεῤῥυηκέναι αὐτῇ στρατιᾶς πορισμοῦ τῶν ἐπιτηδείων ἕνεκα· παρῄνει δὲ εἰ καὶ αὐτῷ βέλτιον δοκοίη, τὴν οὖσαν παραλαβόντα στρατιάν, τῆς πρὸς Πέρσας φερούσης ἔχεσθαι ὁδοῦ· ὡς αὐτοῦ τάχιστα ἐκ τῶν παρακειμένων χω-

3. τὸν Ἄξιον. Ad oram MS. τὸν νῦν Βαρδάριον καλούμενον, ἢ μᾶλλον Βιστρίτζα, id est, *quem Bardarium dicunt, seu potius Bistritzam.* Ceterum legitur et Ἀξειός. Vide Gregoram lib. 8. *ED. P.* 13. μεταξὺ Παλλήνης. Ad oram MS. τῆς Κασανδρείας, id est, *quae nunc Cassandria dicitur. ED. P.*

clusas in medio statim se dedituras. Crale igitur cum totis copiis assumpto, iuxta flumen Axium castra ponunt. Imperator per Macedoniam adducens partem exercitus (propter festinatam quippe expeditionem plures adhuc se comparabant) inter Thessalonicam et Rhetinen castellum quoddam, iuxta Bolben paludem in colle situm, castrametatur, in loco Cretensium appellato, quod illic e Creta insula nescio quam ob causam, pulsi milites habitaverant. Ibi a quodam curriculo ei nuntius perfertur, prope urbem vetustam Sermyliorum, nunc bello ut apparet subversam, inter Pallenen et Atho Persas sexaginta navibus appulsos, agro vastitatem inferre. Advocato igitur magno domestico, de praesenti copia percunctatur, num ad confligendum cum barbaris sufficiat. Negat ille explorate se nosse quanta sit: nam quia Thessalonicae iam appropinquarint, ob facilitatem commeatus frequentes affluxisse. Hortabatur igitur ut, si placeret, viam contra Persas capesseret, quod e locis adiacentibus brevissimo

A. C. 1330 ρίων συλλέξοντος καὶ ἑτέραν ἀρκοῦσαν πρὸς τὸ ἔργον. ἐπείθετο μὲν οὖν ὁ βασιλεὺς εὐθὺς, καὶ τῆς πρὸς Πέρσας εἴχετο ὁδοῦ. ὁ δὲ ὡς μάλιστα ἐνῆν, ὀξέως ἀθροίσας στρατιὰν, συνέμιξε τῷ βασιλεῖ· καὶ μετὰ μέσην ἡμέραν καθ' ἃ οἱ Πέρσαι ἐληΐζοντο ἐγένοντο χωρία. καὶ γενομένης αὐτόθι συμβολῆς, ἐπιπολὺ μὲν ἀντέσχον οἱ Πέρσαι διὰ τὸ δυσπρόσοδα εἶναι τὰ χωρία καὶ ὑλώδη ἐφ' ἃ ἐγεγένητο ἡ μάχη· ὅπερ οὐκ ὀλίγον συνεβάλλετο στρατιᾷ τῇ Περσικῇ οὔσῃ πεζῇ. τέλος δὲ
P. 279 κατὰ κράτος νικηθέντες διεφθάρησαν, οἱ μὲν ἁλόντες ζῶντες, οἱ δὲ πεσόντες παρὰ τὴν μάχην· ὅσοι δὲ εἰς τὴν ὕλην ἠδυνήθησαν διαφυγεῖν, ἐς τὴν ὑστεραίαν γενόμενοι παρὰ τὰς ναῦς τὰς ἑαυτῶν, τὰς μὲν λοιπὰς ἁπάσας ἐνέπρησαν πυρί· δύο δὲ πληρώσαντες (μόνοι γὰρ τοσοῦτοι ὑπελείποντο) ἀνεχώρησαν ἐπ' οἴκου. Ῥωμαίων δὲ κατὰ τὴν μάχην ἔπεσον μὲν ὀλίγοι, τραυματίαι δὲ ἐγένοντο καὶ ἄνθρωποι καὶ ἵπποι πλεῖστοι. ἐκεῖθεν δὲ ὁ βασιλεὺς εἰσελθὼν εἰς Θεσσαλονίκην, ηὐλίσατο ἐκεῖ ἐφ' ἱκαναῖς ἡμέραις. Συργιάννης δὲ ἀπὸ τοῦ στρατοπέδου τῶν οἰκείων ἓξ παραλαβὼν καὶ Σφραντζὴν, τριάκοντα
B καὶ αὐτὸν ἐπαγόμενον τῶν οἰκετῶν, εἰς ποταμόν τινα οὐ τῶν ἀεννάων Γαλυκὸν ὠνομασμένον οὐ μακρὰν Θεσσαλονίκης ῥέοντα, ῥαστώνης ἦλθε χάριν καὶ παραψυχῆς. Σφραντζῆς δὲ αὐτὸν μόνον ἤδη ἀναπειλημμένον, καὶ τὸ μὲν συλλαμβάνειν οὐ μάλιστα ὂν εὐχερὲς, (ἐδεδίει γὰρ μὴ αἰσθήσεως γενομένης ἐν τῷ στρατοπέδῳ ἀπόλλωνται διαφθαρέντες) ῥᾷστον δὲ

tempore aliam manum, quanta rei sufficeret, collecturus esset. Paret actutum imperator, in Persas viam molitur. Domesticus quam potest celeriter ad eum milites congregat: ac secundum meridiem ubi in ea ipsa loca devenerunt, quae Persae depopulabantur, commisso proelio hostes diu se defenderunt: propterea quod ea regio propter nemorum densitatem difficiles habebat aditus: id quod Persis, cum essent pedestres, non parum proderat. Tandem vi summa victi, partim ceciderunt, partim capti sunt. Quotquot autem in silvas se abdere potuerunt, postera luce ad naves suas reversi, reliquis inflammatis, duas compleverunt (tot enim de praedonibus illis tantummodo restabant) ac domum properarunt. Romanorum pauci desiderati; plurimi et milites et equi vulnerati. Idem imperator Thessalonicam ingressus, dies ibi complures agitavit. Syrgiannes cum sex de suo exercitu assumptis, et Sphranze, quem et ipsum triginta comitabantur, ad fluvium quemdam non perennem, Galycum vocabulo non procul a Thessalonica, animi levandi accessit. Sphranzes solum iam et interceptum videns, eumque comprehendere, haud esse facile (quod timeret, ne si id in castris sentiretur, cum suis sibi pereundum esset) trucidare autem facillimum, imperatoriae praeceptionis

τὸ ἀποκτεῖνειν, τῶν βασιλέως παραινέσεων ἀμνημονήσας, τοῖς A.C. 1330
τε αὐτῷ συνοῦσι περὶ τοῦ ἀποκτείνειν Συργιάννην κρύφα διαλεχθεὶς καὶ πείσας, (πρότερον γὰρ οὐδέπω οὐδενὶ τὴν βουλὴν κατάδηλον ἦν πεποιηκὼς,) ἀποκτείνουσί τε αὐτὸν ἀγνοήσαντα τὴν ἐπιβουλὴν, καὶ φεύγοντες ἧκον εἰς Θεσσαλονίκην. C
βασιλεὺς δὲ ἐμέμψατο μὲν Σφραντζὴν τῆς μικροψυχίας· μᾶλλον γὰρ ἠβούλετο δεσμώτην ἀγαγεῖν ζῶντα Συργιάννην ἢ ἀποκτεῖναι· ἐπεὶ δὲ ἀναλῦσαι τὰ γεγενημένα οὐκ ἐνῆν, τὸν μὲν φόνον ἐλογίζετο τῇ ἀνάγκῃ τῇ ἀπὸ τῶν πραγμάτων, αὐτὸν δὲ ἠμείβετο καὶ τοὺς συνόντας τῆς τε εὐψυχίας ἕνεκα καὶ τόλμης, καὶ τοῦ σφᾶς αὐτοὺς προδήλοις κινδύνοις ἐμβαλεῖν ὑπὲρ αὐτοῦ· καὶ Σφραντζὴν μὲν τῇ τοῦ μεγάλου στρατοπεδάρχου τετίμηκεν ἀξίᾳ· προσόδους τε παρέσχεν ἐτησίους ἐκ χωρίων ἀναλόγως, καὶ τοὺς ἄλλους ἅπαντας ὡς ἕκαστοι. Κράλης δὲ ἐπεὶ ἐπύθετο πεσόντα Συργιάννην, πέμψας μὲν ἤγαγεν αὐτὸν εἰς τὸ στρατόπεδον ἐμπνέοντα ἔτι· ἀποθανόντα δὲ μετὰ μικρὸν ἐ- D
θρήνησέ τε ἐφ' ἱκανὸν ὡς ἄνδρα φίλον, καὶ ἔθαψε μεγαλοπρεπῶς. πρεσβείαν δὲ εἰς βασιλέα πέμψας, σπονδὰς ἔθετο V. 224
πρὸς αὐτὸν εἰρηνικὰς καὶ συμμαχίαν, καὶ ἐς τὴν ὑστεραίαν οὐ μακρὰν Θεσσαλονίκης παρὰ τὸν Γαλυκὸν ποταμὸν συγγενόμενοι τῷ βασιλεῖ, ἀνεχώρησαν εἰς τὴν οἰκείαν. πόλεις δὲ ὅσαι πρότερον ἐγένοντο ὑπὸ Συργιάννην, πεσόντος αὐτοῦ, συγγνώμην παρασχομένου βασιλέως καὶ ἀμνηστίαν τῆς ἀποστασίας, προσεχώρησαν ἑκοῦσαι πάλιν. ὑπὸ δὲ τοὺς αὐτοὺς χρό-

immemor, cum satellitibus de nece Syrgianni afferenda secreto colloquitur. Quibus persuasis (nondum enim consilium suum cuiquam aperuerat,) hominem huiusmodi insidiarum prorsus ignarum interficiunt, et Thessalonicam perfugiunt. Imperator Sphranzen ut imbellem castigat: malebat enim vivum et vinctum potius ad se perduci, quam iugulari. Sed quoniam facta infecta nequibant fieri, caedem rerum necessitudini adscribens, ipsi et administris eius ob imperterritam animi fortitudinem, et quod se periculis manifestis pro ipso obiecissent, gratiam rependit. At Sphranzen quidem magni stratopedarchae dignitate condecoravit, reditusque respondentes e certis locis in annos singulos illi destinavit: ceteros quoque, unumquemque pro persona et merito muneravit. Crales Syrgiannem percussum in castra adhuc spirantem deportandum curavit. Paulo post extinctum diu ut amicum deflevit, et splendide funeravit, missisque legatis, foedus et societatem cum imperatore pepigit: et die altero, haud procul a Galyco flumine cum eodem sermone collato, domum rediit. Urbes quotquot sub Syrgianne fuerant, eo caeso, veniam et *ἀμνηστίαν* ab imperatore consecutae, ad illius auctoritatem et obedientiam redierunt. Sub idem tempus etiam Ungrorum princeps,

A. C. 1330 ονους καὶ ὁ τῶν Οὔγκρων ἄρχων, ὃν ῥῆγα καλεῖν οἶδεν ἡ Λα-
τίνων φωνή, στρατιᾷ μεγάλῃ ἐστράτευσεν ἐπὶ Κράλην, περὶ
γῆς ὅρων πρὸς αὐτὸν διενεχθείς· δείσας δὲ ὁ Κράλης μὴ
ἀδύνατος εἴη ἀμύνεσθαι αὐτόν, πρεσβείαν ὡς βασιλέα πέμ-
P. 280 ψας, ᾐτεῖτο συμμαχίαν. ἡσθεὶς δὲ ὁ βασιλεὺς πρὸς τὴν πρε-
σβείαν, στρατιὰν ἀπολεξάμενος πολλήν τε καὶ ἀγαθήν, ἔπεμ-
ψεν εἰς Κράλην συμμαχίαν. ὁ ῥὴξ δὲ Οὐγκρίας, ἐπεὶ ἐγένε-
το ἐν μεθορίοις τῆς αὐτοῦ καὶ Τριβαλῶν ἀρχῆς, πρὶν ἐς τὴν
πολεμίαν ἐσβαλεῖν, ἀνεχώρησεν εἰς τὴν οἰκείαν. λόγος δὲ ἦν
ὡς πυθόμενος ἐκ βασιλέως ἥκειν συμμαχίαν ἀνεχώρησεν· εἴ-
τε δὲ τούτου ἕνεκα εἴτε καὶ ἑτέρου τινός, ἔμεινεν ἐν ἀδήλῳ.
καὶ ὁ Κράλης δὲ τῆς αὐτῆς ἕνεκα αἰτίας οἰόμενος ἀνακεχωρη-
κέναι ῥῆγα, βασιλεῖ τε ὡμολόγει χάριτας πολλάς, καὶ τοὺς
B στρατηγοὺς ἅμα καὶ τὴν στρατιὰν δώροις φιλοφρονησάμενος
ἀξίως, χαίροντας ἀπέστειλεν εἰς τὴν οἰκείαν. καὶ ὁ βασιλεὺς
τὸ ἔτος ἐκεῖνο διεχείμασεν ἐν Θεσσαλονίκῃ.

A. C. 1331 κς'. Ἅμα δὲ ἦρι ἀρχομένῳ γράμματα ἧκε βασιλεῖ ἐκ
C Βυζαντίου ἀγγέλλοντα, ὡς δύο τῶν παρὰ Μυσοῖς δυνατῶν,
Ῥαξίνας ὁ πρωτοβεστιάριος καὶ Φίλιππος ὁ λογοθέτης, πρὸς
τὴν βασιλεύουσαν αὐτῶν τοῦ Μιχαὴλ γαμετήν, θείαν οὖσαν
Κράλη τοῦ Στεφάνου, διαστασιάσαντες ἐξήλασαν τῆς ἀρχῆς·
καὶ αὐτὴ μὲν φεύγουσα ἅμα τέκνοις, πρὸς Κράλην τὸν ἀδελ-

17. ἅμα δὲ ἦρι. Ad oram MS. adscriptum erat: *ταῦτα πρὸ τῶν εἰρημένων περὶ Συργιάννη συνέβη*, id est: *Haec prius acciderunt quam quae de Syrgianne supra memorata sunt.* Quod ita videtur ex libb. 9. et 10. Nicephori Gregorae. *ED. P.*

quem Latina lingua regem nominat, magno cum exercitu Cralem, quicum ei de finibus erat controversia, appetivit. Formidans Crales, ne se adversus illum tueri non posset, imperatorem subsidium per legatos rogavit. Qua petitione delectatus imperator delectu confecto, ingens et animosum agmen confecit, eique auxilio misit. Ungriae autem rex, cum in confiniis regni sui ac Triballorum tenderet, priusquam in hostilem regionem irrueret, propter submissas Triballo ab imperatore copias (ut fama fuit) converso itinere domum rediit: quod utrum hac, an alia de causa fecerit, incompertum mansit. Crales certe idcirco eum abiisse ratus, imperatori summas gratias egit: et duces exercitumque dignis donis humaniter donatos, domum laetabundus remisit. Imperator illius anni hiberna Thessalonicae egit.

26. Ineunte vere, Byzantio accipiuntur literae, duos Moesorum dynastas, Rhaxinam protovestiarium, et Philippum logothetam, reginam suam, defuncti Michaelis uxorem, et Cralis Stephani materteram,

φιλοῦν ἥκει. ἐκεῖνοι δὲ ἅμα καὶ τοὺς ἄλλους πείσαντες δυνα- A. C. 1331 στας τῶν Μυσῶν, τὸν ἀδελφιδοῦν τοῦ προβεβασιλευκότος Μιχαὴλ, Ἀλέξανδρον τὸν Στρεαντζιμήρου ἀπέδειξαν βασιλέα ἑαυτῶν· ὃς ἅμα τῷ ἐγκρατὴς γενέσθαι τῆς ἀρχῆς τήν τε στρατιὰν ὅση ἦν Μυσοῖς παραλαβὼν, καὶ ἐκ Σκυθῶν κατασυμμαχίαν οὐκ ὀλίγην, ταῖς πρότερον ἐπεστράτευσε πόλεσι προσ- D χωρησάσαις βασιλεῖ· καὶ πλὴν Μεσημβρίας τὰ μὲν τῶν ἄλλων τοῖς ὅπλοις, τὰ δὲ παρεστήσατο ὁμολογίᾳ. τοιαῦτα δὲ πυνθανομένῳ βασιλεῖ, οὐκέτι ἀνεκτὸν ἐδόκει μένειν ἐν Θεσσαλονίκῃ· ἀλλ' ἄρας ἐκεῖθεν, εἰς Βυζάντιον ἀφικνεῖται. καὶ πρῶτα μὲν Συναδηνὸν τὸν πρωτοστράτορα εἰς Μεσημβρίαν ἄρχοντα ἐκπέμπει· δείσας μὴ καὶ Μεσημβριανοὶ ἄχρις ἂν ἡ στρατιὰ ἀποσταῖεν παρασκευασθῇ. ἐκέλευέ τε εἰς Βυζάντιον ἀθροίζεσθαι τὴν στρατιάν· καὶ αὐτὸς παρεσκευάζετο ὡς τοῖς Μυσοῖς πολεμησείων. μεταξὺ δὲ παρασκευαζομένου, ἠγγέλλετο ἐκ τῆς ἕω, ὡς στρατιὰ Περσῶν εἴη παρεσκευασμένη ἐπιθέσθαι Νικομηδεῦσι. Νικομήδεια δὲ ὅπλοις μὲν ἀνάλωτος ἦν καὶ βίᾳ χειρῶν, τειχῶν τε καρτερωτάτων περιβολῇ καὶ τῇ ἄλλῃ τοῦ τόπου φύσει εὐφυῶς πρὸς ὀχυρότητα ἐχούσῃ· ἐδε- P. 281 δίει δὲ τὴν ἔνδειαν τὴν ἐκ τοῦ σίτου. ὃ δὴ καὶ οἱ βάρβαροι συνιδόντες, τῶν τειχῶν μὲν ἠμέλουν ὡς ἀναλώτων ἐσομένων ἐκ τειχομαχίας, τῆς παρόδου δὲ ἐσπούδαζον κρατῆσαι, δι' ἧς ἐτρέφετο ἡ πόλις. καὶ ὁ βασιλεὺς δὲ ὁμοίως ὅ,τι διανοοῦνται οἱ βάρβαροι σαφῶς εἰδὼς, διὰ σπουδῆς ἁπάσης τρο-

regno per seditionem expulisse: quae cum liberis ad Cralem sororis suae filium se contulit. Illi et aliis Moesorum principibus in suam sententiam adductis, Alexandrum Stranzimero et Michaelis sorore natum, regem sibi legunt. Is simul ac regnum inivit, quidquid erat in Moesia copiarum, adiuncto praeterea Scytharum non exiguo numero, contra civitates, quae se imperatori tradiderant, eduxit; ac praeter Mesembriam alias armis, alias deditione occupavit. Haec ut ad imperatorem perlata sunt, Thessalonicae minime haerendum censens, Byzantium discessit. Principio protostratorem Synadenum Mesembriam pro praefecto mittit: timens ne et Mesembriani, dum exercitus cogitur, deficerent. Copias Byzantium congregari iussit, et ipse ut in Moesos pugnaturus se comparabat. In ipso belli apparatu fit certior, Persarum copias ad Nicomediam adoriendam paratas esse. Quae urbs manu et armis inexpugnabilis, moeniumque firmissimorum ambitu et reliqua ipsius loci natura munitissima, frumento et cetero commeatu haud abundabat. Quo perspecto barbari muris desperatis vias nitebantur obsidere, quibus cibaria in urbem importabantur. Imperator exploratum habens, quid illi conarentur, omnimodis vicissim laborabat, ut premente barbaro Nicomediensibus ali-

A. C. 1331 φὴν παρέχειν Νικομηδεῦσιν ἐπιόντων τῶν βαρβάρων ἐποιεῖτο· ὡς εἰ τοῦτο παρείη, ῥᾶστα τὴν λοιπὴν οἰσόντων πολιορκίαν. καὶ τότε οὖν πυθόμενος ἐστρατοπεδεῦσθαι τοὺς βαρβάρους παρ' αὐτήν, τῆς μὲν κατὰ τῶν Μυσῶν ἠμέλει εἰσβο-
B λῆς· στόλον δὲ ἐξαρτυσάμενος ἔκ τε τριήρεων καὶ φορτίδων νεῶν ἑτέρων, στρατιάν τε ἐνθέμενος καὶ σῖτον, ἔπλει ἐπὶ Νικομήδειαν. πρὶν δὲ καταρᾶι, οἱ βάρβαροι αἰσθόμενοι, σκηνὰς ἀναλαβόντες καὶ τὴν ἄλλην ἀποσκευήν, ἀνεχώρουν εἰς τὴν οἰκείαν, δείσαντες τὴν βασιλέως ἔφοδον. Ὀρχάνης γὰρ αὐτῶν ὁ σατράπης ἔτι οὐ παρῆν. ἀπόβασιν δὲ ποιησάμενος ὁ βασιλεὺς καὶ Νικομηδέας λόγοις τε καὶ ἄλλαις φιλοφροσύναις ἐπιῤῥώσας, τόν τε σῖτον παρασχών, ηὐλίσατο ἐκεῖ ἐπὶ δυσὶν ἡμέραις. ἅμα δὲ ἕῳ εἰς τὴν τρίτην παντὶ τῷ στόλῳ ἐπανέπλευσεν εἰς Κωνσταντίνου. καὶ διατρίψας ἐν αὐτῇ ἡμέρας οὐ πολλάς, ἐπεὶ καὶ ἡ στρατιὰ πᾶσα ἤδη παρῆν, καὶ ὅσα ἔδει
C ἐπεπόριστο, ἄρας ἐκ Βυζαντίου, οὐ πολλαῖς ὕστερον ἡμέραις ἐσέβαλεν εἰς τὴν Μυσίαν καὶ ἐδήωσέ τινα αὐτῆς· ὑπερβάς τε τὸν Αἶμον, τὰ μὲν ἄλλα πολίσματα ὅσα ἦν καὶ πρότερον ἔχων, παρεστήσατο ὁμολογίᾳ πάλιν· Ἀγχίαλος δὲ ἔτι ἐφρουρεῖτο παρὰ τῶν Μυσῶν. Ἀλέξανδρος γὰρ ὁ τῶν Μυσῶν βασιλεύς, αἰσθόμενος τὴν βασιλέως εἰσβολήν, ἐβοήθει κατὰ τάχος πανστρατιᾷ ἄγων τοὺς Μυσούς. καὶ ἐλθὼν ἐστρατοπεδεύσατο παρὰ τὸ Ἀετόν, οὐ πολὺ ἀπέχων βασιλέως παρὰ τὸ Ῥωσόκαστρον ἐστρατοπεδευμένου· πλὴν ὅτι στενή τις καὶ ἀπόκροτος δίοδος τὰ στρατεύματα ἀμφότερα διεῖρ-

menta submitteret: quibus suppeditantibus, deinceps eos obsidionem commodissime toleraturos confidebat. Cum itaque didicisset hostes prope urbem castra constituisse, expeditione in Moesos omissa, classeque ex triremibus et onerariis adornata, et militibus commeatuque impositis, Nicomediam solvit. Sed antequam portum subiret, barbari eius adventu cognito prae formidine correptis tentoriis et impedimentis, Orchane eorum duce nondum praesente, in sedes suas reverterunt. Exscendens imperator Nicomedienses tum alloquio, tum omni genere humanitatis confirmavit, et commeatu eos impertivit, mansitque apud eos biduum. Die tertio in ipso lucis primordio Constantinopolin cum tota classe remeavit: unde diebus haud ita multis, exercitu iam praesente, et necessariis instructus omnibus, in Moesiam irrupit, ac loca quaedam devastavit: Haemumque practergressus, alia quidem oppidula, quae prius habuerat, per deditionem recepit; Anchialum autem adhuc Moesi praesidiarii tuebantur. Alexander siquidem Moesorum rex imperatoris impressionem sentiens, cum exercitu quantus erat ad arcendum accurrit, iuxtaque Aetum non procul ab imperatore, qui apud Rhosocastrum tendebat,

γεν· ἣν φθάσας ὁ Ἀλέξανδρος, ἐφρούρει πεζὴν ἐπιστήσας A.C. 1331 στρατιάν. βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο Ἀλέξανδρον ἐγγὺς ἐστρα- D τοπεδευκέναι, ἐς τὴν ὑστεραίαν ἅμα ἕῳ ἐκέλευεν ὁπλίζεσθαι τὴν στρατιάν· καὶ ἐπειδὴ ἦσαν ὡπλισμένοι, παραλαβὼν αὐτοὺς ὡς μάχην παρατεταγμένους, ἐγγὺς τῆς διόδου ἦλθεν, ἣ παρὰ Ἀλεξάνδρου ἐφρουρεῖτο, καὶ προὐκαλεῖτο ὡς ἐς μάχην τοὺς Μυσούς. προσβάλλειν γὰρ αὐτῶν τῷ στρατοπέδῳ οὐκ ἐνῆν διὰ τὴν δίοδον οὖσαν τραχεῖαν καὶ στενὴν καὶ φρουρουμένην ὑπ' αὐτῶν. διημερεύσας δὲ ἐκεῖ ἐν ὅπλοις, ἐπεὶ οὐδεὶς ἀντεπεξῄει, εἰς τὸ οἰκεῖον στρατόπεδον πάλιν ἐπανῆλθε. καὶ ὕστερον ἡμέραις οὐ πολλαῖς πάλιν ἧκεν ἄγων ὡπλισμένην τὴν στρατιὰν ἐπὶ τὴν μάχην, καὶ διημέρευσεν ὥσπερ καὶ πρότερον πρὸς τῶν στενῶν τὰς εἰσβολάς. Μυσοὶ δὲ οὐδ' οὕτως ἐτόλμησαν εἰς τὴν εὐρυχωρίαν ἐξελθόντες ἐκ τοῦ ἴσου διαγωνίσασθαι πρὸς βασιλέα. ὁ δὲ εἰς τὸ στρατόπεδον τὸ P. 282 οἰκεῖον πάλιν ἐπανέζευξε καταπλήξας τῇ τόλμῃ τοὺς βαρβάρους. Ἀλέξανδρος δὲ ὁρῶν ἤδη ἀδύνατος ὢν ἐκ παρατάξεως ἀντιστῆναι βασιλεῖ, πρεσβείαν πέμψας διελέγετο περὶ εἰρήνης. ἠξίου τε ἔχοντας ἑκάτερον ἃ ἔχουσι, πολέμου ἀποσχέσθαι. βασιλεὺς δὲ οὔτε πολέμου ἔφασκεν αὐτὸς ἄρξαι, οὔτε ἀποστερῆσαί τινα τῶν Μυσοῖς διαφερόντων· ἀλλ' ἀδικούμενος ὑπ' αὐτῶν πολέμου ὑπαρχόντων, ἀμύνεσθαί τε ἀναγκαίως, καὶ τὰ ὑπ' αὐτῶν ἀφῃρημένα ἀνασώζεσθαι. αποστερεῖσθαι δὲ ἔτι Ἀγχιάλου, ἣν εἰ ἀπολήψεται, σπονδὰς θέσθαι ἕτοιμος εἶναι πρὸς αὐτοὺς εἰρηνικάς. καίτοι γε ἐχρῆν εἰ φιλόνεικος ἦν

castra locat, angusto quodam et aspero transitu ambos exercitus dirimente: quem Alexander peditibus aliquot ibi dispositis custodire occuparat. Imperator Alexandrum in vicino castra metari intelligens, postridie diluculo suos capere arma iussit. Armatos deinde veluti pugnaturos, et per acies digestos, ad transitum illum deduxit, ac Moesos ad manum conserendam provocavit. Nam quia transitus ille salebrosus et arctus erat, et ab ipsis servabatur, in castra irrumpere commode nequibat. Toto igitur die ibi transacto, quia nemo hostium contra exibat, in sua castra pedem retulit: paucisque diebus instructis ad proelium militibus rediit, ac eodem modo ad introitum angustiarum die quam longa est constitit, cum Moesi ne tum quidem in planitiem se dare foras, et aequo campo lacessere Martem auderent. Imperator itaque perterrefactis audacia sua barbaris, ut antea castra subiit. Alexander cernens, si acie congrederetur, fore imparem, per legatos oravit, ut facta pace, sua uterque retineret. Respondit imperator, neque se priorem arma movisse: neque quidquam Moesis abstulisse: verum ab ipsis prius lacessitum, compelli resistere et ablata recuperare. Insuper Anchialum sibi eripi, qua reddita, pa-

A.C. 1331 καὶ ἀπαραίτητος πρὸς τὰς ἀντιδόσεις, πᾶσαν ἐπιδείξασθαι σπουδὴν, ὥστε καὶ αὐτὸν ἐκ τῶν αὐτοῖς διαφερόντων τινὰ κτήσασθαι πολέμῳ. διὰ δὲ τὸ τὰ στρατεύματα ἀμφότερα τῆς
V. 226 αὐτῆς ἔχεσθαι θρησκείας· ἄλλως θ' ὅτι καὶ ἡ εἰρήνη παντὸς πολέμου εἶναι δοκεῖ αἱρετωτέρα, μᾶλλον αὐτὴν αἱρεῖσθαι, εἰ τὰ οἰκεῖα μόνον ἀπολήψεται. Ἀλέξανδρος δὲ ἰσχυρίζετο ἀδικεῖν οὐδὲ αὐτός· Ἀγχίαλόν τε γὰρ καὶ τὰ ἄλλα πολίσματα, ἃ ἦν ἀφῃρημένος, οὐ Ῥωμαίοις προσήκειν μᾶλλον ἢ Μυσοῖς. τοῖς γὰρ πρὸ αὐτοῦ βεβασιλευκόσιν ἐξ ἱκανοῦ εἶναι ὑποχείρια τοῦ χρόνου. διὸ καὶ μᾶλλον βασιλέα ἀδικεῖν πρὸς οἷς
C ἀφῄρηται ἀπαιτοῦντα καὶ Ἀγχίαλον. βασιλέως δὲ ἀποκριναμένου μὴ δεῖν τὴν ἀδικίαν ἐν δικαιώματος ποιεῖσθαι λόγῳ, μηδὲ ὅτι ἐπὶ χρόνον ἀπεστέρησαν, οἴεσθαι διὰ τοῦτο δίκαιον εἶναι καὶ διηνεκῶς ἀποστερεῖν. τὰς γὰρ τοιαύτας πόλεις οὐ μόνον ἄνωθεν ἐκ παλαιοῦ ὑπηκόους Ῥωμαίοις εἶναι, ἀλλὰ καὶ αὐτῶν τὰς πλείους ὑπ' αὐτῶν τε ἐκτίσθαι καὶ κατῳκίσθαι ἀποικίας πεπομφότων· οὔπω δὲ χθὲς καὶ πρώην ὑφ' ἑαυτοὺς πεποιῆσθαι Μυσοὺς ἐκ τῶν Σφεντισθλάβου τοῦ βασιλέως χρόνων, ὃς ἦν τὴν αὐτοῦ ἀδελφὴν γεγαμηκὼς, τοῦ πρὸς Κατελάνους καὶ Πέρσας τοῖς Ῥωμαίοις πολέμου κεκινημένου· ὃς πλεῖστα δὴ ἐκάκωσε τὰ πράγματα αὐτοῖς, δι' ὃν οὐδὲ ταῦτα ἀνασώσεσθαι ἠδυνήθησαν ἐξ αὐτῶν. νυνί τε αὐτὸν ἀδικεῖν
D οὐδὲν, ἀλλὰ τά τε ὄντα ἔχειν καὶ τὰ ἐλλείποντα ἀπαιτεῖν, ἃ

20. πολέμου. Sub Andronico seniore, de quo bello Gregoras in 7. Obit autem Sphentistlabus, qui Sphendosthlabus, eodem anno, quo in iuniorem Andronicum anathema pronuntiatum est. *ED. P.*

cem foedere firmaturum. Atqui oportuisse, si in rebus suis pertinax et implacabilis esset, nervos omnes ad par pari referendum intendere, et armis sibi vicissim quaedam de illorum rebus vindicare. Quoniam vero utrique eamdem religionis sanctitatem colant, et pax cuilibet bello praeponderet, ipsam se bello huic anteponere: modo sua sibi restituantur. At Alexander, nec se iniuste agere: Anchialum enim ceteraque oppidula, quae adempta sibi quereretur, non Romanis potius quam Moesis deberi: nam regibus antecedentibus perdiu subdita fuisse. Idcirco imperatorem esse iniurium, qui praeter ea quae abstulerit, etiam Anchialum postulet. Tum imperator, iniustitiae non imponendum nomen iustitiae: neque quia ad tempus alios spoliaverint, ideo existimandum licere perpetuo spoliare. Has urbes non solum ex antiquo tempore Romanorum ditione contineri; sed etiam complures earum ab ipsis esse conditas, deductasque colonias. Moesos vix heri et nudius tertius eas sub imperium suum redegisse, a regno Sphentisthlabi sororis suae mariti videlicet, dum Romanis cum Persis, et Catalanis bellum esset, qui rex Romanos vehementer afflixerit: propter quem haec ipsis tum extorquere non

*εἰ μὲν εἰρήνης ἐπιθυμοίη ἀποδιδόναι· εἰ δὲ μή, ἀλλ' αὐτόν γε* A.C. 1331
*μὴ δύνασθαι προΐεσθαι, τρόπῳ δὲ παντὶ πειράσεσθαι διασώζειν τὴν ἀρχήν, ὁ Ἀλέξανδρος, (ἐπεὶ ἐγγὺς ἐστρατοπεδεύοντο ἀλλήλων καὶ δι' ἐλαχίστου τὰς ἀποκρίσεις ἐποιοῦντο,) οὐκ ἔφασκε δεῖν περὶ ἀρχῆς τινα διαλεγόμενον ἀποδείξεσι χρῆσθαι καὶ λόγοις πιθανοῖς, ἀλλ' ὅπλοις καὶ χειρὶ βιαιοτέρᾳ τὰ δίκαια βραβεύειν. οἷς καὶ αὐτὸν ἐκ τοῦ ὑπερέχοντος χρώμενον νυνί, περὶ γῆς ὅρων διαλέγεσθαι ἀσφαλῶς· ἐγὼ δὲ παρεχώρησα ἂν καὶ Ἀγχιάλου ἐκ τοῦ ῥᾴστου, εἰ μὴ πολλήν ἐμοί τε καὶ στρατιᾷ τὴν ἀτολμίαν καὶ τὴν μέμψιν ἐπῆγε. πρὸς γὰρ τῷ μὴ ἀντιστῆναι τολμῆσαι, μηδὲ ἐκ παρατάξεως δια-* P. 283
*γωνίσασθαι ὑμῖν, καίτοι γε ἅπαξ καὶ δὶς πρώτοις ἐπελθοῦσιν, εἰ καὶ Ἀγχιάλου ἐπ' οὐδεμιᾷ παραχωρήσομεν ἀντιδόσει, σαφέστατα δὴ ἐν πᾶσιν ἀνθρώποις ὁμολογήσομεν τὴν ἧτταν. ἀλλά τινος ἕνεκα αἰσχύνης προκαλύμματος εἰ βούλοιτο Διάμπολιν ἀποδόντα, τὴν Ἀγχίαλον ἀπολαμβάνειν. πάντως δὲ εἰδέναι ἀκριβῶς, ὡς, ὅ φασι, χάλκεα χρυσείων ἀνταλλάττεται. τούτου δὲ γενομένου, αὐτόν τε ἔχειν ἃ συμβήσεται αἰτεῖ καὶ αὐτὸν αἰσχύνης ἀπηλλάχθαι, ἴσ' ἀντ' ἴσων δοκοῦντα ἔχειν. βασιλεὺς δ' ἐπεὶ ἐδόκουν οἱ λόγοι προσηνεῖς τε εἶναι καὶ ἄξιοι παραδέχεσθαι, τοῦτο μὲν Ἀγχιάλου, Διαμπόλεως* B
*οὐδ' ὅσον εἰπεῖν διαφερούσης, τοῦτο δ' εἴτι καὶ πρόοιτο τῆς εἰρήνης ἕνεκα, οὐδεμίαν αὐτῷ μέμψιν ἂν οἰηθεὶς ἐπαγαγεῖν· ἄλλως τε καὶ σιτίων τῇ στρατιᾷ ἐπιλιπόντων, καὶ ἐνδείας οὐ-*

**potuerint. Nunc se citra cuiusquam iniuriam et sua tenere, et quae suis desunt repetere: quae, si pacem cupiat, restituat: sin minus, se ea non posse relinquere, moturumque omnem lapidem, uti principatum tueatur atque conservet. Alexander (castris erant propinqui, et per minimum intervallum responsabant) non oportere dixit quemquam de imperio litigantem demonstrationibus, et probabilibus conclusionibus, sed ferro et manu fortiore de iure statuere: quibus cum ipse nunc plus satis polleat, de imperiorum finibus secure disserat: se porro et Anchialo non gravate cessurum fuisse, ni ea res et sibi et exercitui magnae timiditatis reprehensionem pareret. Nam si praeter hoc, quod resistere et acie contra certare, quamquam semel iterumque ab ipsis accedentibus provocati, non fuissent ausi, etiam Anchialo absque compensatione cederent, apertissime omnibus mortalibus sese victos ostensuros. Verumtamen pro tegumento quodam dedecoris sui, si velit, traditurum Anchialum, et Diampolin recepturum; quamvis certissimo sciat, se, ut est in proverbio, aurea aereis permutare. Ita futurum, ut et imperator habeat quod petit: et ipse probri expers sit, cum aequalia pro aequalibus possidere videbitur. Imperator, quoniam orationem**

A. C. 1331 σης ἤδη λαμπρᾶς τῷ στρατοπέδῳ καὶ δεομένων ἢ διαγωνίζεσθαι πρὸς τοὺς πολεμίους, ἢ ἀναχωρεῖν, ὥστε καὶ αὐτὸν τὴν ἔνδειαν συνορῶντα πολλοῖς τὴν ἐς τὰ οἰκεῖα ἐπιτρέψαι ἀναχώρησιν, προσεδέξατό τε τὴν πρεσβείαν, καὶ ἐγένοντο αἱ συνθῆκαι ἐπὶ τούτοις, ὥστε Ῥωμαίους καὶ Μυσοὺς ποιήσασθαι σπονδὰς, καὶ μηδὲν ἀλλήλους ἀδικεῖν· ἀλλ' Ἀγχίαλον C μὲν ἀπολαβεῖν Ῥωμαίους, ἀποδοῦναι δὲ Διάμπολιν, καὶ τοῦ λοιποῦ εἰρήνην ἄγειν ἔχοντας ἃ ἔχουσιν ἑκατέρους. τοιαῦτα μὲν ἀμφοτέροις τοῖς βασιλεῦσιν ἐγεγένηντο αἱ σπονδαὶ ἑβδόμῃ καὶ δεκάτῃ μηνὸς Ἰουλίου ἱσταμένου· καὶ οἱ ἀποληψόμενοι τὰς πόλεις καὶ τοὺς ὅρκους παρῆσαν ἑκατέροις παρ' ἀλλήλων.

V. 227 κζ. Τῆς αὐτῆς δὲ νυκτὸς καθ' ἣν ἔμελλον εἰς τὴν ὑστε-D ραίαν τελεσθήσεσθαι οἱ ὅρκοι, ἧκον πρὸς τὸν Ἀλέξανδρον κατὰ συμμαχίαν στρατιὰ ἀπὸ Σκυθῶν. ἦν γὰρ δὴ αὐτοὺς προσκεκλημένος ἐπὶ Μπελαοῦρον τὸν θεῖον, ὃς διαστασιάσας πρὸς αὐτὸν καὶ μέρος τῆς ἀρχῆς παρασπασάμενος, λυπηρὸς ἦν καὶ κακῶς ποιῶν τὴν χώραν. νομίσας δὲ εἰς δέον χρήσεσθαι τῷ καιρῷ, εἰ τούτους ἐξαπατήσας ἐπαγάγοι βασιλεῖ, τὸν θεῖον ἔλεγεν αὐτοῖς ἐγγὺς παρεῖναι, ᾧ δέον πρὶν αἰσθέσθαι ἐπελθεῖν· ἐκεῖνον δὲ μηδὲν εἰδότα τῶν γεγενημένων προθύ-P. 281 μως καταστῆναι εἰς τὸν πόλεμον εἰκός· τούτου δὲ γενομένου, ἐκεῖνόν τε διαφθαρήσεσθαι ῥᾷστα κρατηθέντα ὑφ' ἡμῶν ὄντων πολλαπλασιόνων καὶ ἡμᾶς πόνων ἀπαλλάξεσθαι μακρὰν ἀ-

non inhumanam et admittendam censebat; et quia Anchialus Diampoli praestat, quantum dici non potest: deinde quia si quid etiam pacis gratia de suo iure remitteret, non id sibi vitio datum iri opinabatur: cum praesertim et commeatus exercitum defecisset, et luculenta penuria in castris laboraretur, militesque aut cum hoste committi, aut reduci obsecrarent; ut et ipse misericordia impulsus, multis missionem daret, legationi locum reliquit, pacemque in has conditiones fecit: ut Romanis et Moesis foedus esset, ac nihil vicissim iniuriarum inferrent: illi Anchialum reciperent, et pro ea Diampolin reponerent: ac de cetero utrique suum sibi habentes, pacem, concordiamque colerent. His legibus foedus inter reges sexdecim Kalendas Sextiles iunctum est, cum uterque et urbi, et sacramento pro se recipiendis vicarios dedisset.

27. Ea porro nocte, cui dies iurisiurandi illuxit, Scythae Alexandro suppetias venerunt contra patruum Belaurum ab eo invitati, qui seditione concitata, parteque regni ad se avulsa, et reliqua divexanda importunus erat. Existimans autem se ista commoditate opportune usurum, si eos fallacia quadam in imperatorem immitteret, patruum prope adesse dixit, et eum improviso aggrediendum: quem rei totius ignarum, acriter pugnaturum sit verisimile; sed a multo pluribus facillime superatum, et interfectum iri: et ita ipsos a labore

νύειν μέλλοντας ὁδόν. καὶ ἔπεισέ γε τοὺς βαρβάρους μὴ συνιδόντας τὴν ἀπάτην· A. C. 1331 βασιλεῖ γὰρ οὐκ ἂν ἐπῆλθον, εἴπερ ἔγνωσαν, διὰ τοὺς ὅρκους καὶ τὰς σπονδὰς, οὓς ἦσαν νεωστὶ πρὸς αὐτὸν πεποιημένοι. ἅμα δὲ ὄρθρῳ ὁπλισάμενοι, ἐχώρουν διὰ τῶν στενῶν ἐπὶ Ῥωμαίους. αἰσθόμενοι δὲ οἱ βασιλέως σκοποὶ, (αὐτόθι γὰρ ἦσαν τεταγμένοι,) ἀπήγγελλον τὴν ἔφοδον κατὰ τάχος· καὶ ὁ βασιλεὺς ἐκέλευεν ὁπλίζεσθαι τὴν στρατιάν. ἐπεὶ δὲ ὡπλίσαντο, ἐξῄεσαν τεταγμένοι κατὰ φάλαγγας ἓξ οὔσας πρὸς ταῖς δέκα. ἦρχε δὲ τοῦ μὲν δεξιοῦ κέρως ὁ B πρωτοστράτωρ, τοῦ δὲ ἀριστεροῦ Τζαμπλάκων ὁ μέγας παπίας, τὸ μέσον δὲ αὐτὸς ἐπεῖχεν ὁ βασιλεύς. ἓξ δὲ φάλαγγες τὸ μέτωπον ἐπλήρουν ἅπαν· καὶ μετ' αὐτοὺς ἦσαν αἱ δέκα τεταγμέναι ὡς ἕκαστοι μετὰ τῶν στρατηγῶν. βασιλεὺς δὲ ἠνιᾶτο μὲν ἠπατημένος ὡς πολὺ τῆς στρατιᾶς διὰ τὴν τῶν συνθηκῶν ἐλπίδα ἐπιτρέψας οἴκαδε ἀναχωρεῖν. ὅμως δὲ πρὸς μόνους τοὺς Μυσοὺς τὸν ἀγῶνα ἔσεσθαι νομίζων, ἐπῄει θαῤῥῶν αὐτοῖς. ἀπιοῦσι δὲ ἠκούετο σάλπιγξ ἠχοῦσα Σκυθική. ἠχεῖ γὰρ οὐ κατὰ τὰς ἄλλας, ἀλλ' ἄγριόν τι καὶ ἀπηχὲς, ὁποῖον ἱκανὸν εἶναι τοὺς βαρβάρους ἐρεθίζειν πρὸς θυμόν. διὸ καὶ γνώριμός ἐστι καὶ πόῤῥωθεν ἀκουομένη. νομίσας δὲ ὁ βασιλεὺς οὐ Σκύθας εἶναι, (οὐδὲ γὰρ ἂν ἠθετηκέναι C τὰς σπονδὰς τὰς πρὸς αὐτὸν,) ἀλλὰ τοὺς πέραν Ἴστρου Γέτας, οἳ ὁμόσκευοι τοῖς Σκύθαις ὡς τὰ πολλά εἰσιν ἱπποτοξόται, κατὰ συμμαχίαν παρόντας πρὸς ἔκπληξιν τῇ Σκυθι-

longi itineris adhuc emetiendi fore liberos. Isto modo barbaris fucum fecit: nam si scissent, propter foedus recenter cum imperatore initum nunquam in eum se intulissent. Die igitur exoriente, armis induti angusto calle in Romanos procedunt. Speculatores ibi collocati celeriter hostium adventum in castra nuntiant. Imperator arma expedire iubet et cum sedecim dispositis phalangibus occurrit. Dextrum cornu protostrator, Zamplaco magnus pappias sinistrum tenebat, medio agmine imperator ipse emicabat. Senae phalanges frontem totam implebant: post eas reliquae decem, singulae cum ducibus suis erant dispositae. Imperator vero delusum se ideo dolebat, quod bonae parti militum propter spem foederis missionem concesserat. Verumtamen cum solis Moesis sibi pugnandum ratus, fidenter in eos gradiebatur. Et ecce dum incedunt, tubam Scythicam exaudiunt, quae non instar aliarum tubarum, sed horridum quiddam et absonum sonat: quale barbaris ad Martem accendendum sufficit. Quare quamvis procul audiatur illud tubae genus, statim agnoscitur. Putans tamen imperator, non esse Scythas (neque enim pacem secum pactam dissolvisse,) sed trans Istrum Getas, qui iisdem quibus Scythae armis utentes, plerique omnes sunt sagittarii, Getas

A. C. 1331 χῇ σάλπιγγι χρῆσθαι, οἷς θαῤῥοῦντα καὶ Ἀλέξανδρον προθύμως πρὸς τὸν πόλεμον χωρεῖν, ἀντεπῄει καὶ αὐτὸς θαῤῥῶν. ἐπεὶ δὲ ἐγγὺς ἀλλήλων ἦσαν ὅσον ὁρᾶσθαι, ὅ,τε ἥλιος τὸν ὁρίζοντα ὑπερβὰς, ἐνεργεστέραν ταῖς ὄψεσι τὴν δύναμιν παρεῖχε, τότ' ἤδη καθαρῶς ἐφαίνετο Σκυθικὴ εἶναι ἡ ἐπιοῦσα στρατιά· οὐ γὰρ ἦσαν τεταγμένοι μετὰ τῶν Μυσῶν, ἀλλ' ἰδίαν αὐτοὶ ἐπεῖχον τάξιν. ἐπεὶ δὲ ἐγγὺς ἦσαν ὅσον ἐμβαλεῖν, D οἱ Σκύθαι τὸν μὲν βασιλέα μετὰ τῶν προτάκτων παρεξέκλιναν· ἐπὶ δὲ τοὺς ἐπιτάκτους ἐχώρουν καὶ ἐτρέψαντο ἀντισχόντας ἐπ' ὀλίγον καὶ τὴν δίωξιν ἐποιήσαντο ἄχρι Ῥωσοκάστρου. ἐκεῖ δὲ συστραφέντες οἱ Ῥωμαῖοι, ἠμύνοντο τοὺς βαρβάρους ἔξω τῶν τειχῶν. βασιλεὺς δὲ ἅμα ταῖς προτεταγμέναις ἓξ φάλαγξι, καίτοι τῶν ὀπίσω τετραμμένων εἰς φυγὴν, οὐδὲν μᾶλλον ὑπεχώρησεν, V. 228 ἀλλ' ἴῃ κατευθὺ Μυσῶν, καὶ συνέβαλον ὀλίγοι πρὸς πολλαπλασίους. μάχης δὲ καρτερωτάτης ἐφ' ἱκανὸν γεγενημένης, καὶ χειρὸς ἔργα καὶ τόλμης ἄξια πολλὰ τῶν Ῥωμαίων ἐπιδειξαμένων, τέλος ὑπὸ τοῦ πλήθους τῶν Μυσῶν ἐκβιαζόμενοι καὶ ἐν κινδύνῳ ἤδη καθεστῶτες, ὑπεχώρησαν ὀπίσω. βα- P. 285 σιλεὺς δ' ἅμα τῷ μεγάλῳ δομεστίκῳ καὶ Ἀσάνῃ τῷ Μανουὴλ τῷ τῆς μεγάλου δομεστίκου γυναικὸς ἀδελφῷ, ὃς τῆς βασιλικῆς τάξεως ἦρχε, καὶ ἑτέρους ἄγων πεντήκοντα ἐκ τῶν ἐπιφανῶν λογάδας, πρῶτα μὲν ἐτρέψαντο τοὺς κατ' αὐτούς. ἔπειτα σφοδροῦ προσεῤῥυηκότος τοῦ πολέμου καὶ πολλῶν

inquam, qui Moesis ad auxilium adessent, et ad terrorem incutiendum Scythica tuba clangerent: quorum virtute nixus Alexander hilariter ad certamen prodiret: ipse quoque bona spe plenus contra ingreditur. Postquam inter se conspexerunt, et sol altius supra finitorem elatus, rerum discrimina clarius ostendit, tum liquido apparuit, adventantium agmen Scythas esse: nam Moesis non intermixti, suos ordines obtinebant. Cum iam facienda esset impressio, Scythae imperatorem cum iis qui erant in fronte, paulum declinantes, succenturiatos invadere; quos parum resistentes in fugam dederunt et usque Rhosocastrum fugientibus inhaeserunt. Ibi conversi Romani facto cuneo barbaros a muris abstinuerunt. Imperator licet posteriores fugae se mandassent, cum sex primis phalangibus nihilo magis se abducens, recta in Moesos ibat, confligebantque pauci cum multo pluribus. Cum in longa et acerrima pugna Romani strenue dimicassent multaque virilia facinora edidissent, postremo Moesorum multitudine vehementius instante, et praesenti periculo cogente, retrocesserunt. At imperator cum magno domestico et Manuele Asane fratre uxoris domestici (qui imperatoriam regebat aciem et alios de nobilibus quinquaginta selectos ducebat) primum quidem in se irruentes fugaverunt. Post ingravescente certamine, multis circumfusis, cum testudinem servare amplius nequirent, dispersi quisque ut potuit

*περιχυθέντων, οὐκ ἠδυνήθησαν τηρῆσαι τὸν συνασπισμὸν, ἀλ- A. C. 1331
λὰ διαλυθέντες ὡς ἠδύναντο ἕκαστος, ἀνεχώρουν, τῶν δύο μόνων ὑπολελειμμένων βασιλέως καὶ μεγάλου δομεστίκου ἐν ταὐτῷ· κἀκεῖνοι δὲ διαιρεθέντες ἐπ' ὀλίγον, πάλιν τάχιστα εἰς ἓν συνῆλθον, ὡς καὶ τὸν μέγαν δομέστικον εἰπεῖν πρὸς βασιλέα· „καιρὸς εὐψυχίας καὶ τόλμης, ὦ βασιλεῦ· χρῶ B
τοίνυν τῇ χειρὶ, καὶ ἄξια ἔργα ἐπιδείκνυσο σαυτοῦ." τὸν δ' ἀποκρίνασθαι, μηδὲν ὄφελος εἶναι τῆς ἀνδρίας καὶ τῆς τόλμης τῆς αὐτοῦ, τῶν ἄλλων ἁπάντων τετραμμένων εἰς φυγήν. ὅμως βασιλεύς τε καὶ ὅσοι εἰς χεῖρας ἦλθον τοῖς Μυσοῖς, καίτοι καὶ γενομένης τῆς τροπῆς, οὐ νῶτα βάλλεσθαι παρέσχον φεύγοντες ἀμεταστρεπτί· ἀλλ' ἀμυνόμενοι καὶ περισώζοντες ἑαυτοὺς, ἦλθον ἄχρι Ῥωσοκάστρου· ἐκεῖ δὲ τῇ λοιπῇ στρατιᾷ γενόμενοι εἰς ἓν, ἠμύνοντο ὁμοῦ προθύμως πρός τε Σκύθας καὶ Μυσοὺς ἄχρι τρίτης τῆς ἡμέρας ὥρας· μηδὲν δὲ πλέον οἱ βάρβαροι δυνάμενοι ἀνύσαι, (οὐδὲ γὰρ αὐτὸ Ῥωσοκάστρου ἴσχυσαν βιάσασθαι ἐλθεῖν,) διαλυ- C
θέντες, εἰς στρατόπεδον τὸ οἰκεῖον ἐπανῆλθον. ἔπεσον δὲ παρὰ τὴν μάχην καὶ ἐζωγρήθησαν Ῥωμαίων ἀπὸ μὲν τῶν ἱππέων ἑπτὰ καὶ τριάκοντα· ὧν ἦσαν ἓξ τῆς τάξεως τῆς βασιλικῆς· πεζοὶ δὲ πέντε πρὸς τοῖς ἑξήκοντα· καὶ τούτων οἱ πλείους ἢ σύμπαντες σχεδὸν ὑπὸ τῶν Σκυθῶν ἑάλωσαν ἢ ἀπέθανον. ἀπέθανον δὲ καὶ ἀπὸ τῶν Μυσῶν ὀλίγῳ πλείους τῶν Ῥωμαίων. πλὴν ἡ νίκη φανερῶς προσεγένετο τοῖς Μυσοῖς διὰ τὸ μὴ τοὺς Ῥωμαίους ἀντισχεῖν, ἀλλὰ τραπέν-*

fugerunt, imperatore et magno domestico simul relictis: qui paulum disiuncti, rursus et celerrime coierunt; ut domesticus imperatorem sic compellaret: Nunc tempus est audendi viriliter: nunc utere dextra imperator, et quae tua persona digna sunt, perpetra. Qui virtutis suae nullum fore fructum respondit; quandoquidem ceteri omnes in fugam se dedissent. Nihilo minus et ipse et quotquot cum Moesis manus contulerant, quamquam fugerent, non tamen sine ulla conversione terga ad vulnera insequentibus praebebant: verum a fronte nihilo minus se tuentes Rhosocastrumque pervenientes, coniuncti cum reliquis, simul contra Scythas atque Moesos usque ad horam tertiam praeliabantur alacriter. Barbari quia nihil agebant (nec enim per vim Rhosocastrum irrumpere poterant) palantes in tentoria sua reverterunt. Ceciderunt captique sunt de Romanis equites quidem septem et triginta, et hi ex turma imperatoria: pedites quini et sexageni, paucis occisis, pene omnes a Scythis capti sunt. E Moesis paulo plures Romanis occubuerunt. Ceterum victoria sine controversia penes Moesos stetit: propterea quod Romani non resistentes, vage et sparsim Rhosocastrum fugerunt. Circa meridiem

A.C. 1331 τας ἀτάκτως εἰς ῾Ρωσόκαστρον ἐλθεῖν. περὶ δὲ μεσημβρίαν
τῆς αὐτῆς ἡμέρας Ἀλέξανδρος ὁ τῶν Μυσῶν βασιλεὺς τῶν
παρ' αὐτῷ ἐπιφανῶν τὸν Ἰβάνην πέμψας πρὸς βασιλέα πρε-
D σβευτὴν, ἠξίου τὰς γεγενημένας τῇ προτεραίᾳ συνθήκας ἀλύ-
τους μένειν, καὶ πλείονος ἕνεκα φιλίας καὶ ἀσφαλείας τῆς
πρὸς τὰς σπονδὰς τὴν θυγατέρα τὴν αὐτοῦ τῷ υἱῷ ἐκείνου
κατεγγυῆσαι. βασιλεὺς δὲ τὸ μὲν τελεσθῆναι τὰς γεγενημέ-
νας σπονδὰς, καὶ αὐτῷ εἶναι ἀπεκρίνατο κατὰ γνώμην, ἐπεὶ
καὶ πρότερον οὐ πρὸς ἀνάγκην, ἀλλὰ διὰ τὸ λυσιτελεῖν νο-
μίζειν τὴν εἰρήνην γεγενῆσθαι· τὴν δὲ συγγένειαν μὴ βούλε-
σθαι· δόξαι γὰρ ἂν πᾶσι δι' ἀνάγκην ἢ φόβον τοιαῦτα πράτ-
τειν οἷα δὴ νενικημένον ὑπὸ σοῦ· καίτοι τὸ μὲν τραπῆναι
συμβέβηκεν ἡμῖν μόνοις ὑπὸ πλειόνων βιασθεῖσιν. ἀποστερή-
σει δὲ τῶν οἰκείων οὐδὲν διενηνόχαμεν ἀλλήλων. πλείους
γὰρ ἀπεβάλετε ὑμεῖς· ὅμως αὐτοῦ γε ἕνεκα τοῦ ἡσσῆσθαι
δοκεῖν ἡμᾶς οὐ βούλομαι τὴν συγγένειαν ποιήσασθαι νυνὶ,
P. 286 ἀλλ' εἰρήνην μόνον καὶ σπονδάς· ἀναστρέψαντι δὲ εἰς τὴν
οἰκείαν, πρεσβείαν περὶ τῆς ἐπιγαμίας ποιεῖσθαι καὶ σκεψα-
μένῳ ὅ,τι ἂν λυσιτελεῖν δοκοίη καθ' ἡσυχίαν πράττειν. Ἰβά-
νης μὲν οὖν ἐπανῆλθεν ὡς βασιλέα τὸν οἰκεῖον, τὰς ἀποκρίσεις
τοῦ ῾Ρωμαίων βασιλέως ἄγων· καὶ μετὰ μικρὸν ἐπανῆλθε
πάλιν ἄγων καὶ συμπρεσβευτὴν τὸν Ἀλεξάνδρου τοῦ βασιλέως
θεῖον Συναδηνὸν, τὰ ἴσα πρεσβεύοντα καὶ αὖθις. περί τε
V. 229 τοῦ κήδους πολλὰ διαλεγόμενοι ἐπαγωγὰ, ἐξ ὧν ᾤοντο τὸν βα-
σιλέα πεῖσαι· ὁ βασιλεὺς δὲ τοῖς προτέροις καὶ αὖθις ἐχρῆ-

Alexander Moesorum rex de proceribus suae gentis Ibanem seu Ioannem ad imperatorem legat, et ut foedus pridie susceptum valeat, atque ad amicitiam securitatemque augendam filiam suam ipsius filio despondeat, precatur. Cui imperator, manere foedus sibi quoque non displicere: siquidem et prius non necessitatis, sed utilitatis causa compositam pacem existimaret: affinitatis coniunctionem in praesentia nolle: neminem enim aliter iudicaturum, quam vel necessitate vel timore, quia ab illo victus sit, conciliatam: etsi non ob aliud fugerint, quam quod pauci pluribus pares esse non potuerint. In amissione autem suorum nullum esse discrimen: imo ipsos plures amisisse. Sed ne victus ab illis habeatur, nolle nunc affinitatem contrahere; pacem dumtaxat et foedus non recusare: ubi domum redierit, legationem super matrimonio missurum: et quod sibi re discussa expedire visum fuerit, in tranquillitate et requie facturum. Ibanes cum hoc responso ad regem suum reversus, paulo post cum socio Alexandri patruo Synadeno rediit. Caput legationis idem quod ante: disseruerunt que de affinitate ista multa probabiliter, quibus se imperatorem flexuros opinabantur. Verum is denuo in

το λόγοις· καὶ τὴν μὲν εἰρήνην ἔφασκεν αἱρεῖσθαι, καὶ θέσθαι A. C. 1331
βούλεσθαι περὶ αὐτῆς σπονδάς· τὴν συγγένειαν δὲ οὐ νυνὶ ποιήσειν, ἀλλ' ἐς ὕστερον ἢν αὐτῷ δοκῇ. ἂν μὲν οὖν καὶ αὐ- B
τοῖς τὰ τοιαῦτα κατὰ γνώμην ᾖ, διαλέγεσθαι περὶ τῶν συνθηκῶν· ἂν δ' ἕτερά τινα διανοῶνται, ἀπελθόντας παρασκευάζεσθαι καθ' ὅ,τι ἂν δοκῇ. οἱ δ' ἐπεὶ ἑώρων βασιλέα ἀμεταστρεπτὶ τῶν ἐξ ἀρχῆς ἐχόμενον λογισμῶν, τὴν μὲν συγγένειαν τὸν αὐτῶν ἔφασαν βασιλέα περὶ πλείστου ποιεῖσθαι· καὶ αὐτοῖς προστεταχέναι περὶ ἐκείνης πᾶσαν ἐπιδείξασθαι σπουδήν· ἂν δὲ μὴ προσχωροίη μηδὲ πείθοιτο ὁ βασιλεύς, τότ' ἤδη τοὺς μὲν περὶ ἐκείνης λόγους εἰς τὸ μέλλον ὑπερθέσθαι ὡς καιρῷ τῷ προσήκοντι γενησομένους· αὐτοὺς δὲ περὶ τῆς εἰρήνης ποιεῖσθαι τὰς συνθήκας. καὶ γενομένων παρ' ἀμφοτέρων C
λόγων οὐ πολλῶν, συνέβησάν τε καὶ τὰς σπονδὰς ἐποιήσαντο αὐθήμερον· καὶ ὅρκους ἐποιήσαντο ἐπ' αὐταῖς οἱ βασιλεῖς κατὰ τὸ ἔθος· καὶ τοὺς περιόντας τῶν Ῥωμαίων δοριαλώτους ἔλυσαν ἄνευ λύτρων· οὕτω γὰρ ἦν ἐν ταῖς συνθήκαις εἰρημένον· εἰς τὴν ὑστεραίαν τε γενόμενοι ἐν ταὐτῷ, συνηρίστησάν τε ἀλλήλοις καὶ συνδιέτριψαν διὰ πάσης τῆς ἡμέρας περὶ τῶν γεγενημένων τῇ προτεραίᾳ κατὰ τὴν μάχην ὁμιλοῦντες. ἔκπληξις γὰρ εἶχεν Ἀλέξανδρόν τε καὶ Μυσοὺς τῆς Ῥωμαίων τόλμης καὶ τῆς εὐψυχίας, ὅτι ὀλίγοι πρὸς πολλαπλασίους ἀγωνιζόμενοι, καὶ τῶν μετ' αὐτοὺς τεταγμένων ἡττημένων ἤδη λαμπρῶς, οὐδὲν μᾶλλον ὑφῆκαν τῆς ἀν-

camdem sententiam respondet, pacem quidem se amplecti eamque foedere interposito confirmaturum: affinitatem autem non modo, sed cum sibi placuerit ingressurum. Si igitur eadem sit illorum voluntas, quaerendum de Scythis, cur illi videlicet pacem ruperint. Sin alia omnia cogitent, eant et se quatenus libuerit comparent. Legati ut imperatorem nihil a primo immutatum animadverterunt, affinitatem eius dixerunt regem ipsorum exoptare summopere sibique imperasse, ut in ea concilianda nullam diligentiam praetermitterent. Sin iret in alia omnia, tum de ea sermonem in aliud tempus opportunius reiicerent: interim pacem foedere sancirent. Paucis utrimque dictis, res convenit eademque die inter reges foedus iureiurando solenni more firmatum, et captivi Romanorum, ut in conditionibus expressum erat, absque pretio dimissi. Diem sequentem totum comprandendo et de pugna pridiana confabulando exegerunt. Alexander et Moesi Romanorum virtutem cum stupore praedicabant, qui non multi cum longe pluribus decertassent: et cum postremum agmen manus plane dedisset, nihil tamen animo fracti, quasi nihil contigisset novi, constantissimo spiritu cum hostibus concurrissent compulsique postea ab instantium catervis, ita

A. C. 1331 ἀνδρίας καὶ τῆς τόλμης, ἀλλ' ὥσπερ μηδενὸς καινοῦ γεγονότος, D ἀτρέπτῳ φρονήματι συνέβαλον τοῖς πολεμίοις· καὶ βιασθέντες ὑπὸ τοῦ πλήθους μετὰ ταῦτα ἐπεὶ ἀνεχώρουν, οὐ πρὸς φυγὴν παντάπασιν ἀπεῖδον, ἀλλ' ἠμύνοντο ἀπιόντες, ὅπερ καὶ μάλιστα διέσωσεν αὐτούς. διεβεβαιοῦτό τε Ἀλέξανδρος καὶ ὅρκους προστιθεὶς, ὡς εἰ χρόνον τινὰ ἔτι ἐνέμειναν μικρὸν ἐπὶ τοῦ σχήματος, καὶ μὴ ἐγένετο ἡ τροπὴ, οὐκ ἂν ὑπέμειναν αὐτοὶ, ἀλλ' ᾤχοντο φεύγοντες, ἐκπεπληγμένοι τὴν τόλμαν αὐτῶν καὶ τὴν καρτερίαν καὶ μάλιστα βασιλέως. τοιαῦτα καὶ ἕτερ' ἅττα διὰ πάσης τῆς ἡμέρας ὁμιλήσαντες, πρὸς ἑσπέραν συνταξάμενοι ἀλλήλοις, Ἀλέξανδρος μὲν ἐπανέζευξεν εἰς τὴν οἰκείαν, βασιλεὺς δὲ Ῥωσοκάστρῳ ἡμέρας ἐνδιατρίψας οὐ πολλὰς, ἄρας ἐκεῖθεν ἦλθεν εἰς Διδυμότειχον, καὶ διέλυσε τὴν στρατιάν.

P. 287 κη'. Καὶ μετὰ πεντεκαιδεκάτην ἡμέραν ἠγγέλλετο αὐτῷ ὡς ὁ Σμύρνης καὶ Ἐφέσου καὶ ἄλλων τῶν κατὰ τὴν Ἰωνίαν πόλεων σατράπης Ἀμοὺρ, πέντε ἄγων καὶ ἑβδομήκοντα στόλον B νεῶν, τὸν Αἰγαῖον διαβαλὼν Σαμοθράκῃ προσέσχε πρῶτον· κἀκεῖθεν πρὸς τὴν ἀντιπέρας ἤπειρον περαιωθεὶς, τὰ ἐκεῖ παράλια τῆς Θρᾴκης παραπλεῖ, ἄδηλος ὢν ὅποι ἀποβήσεται. αὐτίκα τε ἐκ τῶν παρόντων ὅσους ἐνῆν συναγαγὼν, πρὸς τὰ παράλια ἐχώρει τῆς Θρᾴκης ὡς τῷ Περσικῷ στόλῳ κώλυμα ἐσόμενος τοῦ μὴ ἀποβάντας κακοῦν τὴν χώραν. συμβέβηκε δὲ βασιλέα τε κατὰ τὰ Κουμουτζηνὰ πόλισμα τῆς Θρᾴκης οὐ πολὺ ἀπῳκισμένον τῆς θαλάσσης αὐλίσασθαι τὴν νύκτα, καὶ Ἀμοὺρ κατὰ τὴν Ποροῦν παράλιον τῆς Θρᾴκης

recessissent, ut non fugam spectarent, sed abeuntes se defenderent: quod illis ad salutem sane quam profuisset. Et asseverabat Alexander, sacramento addito, si adhuc aliquantisper in eo statu res durasset, nec fugissent Romani, sustineri non potuisse, sed Moesos eorum virtute ac tolerantia praecipueque imperatoris attonitos, fugam arrepturos fuisse. Haec et alia toto die colloquiis agitantes, ad vesperam inter se valedixerunt. Et Alexander quidem in regnum suum discessit, imperator Rhosocastri diebus aliquot moratus, Didymotichum inde profectus, militem dimisit.

28. Post diem quintumdecimum nuntius venit, Amurium Smyrnae, Ephesi aliarumque urbium Ioniae satrapam cum classe quinque et septuaginta navium Aegaeo pelago transmisso, primum ad Samothracen appulsum, deinde ad oppositam continentem advectum, illic oram Thraciae legere, esseque incertum, ubi descensurus sit. Extemplo igitur cum praesenti copia quanta quanta erat, ad Thraciae littora Persas populatione prohibiturus imperator contendit: quem Cumutzenis oppido non procul a mari pernoctare contigit, et Amurius apud Porum, locum maritimum e regione Cumutzenorum

χώραν καταντικρὺ Κουμουτζηνῶν τὴν ἀπόβασιν ποιήσασθαι· A. C. 1331
ἐξελθόντα τε αὐτὸν πανστρατιᾷ ὡς ἐπὶ λείαν, καὶ βασιλέα ἐπὶ V. 230
τὸ κωλῦσαι προελθεῖν, συντυχεῖν ἀλλήλοις κατά τι χωρίον C
ὠνομασμένον Παναγίαν. ὃ ὕπτιον μὲν ἦν καὶ ὁμαλὸν, καὶ
μάλιστα ἐπικαιρότατον ἱππεῦσι πρὸς πεζοὺς διαγωνίζεσθαι,
καὶ διὰ τοῦτο βασιλεῖ παρεῖχε προθυμίαν συμπλέκεσθαι τοῖς
βαρβάροις. ἀπέτρεπε δὲ αὖθις τὸ πλῆθος τῶν Περσῶν, οὐ τρὶς
καὶ τετράκις, οὐδὲ δεκάκις, ἀλλὰ καὶ πλεονάκις τοσούτων ὄντων ἢ
ὅσους ἦγεν αὐτὸς, καὶ διὰ τοῦτο οὔτε ἀφίστασθαι αὐτῶν ἠ-
δύνατο ὁρῶν οὐκ ἀνέλπιστον τὴν ἐπιχείρησιν αὐτῶν· τό, τε
συμπλέκεσθαι ἐποιεῖτο ἐν δεινῷ, εἰ ὀλίγους ἄγων πρὸς το-
σούτους διακινδυνεύσοι. ἐλπίζων δὲ ἀφίξεσθαι καὶ ἄλλην D
στρατιὰν, ἣ ἦν προστεταγμένη πρὸς αὐτὸν ἐλθεῖν, περιέμενεν
ἐκεῖ, ὡς εἰ ἀφίξοιτο τοῖς βαρβάροις συμβαλῶν. οὕτω γὰρ
ὅ,τε μέγας δομέστικος καὶ ὁ τούτου πενθερὸς Ἀσάνης συνε-
βούλευεν ἐκεῖ παρών. οἵ τε βάρβαροι τῇ φύσει μὲν τοῦ τόπου
οὐκ ἐθάῤῥουν διὰ τὸ μηδεμίαν εἶναι ἀναχώρησιν πρός τι καρ-
τερὸν, εἰ βιάζοιντο ὑπὸ τῶν ἱππέων· τῷ πλήθει δὲ ὁρῶντες
ἑαυτοὺς ὑπερέχοντας πολὺ τῶν πολεμίων, ἐκαρτέρουν, μήτε
ἄρχοντες αὐτοὶ πολέμου, μήτε ἀναχωροῦντες, ἵνα μὴ θάρσος
παρέχωσι Ῥωμαίοις ἐπιφέρεσθαι αὐτοῖς. οὕτω μὲν οὖν ἀμ-
φότερα τὰ στρατεύματα εἱστήκει ἀλλήλοις ἀντιπαρατεταγμέ-
νοι, γνώμην ἔχοντες ἑκάτεροι μὴ προεπιχειρεῖν, ἀλλ' ἀμύνε-
σθαι τοὺς ἐπιόντας. ἐπεὶ δὲ ἤδη περὶ δείλην ἡ ἡμέρα ἦν,
οἱ βάρβαροι πρότερον Ἑλληνιστὶ πρὸς Ῥωμαίους εἶπον, ὡς P. 288

descendit. Dumque is ad praedas agendas cum omnibus suis, et imperator ad praedones cohibendos procedunt, in loco Panagia appellato sibi occurrunt, regione plana et aequali equitique contra peditem aptissima: id quod imperatori cupiditatem cum barbaris depraeliandi iniiciebat. Sed rursum ab ea mente eorumdem multitudo, non ter, quater, sed decies, imo pluries sua maior, ipsum revocabat. Atque idcirco abscedere non poterat, cum in abscedentes impetum facturos credibile fieret: et confligere haud aequum iudicabat, quod exiguos numero tam multis periculose obiiceret. Aliam vero manum, quam venire iusserat, exspectans, illic manebat: ut ubi ea affuisset, cum barbaris congrederetur: id enim et magnus domesticus et eiusdem domestici socer Asanes illic praesentes suadebant: barbarique naturae loci non fidebant, quod nihil erat munitum, quo se reciperent, si ab equitibus urgerentur. Cum porro se hostibus longe numerosiores viderent, durabant, neque pugnam auspicantes, neque discedentes: ne Romanis in tergis haerendi ansam porrigerent. Sic igitur ambo exercitus sibi stabant oppositi, et utrique mens eadem non prius invadere, sed invadentes repellere. Sole in occasum ver-

A. C. 1331 οὐ δέον ἀργοὺς οὕτω διὰ πάσης ἑστάναι τῆς ἡμέρας· ἀλλ' ἢ μάχην συνάπτειν, ἢ ἀναχωρεῖν σπονδὰς θεμένους. μηδὲν δὲ ἀποκριναμένων τῶν Ῥωμαίων, οἱ βάρβαροι μικρὸν διαλιπόντες, ἐπυνθάνοντο πάλιν, ὅθεν εἴη τε ἡ στρατιὰ καὶ τίς ὁ ἐξηγούμενος αὐτῆς. κελεύσαντος δὲ βασιλέως, ἀπεκρίναντο, τὴν μὲν στρατιὰν ἐκ τῶν παρακειμένων πόλεων ἐγχωρίων εἶναι συνειλεγμένην· στρατηγεῖν δὲ αὐτῆς τὸν ἐκ βασιλέως ἐπιτετραμμένον τὴν τῶν πόλεων ἡγεμονίαν. αὐτοὶ δὲ τὸν μὲν στρατηγὸν ἀπεκρίναντο οὐκ ἀγνοεῖν, ἀλλὰ σαφῶς εἰ-
B δέναι ὅστις εἴη· μηνύειν τε αὐτῷ τὸν αὐτῶν σατράπην Ἀμοὺρ, ὡς αὐτοὶ μὲν ἥκοιεν κέρδους ἕνεκα ἐνταῦθα, οἰόμενοι κώλυμα οὐδὲν ἔσεσθαι αὐτοῖς πρὸς τὴν ὁρμήν. ὑμῶν δὲ ἐμποδὼν γεγενημένων, διὰ πάσης μὲν ἡμέρας ἑστάναι ἐνταυθοῖ, ἔργῳ δεικνύντας, ὡς οὐκ ὀῤῥωδοῦμεν τὴν μάχην τὴν πρὸς ὑμᾶς, ἀλλ' οὕτω παρεσκευάσμεθα, ὡς διαγωνιούμενοι ὑμῖν, ἂν πρῶτοι ἄρχητε πολέμου· κλινούσης δὲ ἤδη τῆς ἡμέρας, καιρὸν εἶναι πρὸς τὰς ναῦς καὶ τὸ στρατόπεδον ἀναχωρεῖν· κἂν μὲν καὶ ὑμῖν δοκοίη βέλτιον ἀποσχέσθαι μάχης, ἀγαπήσειν καὶ αὐτούς, ἂν δ' ἐθέλητε συμπλέκεσθαι, ἀμυνεῖσθαι καὶ αὐτοὺς τὰ δυνατά. τοιαῦτα εἰπόντες, ἀναστρέψαντες ᾖεσαν
C τεταγμένοι πρὸς τὰς ναῦς· βασιλεῖ δὲ καὶ τοῖς συνοῦσιν ἀρκεῖν ἐδόκει τὸ φθορᾶς τοσαύτης τὴν χώραν ἀπαλλάττειν καὶ μὴ διὰ φιλονεικίαν ἑαυτοὺς εἰς κίνδυνον ἐμβάλλειν, ὀλίγους συμπλεκομένους πρὸς πολλούς. ἀλλ' ἐπεὶ κεναῖς χερσὶν οἱ βάρβαροι ἀπήλλαξαν καὶ τῶν ἰδίων τινὰς ἀποβαλόντες, (τι-

gente, barbari Romanos Graece compellant, non oportere ita inertes totum diem stare, sed vel manum miscere, vel icto foedere abire. Quibus tacentibus, barbari parvo interiecto spatio rursum percunctantur: unde exercitus, et quis eius ductor. Imperatoris iussu responsum est, indigenam esse, ex oppidis in circuito collectum. Duci autem ab eo quem imperator earumdem urbium praefectum creavisset. Tum illi, ducem se approbe nosse: quem ipsorum satrapa Amurius certiorem faciat, eos illuc sua lucra quaesitum venisse putasseque nihil sibi ad explendum desiderium impedimento fore. Et quoniam ab ipsis impediantur, eapropter ibi totum diem consistentes re docere se illos non timere: sed si velint initium facere, se pugnaturos. Iam autem, quia lucis extremum esset, ad naves et ad castra redeundum. Si ipsis praestare videatur pugna abstinere, idem sensuros; si pugnam velint, pro viribus concertaturos. His dictis composito agmine ad naves recesserunt. Imperatori et comitibus visum sufficere tanta vastitate regionem prohibere: nec per aemulationem dum pauci cum multis dimicant, sese in discrimen conicere: sed cum barbari vacuis manibus discedant, amicis etiam

νὰς γὰρ αὐτῶν ἀπέκτειναν οἱ Ῥωμαῖοι, περί τι χωρίον ἐσκε- A.C. 1331
δασμένοις ἐντυχόντες,) ἀγαπᾷν καὶ αὐτοὺς ἀναιμωτὶ τὴν νίκην
καρπουμένους. διὸ καὶ ὥσπερ ἀπὸ συνθήκης ἀπέσχοντο τῆς
μάχης. καὶ Ἀμούρπεκις μὲν ταῖς ναυσὶν ἐμβὰς, ἀπέπλει
πρὸς Ἀσίαν· βασιλεὺς δὲ εἰς Διδυμότειχον ἐπανῆκε, καὶ
διήγαγεν ἐνιαυτὸν, μήτε ἀπὸ τῶν ἑσπερίων μήτε τῶν ἑῴων
βαρβάρων πόλεμον μηδένα ἔχων. μετὰ δὲ τοῦτο μηνὶ Φε- D
βρουαρίῳ ἰνδικτιῶνι πέμπτῃ ἐπὶ δέκα, ἔτει τεσσαρακοστῷ ἐπὶ A.C. 1332
ὀκτακοσίοις καὶ ἑξακισχιλίοις, Ἀντώνιος ἐτελεύτησεν ὁ βασι- V. 231
λεὺς, δύο καὶ ἑβδομήκοντα ἔτη γεγονώς. καὶ μετὰ ἥμισυν
καὶ ἕνα ἐνιαυτὸν ἀπὸ τῆς βασιλέως τελευτῆς ἡ Ἀνδρονίκου A.C. 1333
τοῦ βασιλέως μήτηρ βασιλὶς ἡ Ξένη ἐτελεύτησεν. ὑπὸ δὲ τοὺς
αὐτοὺς χρόνους μετὰ μικρὸν καὶ ὁ Θετταλίας δεσπόζων τῆς
ὁμόρου τῇ Βοτιαίᾳ Γαβριηλόπουλος Στέφανος ὁ σεβαστοκράτωρ
ἐτεθνήκει. Θεσσαλονίκης δὲ ἐπιτροπεύων ἐν τῷ τότε ὕπαρχος
ὁ Μονομάχος, συνέσει τε ἀγαθὸς καὶ πράγμασιν εἰδὼς χρῆ-
σθαι, τά τε κατὰ τὰς στρατείας ἐξησκημένος καὶ στρατηγεῖν
ἱκανὸς, συνιδὼν καιρὸν εἶναι ἐπιθέσθαι Θετταλίᾳ, ὡς ἂν
ὑπαγάγοι βασιλεῖ, στρατιὰν ὅσην ἐνῆν ἀθροίσας ἐκ Θεσσαλο-
νίκης, ἐσέβαλεν εἰς αὐτὴν, οὖσαν τεταραγμένην διὰ τὴν τοῦ
δεσπόζοντος τελευτήν. καὶ εἷλε τόν τε Γόλον καὶ Καστρὶν καὶ P. 289

7. In MS. sequentia annotarat quispiam studiosus: *τρισκαιδεκάτῃ Φεβρουαρίου περὶ ὥραν ιβ' τῆς νυκτὸς ἐν μοναχῶν σχήματι διαγαγὼν ἐνιαυτοὺς δύο παρ' ὀλίγον, προαπεσβηκὼς καὶ τὰς κόρας ἀπὸ φυσικοῦ τινος πάθους*, id est, *decimotertio Februarii circa horam noctis duodecimam* (*obiit*), *peractis duobus circiter annis in veste monastica, oculisque morbo quodam ante corruptis.* Vide Gregoram lib. 9. *ED. P.*

de suis aliquot, quos Romani per agros dispersis occurrentes interemerant, ipsos quoque incruenta victoria contentos esse debere. Quocirca tamquam ex foedere a pugna se represserunt: et Amurius Pecis naves conscendens, in Asiam: imperator Didymotichum revertit annoque integro neque ab occidentalibus, neque ab orientalibus bello petitus est. Post haec mense Februario, indictione quintadecima, anno quadragesimo supra sexies millesimum et octingentesimum, Antonius imperator avus diem clausit ultimum, natus annos septuaginta duos. Deinde anno et dimidio post Xena mater Andronici iunioris vitam explevit. Sub idem tempus Thessaliae qua Botiaeae confinis est, despota Gabriel Stephanus sebastocrator mortem obiit. Thessalonicae autem tum praefecturam gerens Monomachus, vir prudentia et usu rerum insignis, in armis exercitatus et dux egregius occasionem Thessaliae invadendae et imperatori subducendae oblatam videns, Thessalonica cum delectu quam maximo in eam principis obitu perturbatam incursavit; eius oppidula Golum,

A. C. 1333 Λυκόστομον πολίσματα αὐτῆς. Σταγοὺς δὲ καὶ Τρίκαλα καὶ Φανάριον καὶ Δαμάσιν καὶ Ἐλασῶνα, ἃ ὑπὸ Γαβριηλόπουλον ἐτέλουν, καὶ ἕτερα φρούριά τινα ὁ τῆς Ἀκαρνανίας ἄρχων ὁ δεσπότης Ἰωάννης ὁ δοὺξ φθάσας παρεστήσατο ὁμολογίᾳ. καὶ κατασχὼν φρουραῖς, ἐπανῆλθεν εἰς Ἀκαρνανίαν. βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο τὰ κατὰ Θετταλίαν, ἔγνω δεῖν ἐκεῖ παραγενέσθαι. καὶ ὀλίγῳ ὕστερον ἐλθὼν, εἷλε πάντα ὅσα ὑπεποιήσατο ὁ δοὺξ. καὶ τοὺς φρουροὺς ἐκβαλὼν, ἠδίκησεν οὐδέν· ἀλλ' εὖ ποιήσας, ἀπέπεμψεν εἰς τὴν οἰκείαν. δια- B τρίβοντα δὲ ἐν Θετταλίᾳ βασιλέα οἱ τὰ ὀρεινὰ τῆς Θετταλίας νεμόμενοι Ἀλβανοὶ ἀβασίλευτοι Μαλακάσιοι καὶ Μπούϊοι καὶ Μεσαρῖται ἀπὸ τῶν φυλάρχων προσαγορευόμενοι, περὶ δισχιλίους καὶ μυρίους ὄντες, προσεκύνησαν ἐλθόντες καὶ ὑπέσχοντο δουλεύσειν. ἐδεδοίκεσαν γὰρ μὴ, χειμῶνος ἐπελθόντος, διαφθαρῶσιν ὑπὸ τῶν Ῥωμαίων, ἅτε πόλιν οἰκοῦντες οὐδεμίαν, ἀλλ' ὄρεσιν ἐνδιατρίβοντες καὶ χωρίοις δυσπροσόδοις, ὧν ἀναχωροῦντες τοῦ χειμῶνος διὰ τὸ κρύος καὶ τὴν χιόνα, ἄπιστόν τινα ἐν τοῖς ὄρεσιν ἐκείνοις νιφομένην, εὐεπιχείρητοι ἔσεσθαι ἐδόκουν. βασιλεὺς δὲ ἐκεῖθεν ἀναζεύξας ἦλθεν εἰς Θεσσαλονίκην. καὶ μετ' οὐ πολλὰς ἡμέρας πρεσβείαν πρὸς αὐτὸν ὁ Κράλης πεπομφὼς, ἠξίου καθ' C ὃν ἂν δοκοίη τόπον γενομένους ἐν ταυτῷ φιλίας ἕνεκα, ἀλλήλοις τε συνησθῆναι καὶ ὁμιλίας τῆς ἀλλήλων καὶ συντυχίας ἀπολαῦσαι. ἐπεὶ δὲ καὶ βασιλεῖ τοῦτο ἐδόκει κατὰ γνώ-

11. De his Albanis et aliis inferioribus Chalcocondylas lib. 7. *ED. P.*

Castrin, Lycostomum cepit. Stagos vero, Tricala, Phanarium, Damasin, Elasonem, quae in ditione Gabrielis erant, et alia quaedam castella Acarnaniae despota Ioannes dux antea per deditionem occuparat, iisque praesidio firmatis, in Acarnaniam reverterat. Imperator rerum Thessalicarum nuntiis excitus eo proficiscendum statuit; pauloque post veniens omnia quae dux subegerat recepit eiectosque praesidiarios inoffensos, et recte quidem, domum remisit. Versantem in Thessalia imperatorem, qui montana eius nullo rege incolunt Albani, Malacasii, Bovii et Mesaritae a tribunis sic cognominati, ad duodecim millia, salutatum venerunt et sua eidem obsequia detulerunt: timebant enim ne per hiemem praesentem a Romanis delerentur, utpote urbem nullam habitantes, sed in montosis et inviis victitantes, a quibus per hiberna propter frigus et nives in montibus illis altissimas digressi, facile opprimi se posse arbitrabantur. Imperator inde Thessalonicam repetivit. Brevi intervallo Crales per legatos petit, ut in quo placeret loco, amicitiae, hilaritatis et commercii collocutionumque causa convenirent. Cum idem

μην καὶ ἐπένευε πρὸς τὴν ἀξίωσιν, συνέθεντο μετὰ τῶν A. C. 1333 πρέσβεων ἐν Βαϊμὶ τὴν ἕνωσιν γενέσθαι χωρίῳ Μακεδονικῷ. ὁ Κράλης μὲν οὖν, ἐπεὶ ἐπύθετο τὸ σύνθημα, ἐκ τῆς οἰκείας ὁρμηθεὶς πρὸς τὸ συντεθειμένον χωρίον ᾔει· βασιλεὺς δ' ὥσπερ ἔκπληξίν τινα βουληθεὶς τῷ Κράλῃ ἐμποιῆσαι ἢ μᾶλλον ἀδόλου καὶ καθαρᾶς φιλίας πίστεις παρασχεῖν, τὸ μετὰ παρασκευῆς καὶ ἀντιῤῥόπου στρατιᾶς εἰς τὸν ὡρισμένον τόπον ἐλθεῖν καταλιπὼν, τριακοσίους τῶν ἰδίων ἀπολεξάμενος, D καὶ ἐκ τῶν ἐπιφανῶν τινας ὀλίγους χωρὶς τῶν πρὸς ὑπηρεσίας τεταγμένων, ἔτι περὶ μέσην τὴν οἰκείαν διατρίβοντι τῷ Κράλῃ κατὰ τὸ Ῥαδοβόσδιον προσαγορευόμενον, ἠγγέλλετο ὁ βασιλεὺς ἐξαίφνης προσιών. πρῶτα μὲν οὖν ἐθορυβήθη δείσας τὴν βασιλέως ἔφοδον, μὴ οὐ κατὰ φιλίαν εἴη. ὡς δὲ ἐπύθετο τὸν ἀριθμὸν τῶν ἑπομένων καὶ τὴν γνώμην βασιλέως ἣν ἔχων μετὰ τοσούτων ἥκει, ὑπερηγάσθη τε τὸν βασιλέα τῆς ἀδόλου γνώμης καὶ τῆς πρὸς τοὺς φίλους ἐλευθερίας, καὶ συνήδετο ἑαυτῷ τοιοῦτον κτησαμένῳ φίλον. εἱστίασέ τε αὐτὸν φιλοτίμως μάλα καὶ βασιλικῶς, καὶ παρακατέσχεν ἑαυτῷ ἐφ' ἡμέραις ἑπτά. πολλήν τε ἐπιδειξάμενος φιλοφροσύνην καὶ μετρίως ἐς τὰ μάλιστα καὶ οἷα δεσπότῃ προσενεχθεὶς τῷ βασιλεῖ, μετὰ τὴν ἑβδόμην αὐτὸς μὲν ὑπελείπετο εἰς τὴν οἰκείαν, βασιλέα δὲ χαίρων χαίροντα οἴκαδε P. 290 ἀπέπεμπε. κατὰ ταύτην δὲ τὴν συντυχίαν καὶ μεγάλῳ δομεστίκῳ ἐγένετο πρὸς Κράλην φιλία ἰσχυρὰ πεῖραν ἑαυτοῦ παρασχομένῳ.

optaret imperator, petitioni annuit et cum legatis Baimi castellum Macedoniae elegit. Ita convenisse intelligens Crales, eodem e sua provincia proficisci maturavit. Imperator velut terrefacere Cralem, seu potius germanae ac sincerae amicitiae argumentum exhibere volens, in locum definitum cum apparatu et comitatu se digno venire omittens, delectis trecentis et paucis de nobilitate (praeter ministros et caculas videlicet) adhuc prope in medio regionis, Rhadobosdii repentino adventu suo eum oppressit. Crales huius inexspectati adventus nuntio primum conterritus timuit, ne fide non bona secum ageretur. Ut autem de numero qui sequeretur, et quo fine cum tam paucis advenisset, cognovit, imperatorem de candore et libertate erga amicos magnopere admiratus, sibique de tali amico gratulatus est; epulisque splendide et regaliter acceptum dies septem apud se detinuit, humanissimeque et summa cum summissione ac tamquam dominum suum tractatum, ipse domi manens a se gaudens gaudentem dimisit. In hoc conventu etiam magnus domesticus cum specimen ingenii ac morum suorum praebuisset, firma cum Crale amicitia copulatus est.

[A. C. 1333] [V. 232] κθ'. Βασιλεὺς δὲ ἐκεῖθεν εἰς Θεσσαλονίκην ἐλθὼν καὶ οὐ πολὺ ἐνδιατρίψας, ἧκεν εἰς Βυζάντιον. καὶ οὐ πολλαῖς [B] ἡμέραις ὕστερον ἠγγέλλετο, ὡς Δομένικος ὁ Ἀνδρέου τοῦ Κατάνια, ὃς τῆς νέας Φωκαίας ἦρχε, βασιλέως παραδόντος κατὰ χάριν, τοῦ πατρὸς αὐτῷ ἀποθανόντος, κληρονόμος τῆς οὐσίας καταστὰς, (πλούσιος δὲ ἦν,) τοῖς χρήμασι φυσηθεὶς, Λέσβον διανοηθείη Ῥωμαίων ἀφελόμενος, ἰδίαν ἑαυτῷ περιποιήσασθαι ἡγεμονίαν, μίαν καὶ δέκα ἐκ Γεννούας οἰκείοις [C] χρήμασι πληρώσας τριήρεις καὶ ἐκ Σικελίας μίαν προσεταιρισάμενος Δηλίους τε πείσας πέντε παρασχεῖν, ἀκηρύκτως ἐπέπλευσε Λεσβίοις. καὶ Μιτυληναίους μὲν εἷλε τειχομαχίᾳ, ἀπαρασκεύοις προσπεσὼν καὶ καταπλήξας τῷ ἀπροσδοκήτῳ· ἐκράτησε δὲ καὶ τῶν ἄλλων φρουρίων συμπάντων ὅσα ἦν κατὰ τὴν νῆσον· Ἐρεσσοῦ δὲ καὶ Μηθίμνης ἀπεπείρασαν μὲν, ἥττους δὲ ὀφθέντες τῶν τειχῶν ἀπέσχοντο, καὶ νῦν ταῦτα μόνα τὴν πρὸς βασιλέα εὔνοιαν καὶ δουλείαν ἀποσώζει. τοιαῦτα περὶ Λέσβου πυθόμενος ὁ βασιλεὺς, Λατίνοις μὲν τοῖς κατὰ Γαλατᾶν ἀποίκοις οὖσι Γεννουΐτῶν πολλὴν [D] ὠνείδισε τὴν πονηρίαν καὶ τὴν νεωτεροποιΐαν, καὶ διεμαρτύρατο ὅτι παρὰ τὰ συγκείμενα Ῥωμαίοις καὶ αὐτῶν τῇ βουλῇ καὶ τῷ δήμῳ οἰκείᾳ χρώμενοι μοχθηρίᾳ καὶ πανουργίᾳ πράττουσιν, ἐξ ὧν οὐ ζημίας μόνον, ἀλλὰ καὶ πόνους καὶ κινδύνους τοῖς Ῥωμαίων βασιλεῦσι προξενοῦσιν. οἷς οὐδὲ αὐτοὶ εἶχον ἀντειπεῖν ὡς δικαίως οὐ κατηγοροῦνται. αὐτὸς

4. Gregorae dicitur *Catanes. ED. P.* 14. *Μηθίμνης* scriptum in MS. *ED. P.*

29. Imperator Thessalonicam et paucis diebus Byzantium venit: ubi audit Dominicum Andreae Cataniae filium, qui suo beneficio Phocaeam novam obtinebat, patre divite mortuo hereditatem crevisse; et opibus inflatum, Lesbo Romanis erepta, proprium sibi principatum instituere meditatum. Is Genua undecim triremibus sumptu suo adornatis, e Sicilia una sibi adiuncta et a Deliis quinque impetratis, bello non indicto, Lesbum adnavigabat. Ac Mitylenaeos quidem, utpote imparatos insperatoque casu perterritos expugnavit: et reliqua quotquot erant per insulam oppidula in potestatem redegit. Eressum et Methymnam tentavit ille quidem, sed perspecta suarum imbecillitate virium abstinuit; hodieque haec sola oppida in fide et subiectione imperatoris manent. His itaque de Lesbo ad se perlatis, imperator Galataeis Genuensium colonis improbissimum facinus et rerum novarum molitionem exprobrat: Deum hominesque testes appellans, eos pacta inter Romanos et ipsorum populum ac senatum privata nequitia calliditateque violare: unde non detrimenta solum, sed etiam labores et pericula Romanorum

δὲ ἐν ἡμέραις εἴκοσι ταῖς πάσαις τεττάρων καὶ ὀγδοήκοντα A. C. 1333 νεῶν στόλον ἐξηρτύετο, ὧν ἦσαν αἱ τέτταρες καὶ τετταράκοντα διήρεις καὶ τριήρεις· αἱ λοιπαὶ δὲ μονήρεις ἦσαν. εἵποντο δὲ καὶ νῆες φορτηγοὶ ἄγουσαί τε στρατιώτας πεζομάχους καὶ σῖτον καὶ τὰ ἄλλα ἐπιτήδεια τῇ στρατιᾷ. καὶ ἐπεὶ πάντα παρεσκευασμένα ἦν καὶ οὐδὲν ἐνέδει ἔτι, ἄραντες ἐκ Βυζαντίου ἔπλεον ἐπὶ Λέσβον. γενομένοις δὲ αὐτοῖς κατὰ τὴν Καλλιούπολιν τὴν πρὸς Ἑλλήσποντον, οἱ ἀπὸ τῆς P. 291 Λέσβου τῶν Λατίνων σκοποὶ οἳ παρῆσαν αὐτόθι μακρᾷ νηῒ ταχυναυτούσῃ, φυλάσσοντες τὴν βασιλέως ἔφοδον, πρότεροι ἐλθόντες διά τε ταχυτῆτα τῆς νηὸς καὶ τὸ μάλιστα ἐπισπεύδειν τὸν πλοῦν, ἐμήνυον βασιλέως τὸν ἐπίπλουν ὡς οὐ πολὺ ὕστερον ἐσόμενον. ἐκείνοις δὲ τὸ πλῆθος μὴ εἰδόσι τῶν βασιλικῶν νεῶν, ἐδόκει μαχητέα πρὸς βασιλέα εἶναι· καὶ παρεσκευάζοντο ὡς ναυμαχήσοντες. οἱ Δήλιοι δὲ ὁρῶντες αὐτοὺς παρασκευαζομένους, ναυάρχῳ τῷ σφετέρῳ τὴν γνώμην κατάδηλον ἐποίουν, φάσκοντες ὡς πᾶσι μᾶλλον ἀνθρώποις ἢ βα- B σιλεῖ τῷ Ῥωμαίων ὅπλα ἀνταίρειν εἶεν δυνατοί. οὗ δὴ ἕνεκα καὶ πρὶν καταστῆναι ἐς τὴν μάχην, φανερὰν αὐτῷ τὴν βουλὴν ποιεῖν, ὅπως τάχιστα τὰ δέοντα βουλεύσηται καὶ μὴ ἀναγκασθῇ φεύγειν αἰσχρῶς καὶ ἀγεννῶς, μήτε ὅπλα ἀνταιρόντων αὐτῶν μήτε ἀμυνομένων. ὁ δὲ αὐτοὺς μὲν τῆς ἀληθείας V. 233 ἕνεκα ἐπῄνεσε καὶ χάριν ὡμολόγησε πολλήν. Δομενίκῳ δὲ τῷ παντὸς ἄρχοντι τοῦ στόλου, καὶ τοῖς ἄλλοις ναυάρχοις

imperatoribus creent. Quibus ne ipsi quidem, quasi immerito accusarentur, habebant quod opponerent. Ipse vero totis viginti diebus quatuor et octoginta navium classem instruxit, quarum quatuor et viginti biremes et triremes, ceterae uniremes erant; onerariae item, peditem, commeatum et alia exercitui necessaria portantes sequebantur. Paratis plane omnibus, Byzantio Lesbum solvunt. Ubi Callipolin iuxta Hellespontum delati sunt, praesentes ibidem e Lesbo Latinorum speculatores, longa et celeri nave imperatoris adventu explorato, per eam celeritatem et summam in navigando festinationem primi affuturum nuntiarunt. Genuensibus navium numerum nescientibus, placuit cum imperatoria classe fortunam experiri; iamque se ad nauticum certamen accingebant. Id aspicientes Delii, nauarcho suo sensum suum aperiunt affirmantque, contra quemvis mortalem potius, quam contra Romanorum imperatorem arma ferre posse. Quare ante pugnam se illi voluntatem suam detegere, ut quam primum quae in rem sint decernat, et ne turpiter atque ignaviter cogatur fugere, ipsis nec vim illaturis, nec illatam repulsuris. Nauarchus eos de confessione veri collaudat: gratias magnas agit: ad Dominicum totius classis imperatorem ceterosque Latino-

A.C. 1333 τῶν Λατίνων προσελθὼν, οὐκ ἔφασκε δεόντως βεβουλεῦσθαι, πρὶν ἀκριβῶς ἐκμαθεῖν ὁπόσας ἄγοι τριήρεις ὁ βασιλεὺς, ἀπερισκέπτως πρὸς τὴν ναυμαχίαν οὕτω καὶ θρασέως χωρεῖν. C ἐὰν γὰρ συμβαίη ἡττηθῆναι, οὐδὲν ἄλλο λείπεται ἢ παντάπασι διαφθαρῆναι, πάντων τῶν ἐνθάδε πολεμίων ὄντων καὶ συνεπιθησομένων. οὗ δὴ ἕνεκα ἐχρῆν πρότερον τὴν δύναμιν βασιλέως ἐρευνᾷν ὁπόσην ἄγει. κἂν μὲν οἷοί τε ἦτε διαναυμαχεῖν, ἂν δὲ μὴ, καταφυγήν τινα ὅπη σωθήσεσθε ζητεῖν. ἐγὼ δὲ προθύμως μὲν ἂν πρὸς τὴν ναυμαχίαν συνηγωνισάμην παρὼν ὑμῖν· Δηλίους δὲ οὐδέν ἐστι τὸ πεῖσον ὅπλα ἀνταίρειν βασιλεῖ, ἀλλὰ πάντα μᾶλλον αἱρετέα, ἢ πρὸς βασιλέα αὐτοῖς πολεμητέα εἶναι λέγουσι. βιάζεσθαι μὲν οὖν D οὐκ ἔξεστιν αὐτοὺς πάντας ἐπίσης τὴν ὁμοίαν γνώμην ἔχοντας. ἔδοξε δέ μοι βέλτιον σκεψαμένῳ, πρὶν βασιλέα ἥκειν, ἀναχωρεῖν. ἐὰν γὰρ ὀφθέντος φεύγωμεν, αἰσχύνην οὐ τὴν τυχοῦσαν προστριψόμεθα Σπιταλιώταις. μελήσει δὲ ὑμῖν ὅπως ἂν βέλτιστα διάθησθε τὰ καθ' αὐτούς. ὁ μὲν οὖν τῶν Δηλίων ναύαρχος τοιαῦτα εἰπὼν καὶ συνταξάμενος αὐτοῖς, ἀπέπλευσεν εἰς Δῆλον. Δομενίκῳ δὲ καὶ τοῖς ἄλλοις τοῖς ὑπολειφθεῖσιν οὐκέτι ἐδόκει ναυμαχεῖν· ἀλλὰ πέντε μὲν τῶν τριήρεων ἔπεμψαν εἰς Καλλονὴν φρούριόν τι κατὰ τὴν Λέσβον ἐπὶ τῷ σῖτόν τε εἰσαγαγεῖν καὶ φρουράν· ἐδεδίεσαν γὰρ περὶ αὐτοῦ μὴ ὑπὸ βασιλέως ἐξ ἐπιδρομῆς ἁλῷ· αὐτοὶ

rum nauarchos accedit; non eos bonum cepisse consilium dicit, priusquam exacte didicerint, cum quot triremibus Romanus adveniat, ita improvide confidenterque navale cum ipso praelium committere. Nam si vinci contigerit, nihil superesse, quam disperire funditus: cum omnes qui in insula sint, ipsorum hostes sint unaque cum Romanis ad eorum exitium incubituri videantur. Quare imperatoris vires et potentiam prius indagandam: et si se contra non infirmos sentiant, tum demum confligendum: sin minus, salutis aliquod perfugium quaerendum. Quod ad me attinet, inquit, cupide vobiscum ad hanc navalem pugnam aggrederer: Delios autem, ut imperatori armis resistant, nemo adducet: qui citius omnia sibi perpetienda, quam adversus eum pugnandum testantur. Cogere igitur illos fas non est, quando ex aequo omnes ita sentiunt. Mihi porro re considerata conducibilius apparet, antequam adsit imperator, recedere. Si enim ante eius conspectum fugerimus, non qualemcumque labem Hospitalensibus inuremus. Vobis curae erit, ut illis optime consulatur. Haec postquam dicta dedit, eos valere iussit ac Delum cucurrit. Dominico ceterisque ducibus non amplius fuit sententia navibus decertare; sed triremes quinas quidem in castellum quoddam Lesbi, Callonem vocabulo, ad commeatum et praesidium importandum mittunt, quod ab imperatore per incursionem captum

δὲ ταῖς λοιπαῖς ἐφρούρουν Μιτυλήνην. βασιλεὺς δὲ ἅμα A.C. 1333
παντὶ τῷ στόλῳ ἦλθεν εἰς Ἐρεσσόν· ἐπαινέσας δὲ Ἐρεσσίους P. 292
τῆς εἰς αὐτὸν εὐνοίας ἕνεκα, καὶ προνοίας ὅσης ἐδέοντο ἀξιώ-
σας, ἄρας ἐκεῖθεν ἔπλει ἐπὶ Χίον. ἀπὸ σκοπιᾶς δέ τις μεγα-
βοῶν ἐπυνθάνετο περὶ στόλου ὅτων εἴη. ἀποκριναμένων δὲ,
ὡς εἴη βασιλέως, αὐτός τε πάρεστιν ὁ βασιλεύς. „αἱ δὲ ἐν
τῷ κόλπῳ τῆς Καλλονῆς" ἔφη „τριήρεις τίνος;" ἐκ τοῦ λόγου
δὲ συνεὶς ὁ βασιλεὺς ἐκ τῶν εἰς Μιτυλήνην οὐσῶν εἶναι
φρουρούσας Καλλονὴν, ἀναστρέψας ἤλαυνεν ἐπ' ἐκείνους.
ἤδη δὲ ἐπελάβετο ἡ νύξ. Λατῖνοι δὲ ὡς εἶδον βασιλέα προσε-
λαύνοντα, τό,τε φεύγειν ἄπορον ὁρῶντες, καὶ τὸ διαγωνίζε-
σθαι ἀδύνατον, ἐξῶσαν εἰς τὴν γῆν τὰς ναῦς, καὶ αὐτοὶ κατε- B
κρύβησαν ὑπὸ τὴν ὕλην, συνηρεφοῦς τοῦ τόπου πεφυκότος,
ἅμα δὲ συνεργοῦντος καὶ τοῦ σκότους. καὶ τὰς μὲν τριήρεις
εἵλκυσαν κενὰς οἱ βασιλικοί. ἀποβάντες τε καὶ διερευνησά-
μενοι τὴν λόχμην, ὑπὲρ ἡμίσεις αὐτῶν τοὺς μὲν ἀπέκτει-
ναν, τοὺς δὲ καὶ εἷλον ζῶντας. ὅσοι δὲ ὑπὸ σκότος ἠδυ-
νήθησαν διαφυγεῖν, εἰς Μιτυλήνην διεσώθησαν πρὸς τοὺς
οἰκείους. βασιλεὺς δὲ ἐκεῖ πιγκέρνην τὸν Φιλανθρωπηνὸν κατα-
λιπὼν ἅμα στρατιᾷ πεζῇ τε καὶ ἱππικῇ τὴν Μιτυλήνην πο-
λιορκεῖν, ἀπέπλευσεν εἰς Φώκαιαν, ἧς ἦρχε τῷ τότε
Ντουνάρδος. οἱ μὲν οὖν εἰς Λέσβον καταλειφθέντες τὰ μὲν
λοιπὰ φρούρια πάντα παρεστήσαντο ὁμολογίᾳ, Μιτυλή- C
νην δὲ ναυσί τε καὶ πεζῷ περικαθήμενοι ἐπολιόρκουν. βασι-

iri metuebant: ipsi cum reliquis Mitylenen tuebantur. Imperator cum tota classe Eressum tenens, civium erga se studium commendavit et eorum rebus pro necessitate prospexit: inde Chium navigavit. E specula porro quidam altum vociferans quaesivit, cuiusnam classis esset: responsum, imperatoris esse et eum praesentem adesse. At enim quae in sinu Callones sunt triremes, inquit, cuius sunt? E quibus verbis colligens imperator de iis esse, quae apud Mitylenen erant, ad Callonem tuendam missae videlicet, reversus in ipsas ferebatur. Iam nox rebus incubuerat, cum Latini illi imperatorem allabi cognoscentes, quia fuga nusquam patebat, et contra pugnare non dabatur, naves ad terram appellunt, et ipsi se in silva proxima, loco natura umbroso et opaco, tenebris etiam eos adiuvantibus, abscondunt. Ac triremes quidem vacuas Romani trahentes descendunt locaque insidiosa perscrutati, supra dimidium eorum partim trucidant, partim capiunt. Qui per tenebras effugere potuerunt, Mitylenen ad suos salvi pervenerunt. Imperator, pincerna Philanthropeno ad Mitylenen pedestri et equestri manu obsidendam relicto, Phocaeam cursum intendit, cui tunc Dunardus sive Odoardus praeerat. In Lesbo igitur relicti oppida cetera ad unum in deditionem reci-

A. C. 1333 λεὺς δὲ πρεσβείαν πρὸς Σαρχάνην πέμψας, ὃς ἦρχε τῆς ἕω τῆς κατὰ τὴν Φώκαιαν, σπονδὰς ἔθετο πρὸς αὐτὸν καὶ συμμαχίαν, ὥστε Σαρχάνην μὲν ἐπικουρίαν βασιλεῖ παρασχεῖν πεζήν τε καὶ ναυτικὴν πρὸς τὴν τῆς Φωκαίας καὶ Μιτυλήνης
V. 234 πολιορκίαν, βασιλέα δὲ τὸν παῖδα Σαρχάνη Σουλιμὰν καὶ τοὺς λοιποὺς παῖδας τῶν Περσῶν, οἳ κατὰ Φώκαιαν ἐν προσχήματι ὁμήρων ἐφρουροῦντο, ἐλευθεροῦν. οἱ γὰρ εἰς Φώκαιαν ἐκ Γεννούας Λατῖνοι δόλῳ Σουλιμὰν τὸν παῖδα Σαρ-
D χάνη καὶ τέτταρας καὶ εἴκοσιν ἑτέρους τῶν παρὰ Πέρσαις εὐγενῶν κρατήσαντες παῖδας, ἔφασαν οὐκ ἐπὶ δουλείᾳ κεκρατηκέναι, ἀλλ' ὥστε ὁμήρους ἔχειν βεβαίας ἕνεκα εἰρήνης. Σαρχάνης δὲ μὴ ἔχων ὅ,τι δρᾷν, ἠσπάζετό καὶ ἄκων τὴν εἰρήνην διὰ τὸ πρὸς τοὺς παῖδας φίλτρον. τότε δὲ ἐπαγγειλαμένου βασιλέως ἐλευθεροῦν, ἂν συναγωνίσηται προθύμως πρὸς τὸν πόλεμον τὸν κατὰ τῶν Λατίνων, ἐλπίδι τῆς τῶν παίδων ἐλευθερίας συνήρατο πρὸς τὸν πόλεμον τῷ βασιλεῖ, καὶ εἰς Φώκαιαν καὶ αὐτὸς ἐλθὼν ἅμα στρατιᾷ πεζῇ τε καὶ ἱππικῇ, προσεκύνησέ τε καὶ ἠσπάσατο βασιλέα, καὶ συνδιῆγεν αὐτῷ Φώκαιαν πολιορκῶν. παρεῖχέ τε ἄφθονον ἀγορὰν τῇ βασιλέως στρατιᾷ, ταῖς ὑπ' αὐτὸν κελεύσας πόλεσι καὶ χώραις τὰ ἐπι-
P. 293 τήδεια εἰς Φώκαιαν κομίζειν. πέμπτος μὲν οὖν ἠνύετο μὴν Φωκαέων καὶ Μιτυληναίων πολιορκουμένων, μάλιστα δὲ κατὰ τὴν Φώκαιαν συχναί τε καὶ καρτεραὶ ἐγίνοντο τειχομαχίαι καὶ

1. *Σαρχάνην.* Fuit hic satrapes Turca, cui obtigerunt, quae a Philadelphia et Antiochia Macandri usque ad Smyrnam et maritimam Ioniae oram patent. Gregoras lib. 7. ineunte. *ED. P.*

piunt: Mitylene terra marique obsidetur. Imperator missis legatis ad Sarchanem orienti circum Phocaeam imperantem, foedus et societatem cum eo pepigit, ut ipse pedestri et navali subsidio se ad Phocaeam et Mitylenen obsidendas adiuvaret: imperator vicissim Sulimanum Sarchanis et reliquos Persarum filios, qui nomine obsidum apud Phocaeam tenerentur, libertate donaret. Nam qui erant Phocaeae Genuates, cum Sulimanum atque alios quatuor et viginti nobilium Persarum filios dolo cepissent, non se illos servitutis causa, sed ut pacis obsides haberent, cepisse aiebant. Sarchanes cum aliud non posset, ingratis pacem accepit propter caritatem filiorum videlicet. Cum autem imperatoris promissio de libertate illis reddenda accederet, si se in bello contra Latinos prompte adiuvaret, spe libertatis id fecit, ac Phocaeam per se cum pedestri et equestri copia veniens, imperatorem venerabundus salutavit et cum eo urbem obsedit: subiectisque sibi urbibus et locis mandans, ut cibaria Phocaeam adveherent, imperatoris exercitui forum uberrimum praebuit. Iam quintum mensem Phocaeensium ac Mitylenaeorum obsidio

ἑλεπόλεις προσήγοντο καὶ ἄλλαι μηχαναὶ πρὸς ἅλωσιν πόλεων A. C. 1334 ἐξευρημέναι. ἐκπολιορκῆσαι δὲ οὐκ ἠδύναντο αὐτοὺς διά τε καρτερότητα τειχῶν καὶ τὸ εὐρώστως ἀμύνεσθαι Λατίνους καὶ μὴ ἐνδιδόναι. μηκυνομένης δὲ τῆς πολιορκίας ἐπὶ πλέον, ἐπεὶ ὅ,τε σῖτος αὐτοῖς ἐνέδει ἤδη, καὶ τὴν πολιορκίαν ὑπώπτευον οὐ ταχέως λύσειν βασιλέα πρὶν ἢ λιμῷ ἢ τειχομαχίᾳ παραστήσεται αὐτοὺς, μηχανώμενοι τὸ ἐπὶ πλείονα χρόνον ἀντισχήσειν, τοὺς μὲν Ῥωμαίους ὅσοι Φώκαιαν κατῴκουν ἐξήλασαν B πανοικεσίᾳ, αὐτοὶ δὲ τὸν σῖτον καὶ ὅσα ἕτερα ἦν ἐπιτήδεια συναγαγόντες, εἰσήγαγον εἰς τὴν ἀκρόπολιν, ἣν αὐτοὶ ἐφρούρουν, καὶ χρώμενοι αὐτοῖς ὑπέμενον τὴν πολιορκίαν. διατρίβοντί τε κατὰ τὴν Φώκαιαν βασιλεῖ οἱ τοῦ Ἀϊτίνη παῖδες, ὃς ἦν σατράπης Ἰωνίας, Χετὴρ καὶ Ἀμοὺρ, ὃν φθάσαντες πρότερον εἰρήκαμεν στόλῳ καταπεπλευκέναι εἰς Θρᾴκην, καὶ τρίτος Σουλαϊμάσας ὠνομασμένος, προσῆλθόν τε κατὰ φιλίαν καὶ προσεκύνησαν καὶ ἐπηγγείλαντο εὔνοι ἔσεσθαι καὶ φίλοι βασιλεῖ, βασιλεύς τε αὐτοὺς τῆς εὐνοίας ἕνεκα δώροις ἀμειψάμενος καὶ εὐεργεσίαις, οἴκαδε ἀπέστειλεν. ἐν τούτοις δὲ ὄντων τῶν πραγμάτων, C ἠγγέλλετο ἐκ Βυζαντίου βασιλεῖ ὡς ἐκ Γεννούας κατά τινα ἑτέραν χρείαν τριήρεις ἑκκαίδεκα προσέσχον Γαλατᾷ, ὧν τῷ ναυάρχῳ καὶ τοῖς τριηράρχαις τινὲς τῶν παρὰ Ῥωμαίοις ἐπιφανῶν κρύφα διαλεχθέντες, ἔπεισαν δώροις καὶ ὑποσχέσεσι πολλαῖς προσεταιρισαμένους καὶ τὰς λοιπὰς ἐξ αἳ

13. Ioniam infestarat, Aladino etiamnum vivente. *ED. P.*

duraverat, et Phocaeae praesertim tormentis muralibus machinisque oppugnatoriis crebra erat et valida moenium adhibita oppugnatio: nec tamen propter soliditatem et quod Latini fortiter constanterque se tuerentur, expugnari poterat. Sed cum obsidio produceretur longius, quoniam eos commeatus iam destituebat et hostes ab oppugnatione non ante desituros suspicabantur, quam ipsi fame aut armis subigerentur, quiddam machinati sunt, quo se tueri diutius possent. Romanos quotquot Phocaeam incolebant, unumquemque tota cum domo exegerunt: annonam corporique sustentando requisita in arcem, praesidio a se munitam, collegerunt et comportarunt: quibus victitantes, obsidionem tolerarent. Ad imperatorem apud Phocaeam filii Aitinis Ioniae satrapae, Cheterus et Amurius (quem supra in Thraciam classe devectum docuimus) et tertius Sulaimasas appellatus, amicitiae ergo veniunt,, eumque venerati, benevolentiam ac fidem pollicentur. Quos ille donis ac muneribus affectos domum remisit. In hoc rerum statu Byzantio nuntiatur, Genua sedecim triremes alia quadam de causa Galatam appelli; quorum cum nauarcho et trierarchis quidam nobiles Romani clam collocuti, donis et promissis multis eos pellexerint, ut adiunctis etiam sex aliis, quas Galatae

A. C. 1334 εἴσιν ἐγχώριοι, ἔπειτα καὶ τὰς κατὰ τὴν Μιτυλήνην ἓξ παραλαβόντας, ἐπιθέσθαι αὐτῷ κατὰ τὴν Φώκαιαν. ταῦτα δὲ τοὺς Ῥωμαίους συνεσκευακέναι οὐ τῆς τῶν Γεννουϊτῶν προνοίας ἕνεκα, ἀλλ' ἐπίβουλοι καὶ προδόται βασιλέως γεγενημένοι, καὶ τῆς ἀρχῆς κρατῆσαι βουληθέντες ἐξ ὧν ᾤον-
D το δυνήσεσθαι διαφθεῖραι ἔπραττον.

V. 235 λ'. Βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο τοιαῦτα, τήν τε οὖσαν παρεσκεύαζε δύναμιν ὡς ἢν δέῃ ναυμαχήσων, καὶ ἑτέραν ἀπὸ τῶν κατὰ τὴν Ἰωνίαν βαρβάρων προσεπορίζετο ὅση δυνατή. καὶ Σαρχάνης μὲν τέτταρας καὶ εἴκοσι παρέσχετο
P. 294 ναῦς καὶ στρατιὰν πολλὴν πεζήν τε καὶ ἱππικήν, ἣ ἐλθοῦσα ἐστρατοπεδεύετο παρὰ τὴν Φώκαιαν· Ἀμοὺρ δὲ ὁ τοῦ Ἀϊτίνη, τοῦ μεγάλου δομεστίκου πείσαντος, τριάκοντα ναυσὶ συνεμάχει βασιλεῖ. ὁ γὰρ μέγας δομέστικος καὶ πρότερον μὲν εἶχε πρὸς Ἀμοὺρ φιλίως καὶ γράμμασιν αὐτῷ ὡμίλει καὶ τὴν εὔνοιαν ἐπεδείκνυτο, συνεγένετό τε καὶ ἐπὶ μικρὸν ὀλίγῳ πρότερον, ὅτε κατὰ Φώκαιαν πρὸς βασιλέα ἧκε· τότε δὲ τῆς χρείας καλούσης, πρεσβείαν πέμψας πρὸς αὐτὸν, οὐ δίκαιον ἔφασκεν εἶναι οὐδὲ καθ' ἡδονὴν αὐτῷ γράμμασι καὶ ἀγγελίαις ὥσπερ πρότερον καὶ αὖθις ὁμιλεῖν. πρότερον γὰρ αἰτίαν
B εἶναι τῆς τοιαύτης συντυχίας τὸ πολὺ ἀλλήλων διεστάναι· νυνὶ δὲ ἐγγὺς διατριβόντων, δίκαιον εἶναι, εἴγε καὶ αὐτῷ κατὰ γνώμην εἴη, ἐν ὡρισμένῳ τινὶ τόπῳ συγγενέσθαι καὶ τῆς ἀλλήλων ὁμιλίας ἀπολαῦσαι καὶ τὴν οὖσαν ἐπιβεβαιῶσα-

reperirent, et illis idem sex apud Mitylenen, Phocaeae ipsum imperatorem adorirentur. Talia Romanos struxisse, non ut Genuensibus consulerent, sed insidiatores et proditores factos et imperium affectantes, unde se ipsum imperatorem vita spoliare posse arbitrarentur, id agere ac moliri.

30. His auditis imperator et quas secum habebat copias ut ad pugnam navalem instruebat, si opus foret: et alias insuper a barbaris ex Ionia quantas poterat conquirebat. Ac Sarchanes quidem naves quaternas et vicenas peditumque et equitum magnam vim subministravit, qui prope Phocaeam tetenderunt. Amurius vero Aitinis filius, impulsu magni domestici, cum triginta navibus imperatori auxiliatum venit. Domesticus enim et ante Amurium diligebat amoremque suum crebris ei litteris declarabat: et cum eodem ad imperatorem Phocaeam veniente paulo ante familiariter congressus fuerat. Tum autem re ita iubente, legatos ad eum misit, qui dicerent, nec iustum, nec sibi iucundum esse, rursum nuntiis et litteris cum eo velut ante colloqui. Nam huiuscemodi colloquiorum causam prius fuisse, quod inter se longius distarent. Nunc quoniam viciniores sint, aequum esse, si idem illi probetur, in loco aliquo certo con-

σθαι φιλίαν. ὁ μέγας μὲν οὖν δομέστικος τοιαῦτα ἐπρεσβεύε-A.C. 1334 το· Ἀμοὺρ δὲ, ὡς ἤκουσεν, εὐτυχίας οὐδεμιᾶς ἐνόμισε δευτέραν τὴν περὶ τῶν τοιούτων ἀγγελίαν, ἀλλὰ τὰ μέγιστα οἰόμενος εὐεργετεῖσθαι, τῶν ἄλλων πάντων ἀμελήσας, κατὰ τὰς Κλαζομενὰς γενόμενος συνεγένετο αὐτῷ, καὶ ἀποβάντα τῶν νεῶν εἱστίασέ τε φιλοτίμως καὶ πολλὴν ἐπεδείξατο φιλοφροσύνην. ἐπὶ τέσσαρσι δὲ ἡμέραις ὁ μέγας δομέστικος αὐτῷ συνδιατρίψας, βασιλεῖ τε ἔπεισε προσέχειν ὡς δεσπότῃ καὶ C τῶν ὑπ' ἐκείνῳ τελούντων ἐπιφανῶν Ῥωμαίων νομίζειν ἕνα, καὶ ἑαυτῷ συνέδησεν ἀῤῥήκτοις φιλίας δεσμοῖς. τάς τε ναῦς παρῄνει πέμπειν ὡς τάχιστα βασιλεῖ δεομένῳ συμμαχίας, αἳ καὶ ἐπέμφθησαν μετ' οὐ πολύ. καὶ Φιλαδελφεινοῖς ἐκέλευσε φίλον εἶναι καὶ σύμμαχον ἀντὶ πολεμίου, καὶ μηδένα φόρον λαμβάνειν ὃν παρείχοντο αὐτῷ ὅτε ἦσαν ἐν σπονδαῖς, καὶ οὐδὲν ἦν ὃ, κελεύσαντος τοῦ μεγάλου δομεστίκου, μὴ καθ' ἡδονὴν αὐτῷ πράττειν ἦν πρὸς τῷ καὶ χάριν εἰδέναι καὶ τὰ μέγιστα οἴεσθαι εὐεργετεῖσθαι. ἐκεῖθεν δὲ ὁ μέγας δομέστικος συνταξάμενος Ἀμοὺρ, ἧκεν ὡς βασιλέα. καὶ ἐπεὶ καὶ αἱ παρὰ D τοῦ Σαρχάνη παρῆσαν νῆες, παρεσκευάσαντό τε πρὸς τὴν ναυμαχίαν καὶ ἠνιῶντο ὅτι οὐ παρῆσαν οἷς ναυμαχοῦνται. Λατῖνοι δὲ, εἴτε τὴν παρασκευὴν βασιλέως δείσαντες, εἴτε καὶ διὰ τὸ τοὺς ἐνάγοντας Ῥωμαίους καταφώρους γενομένους ὑποπτῆξαι, (ἡ γὰρ τοῦ μεγάλου δομεστίκου μήτηρ ἅμα βα-

11. παρῄει legebatur et 14. οἳ pro ὃν. Utrumque recte ed. V.

venire mutuaque consuetudine frui et susceptam confirmare amicitiam. Haec fuit legatio magni domestici. Amurius hosce nuntios summam felicitatem interpretari et in maximo beneficio ducere: relictisque ceteris omnibus, Clazomenis cum eo miscere colloquium; ubi de navi descendentem convivio delicatissimo adhibuit et perhumaniter habuit. Quatriduo cum illo versatus magnus domesticus, persuasit, ut imperatori non secus ac domino deditus, se unum de nobilibus Romanis ei subiectis duceret: et sibi vinculis insolubilibus hominem adstrinxit. Naves autem ut quamprimum mitteret hortabatur, quod imperator suppetiis indigeret: quae brevi missae sunt. Praeterea ut Philadelphiensibus amicus et pro hoste socius esset, nullumque ab iis tributum acciperet, quod illi pendebant, cum foederati essent. Demum nihil erat, quod, hortante magno domestico, non cum voluptate praestaret: quin etiam gratias habebat et se beneficiis ornari putabat. Amurio igitur valedicens domesticus, ad imperatorem se recepit. Cum naves a Sarchane iam venissent, ad naumachiam se comparabant dolebantque, quod quibuscum pugnarent nondum adessent. Latini vero, an quod apparatu imperatoris terrerentur, an quod Romanis, a quibus incitabantur, deprehensis, pavore

A.C.1334 σιλίδι αἰσθόμεναι τὴν ἐπιβουλὴν, ὡς μάλιστα ἐνῆν ἠσφαλίσαντο τά τε βασίλεια καὶ τὴν ἄλλην ἀρχὴν,) ἀποσχόμενοι ὧν διενοοῦντο, διελύθησαν. βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο διαλυθέντας, τοὺς μὲν παρὰ τοῦ Ἀμοὺρ παρόντας κατὰ συμμαχίαν, ἀπέστειλεν εὐεργετήσας· αὐτὸς δὲ συντονώτερον εἴ-
V.236 χετο τῆς πολιορκίας· ἤδη γὰρ καὶ ὁ καιρὸς ἤπειγε περὶ
P.295 φθινόπωρον ὤν. τριβομένου δὲ τοῦ χρόνου κατὰ τὴν πολιορκίαν συμβέβηκε τὸν μέγαν δομέστικον παρὰ τὴν τῆς Φωκαίας πύλην ἰδεῖν ἑστῶτα Ντζουὰν ντὲ Σπίνιά τινα ὠνομασμένον, ὃς ἦν αὐτῷ γνώριμος πρότερον καὶ συνήθης, ἔκ τε τῶν παρὰ Λατίνοις ἐπιφανῶν ὄντα καὶ παιδείας τῆς παρὰ Ῥωμαίοις ἱκανῶς μετεσχηκότα. καὶ πέμψας αὐτὸν μετεκαλεῖτο, κελεύων ἥκειν πρὸς αὐτὸν μηδὲν ὑποπτεύοντα δεινόν. ὁ δ' ἧκεν εὐθὺς πεισθείς. προσαγορεύσας δὲ ὁ μέγας δομέστικος αὐτὸν καὶ ἀγνωμοσύνην ἐγκαλέσας, ὅτι φίλον ἀρχαῖον ὄντα καὶ συνήθη καὶ τοσοῦτον
B ἤδη χρόνον διατρίβοντα πρὸς ταῖς πύλαις ταῖς αὐτῶν, οὐδὲ ἅπαξ πρὸς αὐτὸν ἠθέλησεν ἐλθεῖν οὐδὲ ἀσπάσασθαι οἷα φίλον, καὶ ἕτερ' ἄττα ὅσα ἦν ἁρμόζοντα προσθεὶς τῷ χρόνῳ, (ἤδη γὰρ ὀψὲ τῆς ἡμέρας ἦν,) τὸ νῦν μὲν ἔχον οἴκαδε ἀπέπεμπεν, εἰς τὴν ὑστεραίαν δὲ ἐκέλευσεν, εἴγε καὶ αὐτῷ καθ' ἡδονὴν εἴη, πρὸς αὐτὸν πάλιν ἐλθεῖν, ὡς ἂν κατὰ σχολὴν καὶ περὶ τοῦ παρόντος πολέμου διαλεχθῶσιν ἅττα ἂν ἑκάστῳ δοκοίη δίκαια ἔχειν πρὸς αὐτόν. Ντζουὰν μὲν οὖν ἀποδεξάμενος τοὺς λόγους οἴκαδε ἀπῆλθεν· εἰς τὴν ὑστεραίαν δὲ ἅμα πρωῒ εἰς

tenerentur (magni quippe domestici mater et imperatrix praecipientes insidias, quam maxime poterant palatium reliquumque imperium communiverant) depositis cogitationibus illis, dissipati sunt. Quod ut accepit imperator, submissos ab Amurio cum donativo dimisit: ipse obsidioni contentius instare coepit: iam enim et dies urgebat, autumno appetente scilicet. Dum ita per obsidionem tempus labitur, forte magnus domesticus propter portam quandam Ioannem de Spinia sive Spinulam sibi antea notum ac familiarem stare videt, hominem inter Latinos nobilem et Romanis tinctum litteris. Hunc uti ad se nihil metuens accedat, invitat. Ille fidem habens accedit. Salutat eum domesticus factumque inhumanum exprobrat, quod ad veterem amicum et familiarem et tanto tempore ad portas eorum commoratum, ne semel quidem adiisset, nec pro amicitia salutare voluisset. Alia demum tempori accommodata subiungens, in praesentia domum (iam enim diei serum erat) remittit. Postridie ut redeat, si placuerit, hortatur, quo per otium de hoc bello quae iusta censuerint colloquantur. Ioannes reversionem pollicitus abit. Altera luce mane in magni domestici tabernaculum venit. Facta consalutatione, solum domesticus sic aggreditur: Quavis occasione bellum

τὴν μεγάλου δομεστίκου ἧκει σκηνὴν καὶ προσηγόρευεν αὐτόν. A. C. 1334 ἀντιπροσειπὼν δὲ καὶ αὐτὸς αὐτὸν καὶ μόνον παραλαβὼν, λόγου ἦρχε πρὸς αὐτὸν τοιοῦδε· „οὔτε τὸ ἐπὶ προφάσει πάσῃ πολεμεῖν τῶν ἐπαινετῶν ἄν τις τιθείη σωφρονῶν, οὔτε τὸ εἰ- C ρήνην ἄγειν· ἀλλ' ἑκάτερα βελτίω ἢ χείρω παρὰ τὰς αἰτίας νομίζοιτ' ἂν δικαίως. ἐὰν δέ τις πολέμου ἄρχων, μείζοσιν ἢ καθ' ἑαυτὸν πράγμασιν ἐπιχειροίη, πρὸς τῷ ἀδικεῖν καὶ ἄνοιαν προσοφλήσειεν ἂν παρ' εὖ φρονοῦσι κριταῖς. σκεψώμεθα δὴ καὶ περὶ τοῦ νυνὶ παρόντος πολέμου, ὃν ἤρασθε πρὸς μηδὲν ἀδικοῦντα βασιλέα, εἰ μετὰ βελτίονος τοῦ σχήματος προσγενήσεται ὑμῖν. πρῶτον μὲν γὰρ μηδὲν ὑπὸ βασιλέως ἀδικούμενοι, πρῶτοι ἐπήλθετε τῇ Λέσβῳ οὔσῃ ὑπηκόῳ βασιλεῖ ἀδικοῦντες καὶ πλεονεκτοῦντες, οὕπερ οὐδὲ αὐτοὺς οἶμαι ἐξάρνους δυνήσεσθαι γενέσθαι· ἔπειτα δὲ οὐδὲ ἀνοίας καὶ D ἀβουλίας κατελίπετε ὑπερβολήν. τὸν γὰρ ἄρχοντα πολέμου οὐ χρὴ τοῦτο μόνον σκοπεῖν ὅπως ἀδικήσῃ, ἀλλὰ πρῶτον μὲν εἴγε μάλιστα αὐτῷ τοῦτο δυνατὸν, ἔπειτα δὲ εἰ καὶ ἀρκοῦσαν δύναμιν ἔχει πρὸς τὸ τὰ ἀδικηθέντα διασώζειν. ὑμῖν δὲ πρός τε τὸ τὰ ἀλλότρια ἁρπάζειν ἡ δύναμις ἐνδεὴς καὶ πρὸς τὸ τὰ ἡρπασμένα διασώζειν ἐλαχίστη. Λέσβῳ μὲν γὰρ ἐπιόντες, Δηλίους ἐπείσατε καὶ Σικελιώτας συμμαχεῖν. βασιλέως δὲ ἐπιστρατεύσαντος ὑμῖν, οἱ σύμμαχοι ᾤχοντο ὑμᾶς ἀπολιπόντες, οὐδὲ ὅπλα ἀνταίρειν δυνηθέντες. ὑμῶν δὲ μόνων ὑπολελειμμένων, οἱ μὲν ἀπώλοντο κατὰ τὴν Καλλονὴν ἐν πέντε τριήρεσι διαφθαρέντες, οἱ δὲ κατὰ τὴν Μιτυλήνην καὶ Φω-

12. βασιλεῖα legebatur, unde ED. P. coni. βασιλέα.

gerere aut in pace vivere, nemo sanae mentis commendaverit, cum utriusque laus et vituperatio ex causis merito spectanda sit. Quod si quis bellum ordiens viribus suis maiora suscipit, praeterquam quod iniustus est, prudentium iudicio etiam stultus habebitur. Consideremus igitur et istuc bellum, quod contra imperatorem nulla in re ab eo lacsi suscepistis, num honeste et utiliter a vobis geratur. Primum enim nullam passi iniuriam Lesbum ei subiectam invasistis, vexastis ac diripuistis: quod nec ipsimet negare poteritis. Deinde temeritatis et vecordiae modum nullum tenuistis. Nam qui bellum incipit, non hoc solùm providere debet, quomodo per nefas aliena occupet: sed primum quidem, satisne istuc commode possit. Tum, an ad ea quae per vim occupavit conservanda sufficiens ei facultas adsit. Vobis autem et ad aliena rapienda vires sunt parvae et ad rapta conservanda parvissimae. Etenim Lesbum invasuri, Deliorum Siculorumque auxiliis indiguistis: et imperatoria classe adventante, socii imbelles diffugerunt ac vos solos reliquerunt: et alii quidem vestrum apud Callonem in quinque triremibus perierunt: alii

A.C. 1334 καιαν ἀποκεκλεισμένοι πολιορκεῖσθε, οὐδεμίαν ἔχοντες ἐλπίδα βεβαίαν σωτηρίας. μὴ θαυμάσῃς δὲ, εἰ μηδεμίαν εἶπον ἐλπίδα βεβαίαν σωτηρίας ὑμᾶς ἔχειν, καίτοι καρτερώτατα ἀμυνομένους P. 296 ἀπὸ τῶν τειχῶν καὶ μηδεμίαν ἢ ὀλίγην βλάβην ὑπομένοντας ἀπό τε τῶν ἐκπιπτόντων τῆς μηχανῆς λίθων καὶ τῶν κλιμάκων καὶ τῶν ἄλλων μηχανῶν τῶν κατὰ τὰς συχνὰς τειχομαχίας προσαγομένων. ἀποδείξω γὰρ σαφέστατα ὑμᾶς οὐ πολὺ ἀπέχοντας τοῦ ἐν ἐσχάτοις κινδύνοις εἶναι. τριῶν γὰρ ὄντων, ἃ ἂν μάλιστα διασώζειν δύναιτο τοὺς πολιορκουμένους, τοῦ τέ ποθεν ἔξωθεν ἐπελθοῦσαν δύναμιν τοὺς πολιορκοῦντας ἀνιστᾷν, καὶ τοῦ ἀφθονίαν σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων ἔχοντας μετὰ ῥᾳστώνης τὴν πολιορκίαν διαφέρειν, καὶ τρίτου, τοῦ B τὸν πολιορκοῦντα ἀδύνατον εἶναι προσκαθέζεσθαι ἢ δι' ἀπορίαν ἀναλωμάτων ἢ διὰ μικροψυχίαν ἢ τινα αἰτίαν ἄλλην, ἐγὼ ὑμῖν προσὸν ἀποδείξω τούτων οὐδὲ ἕν. τὴν μὲν οὖν V. 237 ἴσως ἂν ἐπελθοῦσαν ἔξωθεν βοήθειαν ὑμῖν οὐδαμόθεν ἄλλοθεν ἄν τις οἰηθείη ἢ ἐκ Γεννούας, οἷα δὴ ὁμοφύλων ὄντων ὑμῖν καὶ συγγενῶν· τοῦτο δὲ τοσοῦτον ἀπέχει τοῦ εἶναι ἀληθὲς ἢ ὑμᾶς οἴεσθαι ἐλπίζειν, ὥστε τοὐναντίον μᾶλλον ἐφ' ὑμᾶς ἐλεύσονται ἐκεῖνοι ἐκπολιορκήσοντες ὡς πολεμίους τῷ κοινῷ, ἂν κελεύῃ βασιλεύς. ἴστε γὰρ δὴ σαφέστατα ὑμεῖς ὡς ἐν ταῖς συνθήκαις καὶ τοῖς ὅρκοις, οὓς πρὸς τὴν βασιλείαν Ῥωμαίων C ἡ βουλὴ καὶ ὁ δῆμος ἔθετο Γεννούας ἐπὶ τῇ εἰρήνῃ, πρὸς τοῖς ἄλλοις περιείληπται καὶ τοῦτο, τὸ μὴ μόνον τὸ κοινὸν αὐτῶν μηδεμίαν βλάβην ἢ ζημίαν ἐπάγειν τῇ Ῥωμαίων βασιλείᾳ πρόφασιν πολέμου οὐ παρεχομένῃ, ἀλλὰ καὶ ἐάν τις

intra Mitylenen et Phocaeam conclusi cum incerta spe salutis obsidemini. Ac nolim te mirari quod dixerim nullam vos salutis certam spem fovere, tametsi vos e moenibus fortissime defendatis, nec ullum aut leve damnum accipiatis a saxis, quae e tormentis iaciuntur, a scalis ceterisque machinis, quae in tam crebris oppugnationibus ad muros admoventur: demonstrabo enim luculentissime vos ab extremo discrimine haud longe abesse. Nam cum tria sint, quae obsessos servare tuerique potissimum queant: primum aliunde superveniens auxilium, quo obsessi erigant animos: alterum frumenti ac reliqui commeatus abundantia, unde facile perfertur obsidio: tertium, quando hostis diutius assidere aut sumptibus defectus aut animo fractus aut alia de causa non potest, ego docebo nihil horum vobis adesse. Forsitan igitur auxilium vobis submissum et non aliunde quam Genua, utpote a civibus cognatisque vestris, submissum quis existimaverit. Atqui hoc tam remotum est a veritate tantumque abest ut id sperandum vobis sit, ut timendum potius ne contra vos illi venturi et hortante imperatore ut inimicos reipublicae obsessuri sint. Sci-

ἰδιώτης Ῥωμαῖον ἀδικήσῃ, ἀπὸ τῶν προσόντων αὐτῷ κτημάτων A.C. 1334 ἢ πραγμάτων τὴν ζημίαν ἀπολαμβάνειν τὸν Ῥωμαῖον. ἂν δὲ καὶ τῇ βασιλείᾳ Ῥωμαίων τὴν ζημίαν προξενῇ ἢ νῆσον διαρπάζων ἢ πόλιν τινὰ παράλιον ἢ τι ἕτερον, τὸν ἴσον τρόπον ἀπὸ τῶν ἐκείνων κτημάτων καὶ πραγμάτων, εἰ πολλοὶ εἶεν ἢ εἷς, τὴν ζημίαν ἀποτίννυσθαι βασιλεῖ, αὐτὸν δέ ψηφίζεσθαι πολέμιον τῷ δήμῳ καὶ τῇ βουλῇ, καὶ στρατεύειν D ἐπ' ἐκεῖνον ὡς ἄπιστον καὶ προδότην τοῦ κοινοῦ. οὗ δὴ ἕνεκα καὶ βασιλέα πρεσβείαν πρὸς Γέννουαν ἀπεσταλκέναι, ὥστε μὴ μόνον τὰ κτήματα ὑμῶν τῶν χρημάτων ἕνεκα ὧν ἀνάλωσε πολεμῶν ὑμῖν παραλαβεῖν, ἀλλὰ καὶ τριήρεις κελεῦσαι πέμψαι καθ' ὑμῶν κατὰ τὰ συγκείμενα καὶ τοὺς ὅρκους. ὥστε ἐκ Γεννούας οὐ μόνον ἐπικουρίαν οὐδεμίαν, ἀλλὰ καὶ πόλεμον καὶ ἐπίπλουν προσδοκᾷν χρή. ὅτι δὲ καὶ τῶν ἐπιτηδείων νῦν τε ἐνδεεῖς ἐστε καὶ μετ' ὀλίγον ἐπιλείψει παντελῶς ὑμᾶς, ἐξ αὐτῶν ἄν τις τῶν πραγμάτων ἀληθέστατα τεκμήραιτο. οἱ γὰρ ἐξελαθέντες τοῦ ἄστεος ὑφ' ὑμῶν Ῥωμαῖοι, ὧν αὐτοὶ τὰ ἐπιτήδεια λαβόντες χρῆσθε, τὸ μέτρον τῆς τροφῆς P. 297 πρὸς τὸ τῶν πολιορκουμένων πλῆθος λογιζόμενοι, ἐντὸς ὀλίγου χρόνου παντάπασί φασιν ὑμᾶς τὰ σιτία ἐπιλείψειν. λείπεται δὴ μίαν ὑπολείπεσθαι ἐλπίδα σωτηρίας, τὸ βασιλέα ῥαθυμήσαντα ἢ διὰ τὸ τῶν ἀναλισκομένων πλῆθος χρημάτων

tis enim planissime pactis et foederibus, quae cum Romano imperio senatus populusque Genuatium pacis causa fecit, praeter alia hoc etiam contineri, ut commune ipsorum non modo nullum Romano imperio detrimentum damnumve importet, si nullam belli occasionem dederit, sed si quis etiam privatus Romanum quempiam laeserit, ut de possessionibus aut facultatibus eius Romano mulcta solvatur. Sin imperio Romano detrimentosus extiterit, aut insulam aut maritimam urbem aut aliud diripiens, ut eadem ratione de eorum possessionibus aut facultatibus, seu plures seu unus dumtaxat fuerit, imperatori satisfiat ipseque a senatu populoque Genuensi hostis iudicetur, et arma in illum ut perfidum ac reipublicae proditorem capiantur. Cuius rei gratia et imperatorem ad Genuenses legationem misisse nostis, non solum ut fundos et villas vestras ad reficiendos sumptus, dum vobiscum belligerat, toleratos recipiat, sed eos insuper ad triremes secundum conventa et iuramenta contra vos mittendas impulisse. Quamobrem non subsidium Genua, sed bellum et hostilis adnavigatio magis exspectanda vobis est. Porro et victus inopia vos laborare, pauloque post quod haesitetis non habituros, ex re ipsa duci argumentum certissimum potest. Quos enim urbe exegistis Romani, quorumque alimentis fruimini, mensuram alimoniae cum obsessorum multitudine contendentes, intra breve tempus omnimodis commeatu vos carituros affirmant. Ergo haec una spes salutis

A. p. 334 ἢ διὰ τὴν κατὰ τὴν στρατείαν κακοπάθειαν λύσειν τὴν πολιορκίαν ἢ διὰ τὸ χειμῶνα ἐπιγίνεσθαι ἤδη προσδοκᾷν. ἐγὼ δὲ καὶ περὶ τούτου προδότης γενήσομαι ἡμῶν αὐτῶν καὶ μηνύσω προῖκα ἅπαν τἀληθές. καίτοι γε πολλοῦ ἂν ἐπρίασθε αὐτοὶ, εὖ οἶδα, εἰ ἃ διανοούμεθα περὶ ὑμῶν, ἀληθῶς ἐξεγέ- B νετο μαθεῖν· ἐγὼ δὲ ὑμῖν καὶ τοῦτο χαριοῦμαι. βασιλεὺς μὲν γὰρ καὶ ἡμεῖς καὶ τὸ πολὺ τῆς στρατιᾶς οἴκαδε ἀπελευσόμεθα, ἵνα μὴ εἰκῇ καὶ μάτην κατατριβώμεθα ἐνταῦθα, ἄλλως τε καὶ τῶν ἐκεῖσε πραγμάτων ἐπιμελείας δεομένων, ἣν οὐκ ἐξὸν ποιεῖσθαι μὴ ἐκεῖ ἐπιδημοῦντας. ἐνταυθοῖ δὲ πρὸς τὴν πολιορκίαν δέκα καταλείψομεν τριήρεις καὶ μονήρεις εἴκοσι καὶ ἑτέρας τέτταρας καὶ εἴκοσι τὰς τοῦ Σαρχάνη ναῦς, μισθὸν παρασχόντες διαρκέσοντα ἄχρι ἦρος. οἳ ὑμᾶς τε καὶ Μιτυληναίους ἀσφαλῶς πολιορκήσουσιν ἐφορμοῦντες ἐκ θαλάσσης, ἐκ δὲ ἠπείρου ὑμῖν μὲν ἀρκέσουσιν ἡ τοῦ Σαρχάνη παρακειμένη στρα- C τιά· Μιτυληναίοις δὲ οἱ Ῥωμαίων μισθοφόροι τὴν εἰς τὴν Λέσβον ἔξοδον ἀπείρξουσιν, ὥστε καὶ ἀμφοτέρους ἑκατέρωθεν ἀπείργεσθαι ἔκ τε γῆς καὶ θαλάττης τοῦ μηδὲν εἰσάγειν τῶν V. 238 ἐπιτηδείων. ἅμα δὲ ἦρι ἀρχομένῳ στόλῳ μεγάλῳ αὖθις ἐφ' ὑμᾶς πλευσούμεθα, γνώμην ἔχοντες μέχρι παντὸς διακαρτερεῖν, ἄχρις ἂν ἢ λιμῷ ἢ ὅπλοις παραστησάμενοι, ἐξανδραποδισώμεθα ὑμᾶς. πρὸς τούτοις δὲ καὶ ἑτέραν βασιλέως ἐπίνοιαν οὐκ ἀποκρύψω. βούλεται γὰρ τοῖς συμπολιορκουμένοις

6. τοῦτο em. ED. P. pro τούτῳ.

restat, si imperator deses factus, aut propter impensae magnitudinem, aut propter attritum laboribusque confectum exercitum, aut propter imminentem hiemem obsidionem solvat. Ego vero et in his nostri ipsorum factus proditor, omnem rei veritatem gratuito expromam: quamquam vos vel talentum fuisse numeraturos sciam, si, quae de vobis taciti cogitamus, vere cognoscere licuisset. Sed enim vobis hoc gratis dabo. Imperator, nos exercitusque magnam partem domum discedemus, ne hic temere ac frustra maceremur: praesertim cum et illic respublica officium industriamque nostram desideret, quam ei nisi praesentes praestare non possumus. Hic ad continuandam obsidionem triremes denas et uniremes vicenas relinquemus: praeterea de navibus Sarchanis quatuor et viginti, adnumerato, quantum usque ad vernam tempestatem sufficit stipendio. Atque hi vos et Mitylenaeos, a mari facto impetu certo oppugnabunt: a continente Sarchanis copiae auxiliares satis prement. Mitylenaeis vero Romanorum conductitii ingressum in insulam intercludent, ut ambo terra marique victum invehere prohibeamini. Vere novo magna classe revertemur, eo animo, ut tamdiu vos oppugnemus, quoad vel fame vel armis domitos, in servitutem redigamus. Praeter haec alias adhuc imperatoris cogitationes occultas non habebo. Vult enim vobis

ὑμῖν πᾶσι δι' ὅρκων αἵρεσιν προθεῖναι, ἢ μένοντας ἐντὸς τειχῶν πολεμίους αὐτῷ τε εἶναι καὶ τῷ κοινῷ Γεννούας, ἢ ἔξω γενομένους καὶ καταλιπόντας ὑμᾶς, μὴ μόνον παρὰ βασιλέως τυχεῖν συγγνώμης καὶ ἀμνηστίας ὧν ἐξημαρτήκασιν, ἀλλὰ καὶ παρὰ τῷ κοινῷ Γεννούας ἀζημίους εἶναι, βασιλέως τὴν ἄδειαν παρασχομένου. ὅπερ ὅτι πολλοὺς τῶν ὑμῖν συμπολιορκουμένων πείσει ἀποστῆναι, οὐδ' αὐτὸς ἀγνοεῖς. ὅτε τοίνυν ἐξ ἀρχῆς τε οὐ δίκαια ποιοῦντες τὸν πόλεμον κεκινήκατε τουτονὶ, νῦν τε τῶν πραγμάτων ἐναντίως ἢ αὐτοὶ προσεδοκᾶτε χωρησάντων, οὐ μόνον ἀβουλίας καὶ ἀσυνεσίας ὄφλετε κατηγορίαν, ἀλλὰ καὶ ἐν ἐσχάτοις κατέστητε κινδύνοις, ποῦ λυσιτελὲς ἢ σωφρονούντων ὅλως ἀνθρώπων, μὴ μεταβουλεύεσθαι περὶ τῶν κακῶς βεβουλευμένων καὶ σωτηρίαν τινὰ αὐτοῖς ἐκ τῶν ἐνόντων ἐκπορίζειν, ἀλλὰ διὰ φιλονεικίαν καὶ ἀλαζονείαν νοῦν οὐκ ἔχουσαν αὐτούς τε ἀπόλλυσθαι κακῶς καὶ τοῖς οἰκείοις οὐ πενίαν μόνον καὶ ἀποστέρησιν τῶν ὄντων, ἀλλὰ καὶ ἀδοξίαν προστρίβεσθαι διὰ βίου; ἐγὼ δὲ καὶ τούτων ἁπάντων χωρὶς οὐδαμῶς λυσιτελοῦντα τὸν πρὸς βασιλέα πόλεμον ὑμῖν ἀποφανῶ. εἰ γὰρ καὶ μήτε ὅπλοις, μήτε λιμῷ, μήθ' ἑτέρᾳ μηχανῇ τινι παραστήσασθαι δυνησόμεθα ὑμᾶς, οὐδ' οὕτω τὸ πολιορκεῖσθαι λυσιτελήσειεν ἂν ὑμῖν. πρῶτον μὲν γὰρ οὐκ ἐπὶ τῷ διηνεκῶς πολιορκεῖσθαι καὶ ἐνδείᾳ καὶ τοῖς ἄλλοις τοῖς ἐκ τοῦ πολέμου κακοῖς πιέζεσθαι

A. C. 1334 — D — P. 298 — B

obsessis omnibus alterius optionem esse iuratis, aut intra moenia manentes, ipsi et Genuensium reipublicae hostes haberi: aut egressos et a vobis secedentes, non ab imperatore dumtaxat commissorum veniam et *ἀμνηστίαν*, sed etiam apud commune Genuensium impunitatem eius auctoritate consequi. Quod quam multis inter obsessos ad defectionem incitamento futurum sit, non te fugit. Quando igitur et ab initio praeter fas hoc bellum suscitastis: et nunc rebus contra spem cadentibus non insipientiae solum audaciaeque culpam sustinetis, verum etiam in gravissimum discrimen devenistis, qui tandem conducet, aut quomodo mente sua constantium erit, mala consilia non permutare melioribus et aliquid inde ad salutem idoneum elicere: sed per stolidam contentionem et arrogantiam semetipsos ire perditum, et propinquis ac necessariis non inopiam et amissionem facultatum tantummodo parere, verum etiam ignominiam perpetuam inurere? Adhuc praeter isthaec omnia cum imperatore bellum ducere, nequaquam vobis prodesse ostendam. Etsi enim neque armis, neque fame, neque alia quadam via ad deditionem vos compellere poterimus, tamen ne sic quidem vobis conducet obsideri. Primum non ut semper obsideremini, et penuria victus ceterisque bellorum incommodis premeremini, Lesbi tanto cum impendio potiundae cupido vobis incessit: sed ut impensas multo maioribus

A. C. 1334 Λέσβου κρατῆσαι ὑμῖν ἐπῆλθε τοσαῦτα χρήματα ἀναλωκόσιν, ἀλλ' ἐπὶ τῷ πολλαπλασίῳ τῶν ἀναλωμένων κτησαμένους, καὶ τῆς νήσου ἔχειν τὴν ἀρχήν. τοῦτο δ' ἐναντίως ἢ αὐτοὶ συμβέβηκε προσδοκᾶτε. τά τε γὰρ χρήματα ἀνάλωνται εἰς τὰς τριήρεις καὶ ἡ νῆσος ὑπὸ βασιλέα αὖθις τελεῖ πλὴν Μιτυλήνης, ἣν δεῖ καὶ Φώκαιαν φρουρεῖν μισθοφόρους τρέφοντας χιλίων οὐκ ἐλάσσους. πόθεν οὖν ποριεῖσθε τὴν τροφὴν αὐτοῖς; οὔτε γὰρ χρήματα εἴχετε ἐν ταῖς ναυσὶν ἃ διαρκέσει πρὸς τὴν πολιορκίαν, οὔτε ἐκ Γεννούας ἐλπὶς ἐλθεῖν. τὰ γὰρ ἐκεῖσε κτήματα ὑμῶν, ἃ παρεῖχε τὰς προσόδους, ὑπὸ βασι- C λέα ἔσται· αἵ τε ἐκ Φωκαίας προσγινόμεναι πρότερον πρόσοδοι ὑμῖν ἀφῄρηνται διὰ τὸν πόλεμον. ἐμπορία τε γὰρ ἐκλέλοιπε πᾶσα, θαλασσοκρατούντων ἡμῶν, καὶ γεωργίας ἀπειργόμεν, οὐδὲ τὸ πυλῶν προβαίνειν ἀκίνδυνον ὂν ὑμῖν. ὥστε πάντοθεν συμβαίνει περιΐστασθαι τὸν κίνδυνον, ἄν τε κρατῆσθε τοῖς ὅπλοις, ἄν τε μή· ὡς οὖν περὶ σωτηρίας ὑμῖν βουλευσομένοις οὐκ ἐν παρέργῳ χρὴ ποιεῖσθαι τὴν βουλὴν, D ἀλλὰ μετὰ τῶν φίλων σκεψαμένους τὰ δέοντα ἑλέσθαι."

V. 239 λα'. Τοιαῦτα τοῦ μεγάλου δομεστίκου εἰρηκότος, Ντζιουὰν ἐπιπολὺ μὲν ἦν σιωπῶν, ἐκπεπληγμένος ὅτι δὴ σαφέστατα περὶ τῶν κατ' αὐτοὺς πραγμάτων διειλέχθη. συνεώρα τε ἤδη καὶ αὐτὸς τὸν κίνδυνον ὡς ἐν χρῷ. ἔπειτα ἀνενεγκὼν „ὡς μὲν ἀδικοῦμεν πολέμου ἄρχοντες" ἔφη „οὐδὲ αὐτοὶ δυ-

2. πολλαπλασίῳ legebatur.

divitiis consolantes, insulae quoque dominatum obtineretis: in quo multum plane vestra vos delusit opinio. Nam pecuniam in triremes absumpsistis: et insula, Mitylene excepta, imperatorem rursus principem suum agnoscit: quam ut pariter ac Phocaeam defendatis, praesidiarios mercede conductos non pauciores mille oportet alere. Unde igitur alimenta illis suppeditabitis? Neque enim in navibus tantum pecuniae habebatis, quantum obsidioni tolerandae sufficeret: neque Genua missum iri sperandum est. Nam quae illic possidetis et unde vectigalia capiebatis, imperatori adiudicabuntur: et quae prius Phocaea vobis pendebat, bellum sustulit. Etenim mercatura omnis, nobis mare tenentibus, conquievit; et agricultura per nos usque adeo arcemini, ut ne porta quidem urbis secure pedem efferre possitis. Quare sive armis subiugemini, sive non, undeunde periculis cingimini. Ergo quoniam salus vestra agitur, non obiter et velut per transennam, sed cum amicis res perpendenda et utilitati consulendum est.

31. Hactenus magnus domesticus: cuius sermone perculsus Ioannes, diu siluit, quod suorum conditionem disertissime explicatam videbat et iam ipse quoque periculum esse in cervicibus intelligebat. Postquam se deinde collegit, ita fari exorsus est: Perperam nos agere,

νάμεθα ἀντειπεῖν. πλὴν ἐλπίδι ἐπαρθέντες τοῦ τε ἐγκρα- A.C. 1334
τεῖς γενήσεσθαι τῆς Λέσβου τοῦ τε ἀμυνεῖσθαι βασιλέα ἂν P. 299
ἐπίῃ, (οὐ γὰρ τοσαύτην γε ᾠόμεθα δύναμιν ἀθροίσειν ναυτι-
κὴν,) ἠράμεθα· νυνὶ δὲ ἤδη τά τε χρήματα ἀνάλωται ἡμῖν
καὶ αὐτοὶ πολιορκούμεθα, οὐκ ἀγαθὰς ἔχοντες ἐλπίδας περὶ
τῶν μελλόντων. ἐπεὶ δὲ ὡς ὁρῶ, τοῦ θεοῦ κεκινηκότος, εἰς
τοὺς περὶ τούτων προήχθης λόγους, δέομαι ἃ λυσιτελῆ δοκεῖ
καὶ δέοντα βουλεύσασθαι περὶ τοῦ μέλλοντος. τὰ γὰρ πα-
ρελθόντα οὐκ ἔστιν ἄλλως διαθέσθαι ἢ ὡς ἔτυχε γεγενημένα."
ὁ μέγας δὲ δομέστικος „εἰ μὲν καθ' ἑαυτοὺς αὐτοὶ περὶ τῶν
ὑμετέρων" ἔφη „ἐβουλεύεσθε πραγμάτων, οὐδὲν ἂν ἐκώλυεν B
εἰρήνην ἢ τὸν πόλεμον ἑλέσθαι. ἐπεὶ δὲ ἐμοὶ περὶ τῶν ὑμε-
τέρων ἐπιτρέπετε βουλεύεσθαι πραγμάτων, ἃ μοι δοκῶ ὑμῖν
συμφέροντα ἐρῶ. ὑμῖν δὲ ἔξεσται ἢ αἱρεῖσθαι τὰ βεβουλευ-
μένα ἢ διωθεῖσθαι. οἶμαι δὲ οὐδὲ πολλῶν δεήσεσθαι λόγων
περὶ τῶν ὑμῖν πείθοντα δοκούντων λυσιτελεῖν. ἃ γὰρ διει-
λέχθην πρότερον, πολλῶν κακῶν ὑμῖν τὸν πόλεμον αἰτιώτα-
τον γεγενημένον ἀποφαίνων καὶ ἔτι μέλλοντα, τούτοις ἔξεστι
κατασκευάζειν ὡς αἱρετέα ἡ εἰρήνη. τὸν τρόπον δὲ ὃν ἂν
ὑμῖν μάλιστα λυσιτελήσειεν ὑφηγήσομαι ἐγώ. πρὶν εἰς το-
σοῦτον κινδύνου ἥκειν ὥστε δοκεῖν καὶ ἄκοντας προσιέναι
βασιλεῖ, ἐνδείξασθε εὔνοιάν τινα ἀντίῤῥοπον πρὸς τὴν προτέ-
ραν ἀδικίαν, καὶ πρεσβείαν πέμψαντες πρὸς βασιλέα, συγγνώ- C
μην αἰτήσατε ἐφ' οἷς προσκεκρούκατε κατὰ τὸν πόλεμον. φύ-

Comnenes appellatis non procul ab urbe prope Tunzam fluvium obibantur: diebusque octo a Moesis et Romanis in his sacris nuptialibus consumptis, die nono Alexander rex et Moesi imperatoris filiam, reginam suam Mariam e gente Palaeologorum assumentes in Moesiam abducunt, multis eam ex Romana nobilitate usque Trinobum prosequentibus: ubi remanentibus quos ei pater perpetuos honorarios attribuerat, ceteri reverterunt. Multo post id tempus, qui se apud Acarnanas imperatori nolebant subiicere et ceteros quoque ad arma stimulabant, eius absentiam ad res novandas opportunam statuentes, complures in sodalitium suum pellexerunt. Et Artam quidem urbium Acarnaniae velut caput, Nicolaus Basilitzes et Cabasilas a fide imperatoris aversam occupaverunt ac protostratorem illic degentem in carcerem, adhibitis custodibus, compegerunt. Alexius Cabasilas Rhogum vendicavit. Quadraginta porro eiusdem coniurationis satellites et administri Thomocastrum ad mare Adrianum: cum nullum praeterea oppidum deficeret, sed recenti semper studio benevolentiaque erga imperatorem floreret. Erantque oppida illa non pauca sane, Mesopotamum, Sopotus, Chimarra, Argyrocastrum,

A. C. 1338 στρον καὶ ἡ Πάργα καὶ ὁ Ἅγιος Δονάτος καὶ Ἀγγελόκαστρον καὶ Ἰωάννινα, ὅ,τε Εὔλοχὸς καὶ τὸ Βάλτον καὶ ἕτερ' ἄττα φρούρια οὐκ ὀλίγα. ἐκεῖνοι δὲ οἱ ἀποστάντες βασιλέως πρεσβείαν πρὸς πριγκίπισσαν τὴν Τάραντος δεσπότιν πέμψαντες, Νικηφόρον τε τὸν παῖδα ᾐτοῦντο δεσπότου ὡς σφῶν ἄρξοντα κατὰ πατρῷον κλῆρον, καὶ συμμαχίαν, μεθ' ἧς καὶ
B τὰς ἄλλας δυνήσονται πόλεις ἀποστῆσαι βασιλέως, ἢ ἑκούσας προσχωρησάσας ἢ βιασάμενοι τοῖς ὅπλοις. πριγκίπισσα δὲ ἡδέως τε ἐδέξατο Νικηφόρον φυγόντα πρὸς αὐτὴν, (ἤλπισε γὰρ Ἀκαρνανίας κρατήσειν δι' αὐτοῦ,) καὶ πάλιν ἐπεὶ ἐπύθετό τινας βασιλέως ἀποστάντας καὶ προσχωρήσαντας αὐτῷ, ἐξέπεμπε προθύμως, καὶ μίαν ἐκείνῳ τῶν θυγατέρων (δύο δὲ ἦσαν αὐτῇ) κατεγγυήσας συμμαχίαν τε παρασχομένη ὅση δυνατή. ἡ γὰρ πριγκίπισσα αὕτη δὴ ἀπόγονος οὖσα Βαλδουΐνου, ὃς Βυζαντίου ἐβασίλευσεν ἐπὶ καιρὸν, καθ' ὃν ὑπὸ Λατίνοις ἑάλω χρόνον, τόν τε πρόγονον ὡς βασιλέα Ῥωμαίων διεθρύλλει καὶ ἑαυτὴν βασιλίδα προσηγόρευε Ῥωμαίων ὡς ἀπόγονον ἐκείνου. διὸ καὶ διὰ σπουδῆς ἁπάσης ἐποιεῖτο μέ-
C ρους ἄρξαι τινὸς τῆς ὑπὸ τοὺς Ῥωμαίων βασιλέας οὔσης ἀρχῆς. οὗ δὴ ἕνεκα καὶ τότε Νικηφόρον ἐξέπεμπε διὰ σπουδῆς καὶ δύναμιν παρασχοῦσα ναυτικὴν, οἰομένη ἂν Ἀκαρνανίας αὐτὸς ἄρξῃ τῇ θυγατρὶ ἐκείνης συνοικῶν, τὴν ἐπιθυμίαν ἠνυκέναι, ὃς δὴ καὶ Θωμοκάστρῳ ἐνδιῆγεν ὄντι παραλίῳ. βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο περὶ τῶν κατὰ τὴν Ἀκαρνανίαν, στρατεύειν

Parga, Sanctus Donatus, Angelocastrum, Ioannina. Item Eulochus, Baltum et alia castella complura. At enim desertores illi per legatos a domina Tarentina Nicephorum despotae filium sibi ut parentis legitimum successorem imperaturum repetebant; et simul auxilium, quo et alias urbes, si sponte sua nollent, ad defectionem cogere possent, flagitabant. Tarentina princeps Nicephorum ad se confugientem laeta excepit; quod per ipsum se in Acarnania regnaturam confideret. Post, ubi audivit quosdam ab imperatore ad illum descivisse, non invita cum una filiarum (duas enim habebat) eidem desponsa et subsidio quanto potuit dimisit. Erat haec femina e minoribus seu posteris Balduini, qui Byzantio a Latinis capto, aliquamdiu ibidem imperavit: et illum familiae suae auctorem Romanum imperatorem seque imperatricem Romanorum, quippe illius neptem, palam praedicabat. Hinc elaborabat, ut in parte saltem Romani principatus imperare posset. Quam ob causam etiam Nicephorum cupide cum navali copia dimisit: arbitrans, si is filiae suae maritus Acarnaniae dominus esset, habituram se quod concupivisset: qui et Thomocastri urbe maritima degebat. Imperator statu rerum Acarnanensium percepto, sibimet in praesens, senescente iam

μὲν αὐτὸς οὐκ ᾤετο δεῖν τὸ νῦν ἔχον ἐπ' αὐτοὺς, ἤδη περὶ ἐκ- A. C. 1338
βολὰς τοῦ φθινοπώρου ὄντος· Ἰωάννην δὲ Ἄγγελον τὸν πιγκέρνην ἅμα Μονομάχῳ ἐκέλευσεν ἀναλαβόντα στρατιὰν χωρεῖν ἐπὶ Ἀκαρνανίαν, κἀκεῖ διαχειμάζειν, ἅμα μὲν ταῖς ὑπὸ βασι- D
λέα τελούσαις ἔτι πόλεσι δύναμιν παρέχοντας καὶ δέος τοῦ μὴ συναφίστασθαι ταῖς ἄλλαις· ἅμα δὲ καὶ τὰς ἀφεστηκυίας εἰ μὴ τελείως, ἀλλ' ἐκ μέρους πολιορκήσοντας λεηλασίαις, ὡς ἂν ἅμα ἦρι βασιλεῖ ἐπιστρατεύσαντι ῥᾴδιαι εἶεν παραστήσασθαι, προτεταλαιπωρηκυῖαι τοῦ χειμῶνος καὶ πολλῶν ἀναπεπλησμέναι κακῶν ἐκ τοῦ πολέμου. πιγκέρνης μὲν οὖν κατὰ τὰ προστεταγμένα ὑπὸ βασιλέως ἅμα στρατιᾷ εἰς Ἀκαρνανίαν διαχειμάσας, τάς τε οὔσας ὑπηκόους βασιλεῖ πόλεις διεφύλαξε καὶ τὰς ἀποστάσας ἐκάκου. ἅμα δὲ ἦρι καὶ ὁ βασιλεὺς παν- A. C. 1339
στρατιᾷ ἐπὶ Ἀκαρνανίαν ἦλθε. καὶ τοὺς μὲν τῶν ἄλλων πόλεων δήμους καὶ τοὺς δυνατοὺς τῆς εἰς αὐτὸν εὐνοίας ἕνεκα ἠμείβετο πολλαῖς εὐεργεσίαις, τὴν στρατιὰν δὲ διελόμενος τριχῇ, τὰς ἀποστάσας πόλεις συντονώτατα ἐπολιόρκει. Θωμόκαστρον P. 311
μὲν οὖν, ἔνθα καὶ Νικηφόρος διῆγεν ὁ δοὺξ, διέφερε ῥαδίως τὴν πολιορκίαν, ἅτε ἐξ ἠπείρου τῶν Ῥωμαίων μόνον πολιορκούντων· κατὰ γὰρ τὴν θάλατταν ὅσων ἐδεῖτο εἰσῆγέ τε καὶ ἐξῆγε, δύναμιν μὴ ἔχοντος βασιλέως ναυτικήν. Ἄρτα δὲ καὶ Ῥωγὼ οὖσαι ἠπειρώτιδες, πολλὴν ὑπέμενον τὴν ἔνδειαν ἐκ τῆς πολιορκίας, οὐδὲν πλέον δυνάμενοι ἐπεισάγειν πλὴν τῶν ἐπὶ τοῦ χειμῶνος πρὶν βασιλέα ἀφικέσθαι παρεσκευασμένων, V. 249

autumno, cum exercitu eo proficiscendum non putavit: Ioannem autem Pincernam et Monomachum illuc cum copiis contendere iussit ibique hibernare, et simul urbibus adhuc fidem praestantibus opem ac praesidium: et iisdem, ne aliarum exemplo deficerent, timorem afferre: simul desertrices, si non omnino obsidere, at saltem populationibus exagitare, ut vere incipiente et imperatore eodem cum exercitu veniente, per hiemem prius aerumnis conflictatae multisque ab hostibus cumulatae miseriis, facilius subiugarentur. Pincerna mandata facessens, in Acarnania hiemat; parentes adhuc imperatori civitates custodit; rebelles affligit. Vere primo imperator ipse cum agmine infesto adest: et aliarum quidem urbium populos atque optimates pro fide et benevolentia in se multis donis cohonestat: exercitu autem trifariam diviso, urbes perfidas assiduissima obsidione urgere pertendit. Thomocastrum itaque, ubi Nicephorus dux agebat, obsidionem facile tolerabat, utpote a continente tantummodo Romanis oppugnantibus; nam qua mare, ad usum necessaria et importabantur et exportabantur omnia, quod imperator classem non haberet. Arta autem et Rhogus, quod in continente erant sitae, magnam ex obsidione penuriam sustinebant: cum prae-

A. C. 1339 καὶ φλαύρως εἶχον σίτου τε καὶ τῶν ἄλλων ἐπιτηδείων ἀπο-
ρίᾳ. καίπερ δὲ οὕτω πρὸς τὴν πολιορκίαν ἀνεπιτηδείως πα-
B ρεσκευασμένοι, οὐδὲν μᾶλλον ὑφεῖσαν τῆς πικρίας, οὐδὲ ἠνεί-
χοντο ἄχρι λόγων τὸ ὑπείκειν αὖθις βασιλεῖ· ἀλλὰ πάντα
μᾶλλον ᾤοντο ὑπομενετέον εἶναι καὶ τῶν πρὸς τροφὴν ἀ-
θεμίτων ἅπτεσθαι, ἢ παραδιδόναι βασιλεῖ τὰς πόλεις. βα-
σιλεὺς δὲ Ἄρταν ἐπολιόρκει αὐτὸς παρών· καὶ τειχομαχίας
τε ἐποιεῖτο καρτερὰς καὶ συνεχεῖς καὶ μηχανήματα πάντα,
ἐξ ὧν ᾤετο παραστήσεσθαι, προσῆγεν. Ἀρταῖοι δὲ πρωτο-
στράτορα μὲν τοῦ δεσμωτηρίου ἐκλαβόντες, ἐξέπεμψαν ὡς
βασιλέα, εἴτε μή τι νεωτερισθείη παρ' αὐτοῦ τινων δείσαν-
τες συστάντων πρὸς αὐτὸν, εἴτε τι διανοηθέντες ἕτερον· αὐ-
τοὶ δὲ ἀπὸ τῶν τειχῶν ἠμύνοντο καρτερῶς καὶ ἀπράκτους
ἀπεδείκνυον πάσας μηχανὰς καὶ τειχομαχίας. τριβομένου δὲ
C τοῦ χρόνου κατὰ τὴν πολιορκίαν, (ἀπὸ γὰρ ἦρος μάλιστα ἀρ-
χῆς ἄχρι ἐκβολῆς τοῦ θέρους ἐπολιορκοῦντο,) ἔγνω δεῖν ὁ
βασιλεὺς Καβασίλᾳ εἰς Ῥωγὼ ἀπελθὼν δι' ἑαυτοῦ διαλε-
χθῆναι, νομίζων πείσειν ὑπενδοῦναι τῆς φιλονεικίας καὶ τὴν
πόλιν παραδοῦναι ἀμαχεί. ὁ δὲ τοσοῦτον ἐδέησε τοῦ πείθε-
σθαι αὐτῷ ὥστε καὶ ἠπείλησεν, ὡς εἰ συμβαίη καθ' ἡντιναοῦν
αἰτίαν βασιλέα ἐγκρατῆ Ῥωγοῦς γενέσθαι, κατακρημνίσειν ἑαυ-
τὸν ἀπὸ τοῦ πύργου, ἵνα μὴ ζῶν ἁλοὺς, ἀναγκασθῇ δουλεύειν
D αὖθις βασιλεῖ. τοσοῦτον ἀπεχθείας αὐτῷ καὶ μήνιδος περιῆν.

10. ἐκβαλόντες legebatur.

ter ea quae sibi ante imperatoris adventum in hieme conquisissent, invehere nihil possent et cum a frumento, tum a reliquo victu essent perquam inopes. Quamquam vero ad obsidionem perpetiendam adeo non instructae essent, nihilo tamen magis acerbitatem minuebant: neque de cetero verbis tenus imperatori cedendum et obsequendum, sed omnia patiunda, et victu abominando utendum potius censebant, quam ut sese dederent. Imperator Artam praesens obsidebat, murosque valide continenterque oppugnans, machinas omnes expugnationi idoneas admovebat. Artaei protostratorem carcere eductum ad illum mittunt: sive timentes, ne quid inceptaret novi, quod quidam cum eo conspirassent: sive aliud quiddam cogitantes: ipsi e muris fortiter se tuentur omnesque machinas et impetus vanos irritosque demonstrant. Longo tempore in obsidione contrito (nam a principio maxime veris usque ad exitum aestatis duraverat) imperator Rhogum se conferre et cum Cabasila coram colloqui decrevit, persuasurum confisus, ut sensim emollitus, urbem citra pugnam ultro traderet. Qui usque adeo monitis non obtemperavit, ut minaretur etiam, si quavis tandem de causa imperatorem Rhogi compotem fieri contingeret, semet de turri praecipitaturum, ne captus iterum illi servire cogeretur. Tantum in eo odium et ira valebant.

λε. Ὁ μέγας δὲ δομέστικος μεμνημένος ὡς Καβασίλας A.C. 1339 οὑτοσὶ, ὅτε πρῶτον Ἀκαρνανίαν προσεποιήσατο αὐτῷ ὁ βασιλεὺς, πολλὰ αὐτοῦ πολλάκις ἐδεήθη τοῖς φίλοις συναριθμηθῆναι αὐτοῦ καὶ τοῖς οἰκείοις, καὶ πολλῆς ἀπέλαυσε προνοίας τῆς αὐτοῦ πεισθέντος πρὸς τὴν αἴτησιν, ἐλπίσας τέ τι ἐκ τῆς πρὸς αὐτὸν ἀνύσειν Καβασίλα φιλίας, τῶν οἰκείων ὀλίγους P. 312 παραλαβὼν, ἦλθεν εἰς Ῥωγώ. Καβασίλας δ' ἐπεὶ ἀπὸ τοῦ τείχους ἑώρα προσιόντα, πέμψας ἐδεῖτο, μὴ ἐγγὺς τειχῶν γενέσθαι. ἢ γὰρ ἀνάγκη συντυγχάνειν παρὰ γνώμην, (πεπεικέναι γὰρ ἑαυτὸν καθάπαξ ἀφίστασθαι Ῥωμαίων,) ἢ ἀπωθεῖσθαι· ὃ καὶ αὐτὸ παντὸς ἐπαχθέστερον κακοῦ, καὶ οὐχ ἥκιστα παντὸς ἀνιαρώτερον. ὁ μέγας δὲ δομέστικος οὐδὲν ἔφασκε τοὺς λόγους εἶναι πρὸς αὐτόν. αὐτὸς γὰρ ἐπαγγειλάμενος Καβασίλᾳ εἶναι φίλος, τὰ προσήκοντα φίλοις μὴ κατοκνεῖν ποιεῖν. ἂν δ' αὐτὸς διωθῆται προσιόντα, τῇ σφετέρᾳ δόξῃ λυμανεῖσθαι, ἀγνώμονα περὶ τοὺς φίλους καὶ τὴν B γνώμην εὐμετάβολον ἀποδεικνύντα ἑαυτὸν, καὶ ταῦτα πρότερον αὐτὸν δεηθέντα καὶ πείσαντα τοῖς φίλοις τοῖς ἐμοῖς καταγραφῆναι. Καβασίλας δὲ καὶ αὐτὸς διϊσχυρίζετο, μήτε βούλεσθαι, μήτε δύνασθαι τὴν πρὸς αὐτὸν φιλίαν ἀπειπεῖν, καὶ δεινὰ πάσχειν καὶ τῇ πρὸς αὐτὸν φιλίᾳ τυραννεῖσθαι, οὐ μετρίως ἀνιώμενον, ὅτι μὴ δι' ἑαυτοῦ αὐτὸς, ἀλλὰ δι' V. 250

2. ποιήσατο legebatur. 10. ἀποθανεῖσθαι coni. ED. P. idemque legit Intpr.: *nam induxisse in animum semel, cum Romanis nil habere negotii, aut emori.* Male.

35. Magnus autem domesticus, memor quomodo hic Cabasilas, cum primum Acarnaniam reciperet imperator, saepe multumque rogasset, uti eum amicis ac familiaribus suis allegeret, et quo pacto eius petitioni annuens, sua cura ac providentia singulari magnum homini fructum attulisset, conceptaque spe, propter eam amicitiam aliquid effecturum, paucis comitatus familiaribus Rhogum adit. Cabasilas accedentem de muro conspicatus, misit oratum, ne propius moenia veniret: nam aut contra animum sibi colloquendum esse, cum semel statuisset, cum Romanis nil habere negotii; aut eum depellere se oportere: quod omnium malorum odiosissimum esset atque tristissimum. Tum magnus domesticus, nihil ad se ista verba pertinere. Nam cum se Cabasilae amicum fore spopondisset, non pigrari officium amici praestare. Si ipse se convenientem repelleret, gloriam suam corrupturum, dum semet in amicos inconstantem atque improbum ostenderet: cum tamen petivisset prius et impetrasset, ut ab eo in amicorum numerum referretur. Cabasilas affirmare nec velle nec posse initam cum eo amicitiam retractare. Et ob eam excruciari et quasi tyrannidem quandam experiri contristarique non mediocriter, quod non ipse per se, sed per alios hoc tem-

A. C. 1339 ἑτέρων τὸν παρόντα χρόνον ὁμιλεῖ. δεδοικέναι δὲ μὴ οὐχ οἷός τε ᾖ κρατεῖν ἑαυτοῦ, συγγενόμενος ἐκείνῳ, ἀλλὰ ταὐτὸν τοῖς μαινομένοις πάθῃ, οἳ ἥδονται κατακόπτοντες ἑαυτοὺς, ἀγνοοῦντες ὅ,τι πάσχουσι διὰ τὴν νόσον. „τούτου μὲν οὖν ἕνεκα" ὁ μέγας δομέστικος εἶπεν „ἐπαινῶ, ὅτι φιλίας ἥττησαι C τοσοῦτον, ἧς ἥδεται ἡττώμενος πᾶς τις σωφρονῶν. εἰ δέ σοι φορτικὸν καὶ ἐπαχθὲς τὸ τελείως ἐμοὶ συνελθεῖν, ἀλλὰ τό γε δεύτερον, παρὰ τὴν γέφυραν ἐλθὲ τοῦ ποταμοῦ, ὡς ἂν ἐξ ἑκατέρου μέρους ὁμιλήσαντες ἀλλήλοις, ἐμοί τε τὸ σοὶ ὡμιληκέναι, καὶ σοὶ τὸ μὴ ἐγγὺς ἐμοῦ γενέσθαι, ὃ μάλιστα δέδοικας, περισώζοιτο." ἐπεὶ δὲ ἧκε παρὰ τὴν γέφυραν πεισθεὶς, ἄλλα τε διειλέχθησαν ὅσα τις ἂν εἴποι πρὸς ἄνδρα φίλον, καὶ περὶ τῆς ἀποστασίας τῶν πόλεων ὁ μέγας δομέστικος αὐτοῦ κατηγόρει ὡς αἰτιωτάτου μάλιστα γεγενημένου. ἐφ' οἷς ἀπελογεῖτο καὶ αὐτὸς ὡς λυσιτελοῦντα δράσειεν ἑαυτῷ τε καὶ τοῖς ἄλλοις Ἀκαρνᾶσι τῆς δουλείας αὐτοὺς D ἐλευθερῶν Ῥωμαίων, καὶ τὴν πάτριον αὐτοῖς τῶν Ἀγγέλων ἀρχὴν ἐπανασώζων. Τοιαῦτα καὶ ἕτερά τινα διαλεχθέντες, ὁ μὲν εἰς τὸ στρατόπεδον, ἐς τρίτην ἡμέραν αὖθις ἥξειν ἐπαγγειλάμενος, ὁ δ' εἰς τὴν πόλιν, τὴν δευτέραν συντυχίαν ἀπειπάμενος, διελύοντο. ἐς τρίτην δὲ ἡμέραν ὁ μέγας δομέστικος αὖθις ἦλθεν εἰς Ῥωγὼ ἐπὶ τῷ Καβασίλᾳ αὖθις συγγενέσθαι. ὁ δ' ἀναβαλλόμενος ἐπὶ μικρὸν, ἐπεὶ οὐκ ἀφιστάμενον ἑώρα, ἐξελθὼν καὶ αὖθις, τήν τε γέφυραν διαβὰς, εἰς ἓν αὐτῷ συν-

pore cum eo colloquatur. Timuisse vero, si cum illo sit, ne se continere nequeat, sed idem sibi quod furiosis usu veniat, qui corpora sua cum voluptate dilaniant, propter morbum quid faciant ignorantes. Ergo se illum laudare, inquit magnus domesticus, cum tantopere ab amicitia victus sit, qua se victum prudens quilibet laetatur. Quod si onerosum ac molestum sit proxime secum congredi, certe ad pontem fluminis accedat, ut ex intervallo se appellent et sibi detur cum eo collocutum esse, et illi, quod maxime timeat, non appropinquasse. Ubi morem gerens ad pontem accessit, cum alia, quae inter amicos solent, ultro citroque dicta sunt, tum magnus domesticus de urbium defectione questus est, cui rei ipse puppis et prora fuisset. Ille defendendi sui refert, se Acarnanibus e Romanorum servitute asserendis et patrio Angelorum principatu ipsis recuperando sibi aliisque commodare voluisse. His aliisque inter se dictis, domesticus ad exercitum, tertio die reversionem pollicitus, Cabasilas in oppidum, secunda congressione recusata, digressi sunt. Tertia luce magnus domesticus Rhogum, cum Cabasila acturus, redit. Qui paulum cunctatus, postquam vidit eum nolle discedere, rursum egressus, ponte transito, ad eum accessit, quem licet longa

ἦλθεν. ἐφ' ἱκανόν τε ὁ μέγας δομέστικος αὐτῷ διαλεχθεὶς, A.C. 1339 πεῖσαι μὲν οὐκ ἴσχυσε προσχωρῆσαι βασιλεῖ καὶ τὴν πόλιν παραδοῦναι· ὅμως δὲ διέσεισεν αὐτοῦ τοὺς λογισμοὺς τοῦ μὴ τῶν ἀπηγορευμένων παντάπασι τὸ ὑπὸ βασιλέα οἴεσθαι τελεῖν, μηδ' αἱρετώτερον ἡγεῖσθαι τῆς δουλείας τὸ ἀποθνή- P. 313 σκειν πολιορκουμένους. συνταξάμενος δὲ αὐτῷ καὶ αὖθις ἥξειν προειπὼν μετ' οὐ πολὺ, ὁ μὲν εἰς τὸ στρατόπεδον, ὁ δὲ εἰς τὴν πόλιν ἀνεχώρησαν. μεθ' ἡμέρας δέ τινας καὶ αὖθις προσελθὼν καὶ συνδιημερεύσας αὐτῷ ἔξω γενομένῳ τῶν τειχῶν, ἔπεισε προσχωρῆσαι βασιλεῖ καὶ τὴν πόλιν παραδοῦναι. ἐπεὶ δὲ εἶχε πεπεισμένον, αὐτὸν μὲν ἐν Ῥωγοῖ κατέλιπεν αὖθις· αὐτὸς δὲ πρὸς βασιλέα παρὰ τὴν Ἄρταν ἐστρατοπεδευμένῳ ὅτι παραδιδοίη Καβασίλας Ῥωγὼ ἀπαγγελῶν ἐχώρει. ὁδεύοντι δὲ αὐτῷ, ἐπεὶ ἐγένετο κατά τινα πηγὴν ψυχρὸν ἅμα ῥέουσαν καὶ διειδὲς καὶ ἥδιστον πιεῖν, ἐδόκει δεῖν τῶν ἵππων ἀποβάντας, ἄριστον ἑλέσθαι, καὶ ἀποβάντες κα- B τεκλίνοντο. μετὰ μικρὸν δὲ καὶ ὁ Καβασίλας σπουδῇ ὡρᾶτο προσελαύνων, καὶ ἐπειδὴ ἐγγὺς ἦν, πρίν τι φθέγξασθαι αὐτὸν „οἴομαι" ὁ μέγας δομέστικος εἶπε „σοὶ τῶν ἑταίρων μεμφομένων καὶ πολλὴν κατηγορούντων εὐκολίαν ὅτι πρὸς ἐμὲ πολέμιον δοκοῦντα εἶναι, μηδὲν ἔχων ἐνέχυρον ἀσφαλείας, ἀπερισκέπτως οὕτω τὸ δοκοῦν φοιτᾷς, βουληθεὶς ἔργοις ἀποδεῖξαι ὡς οὐκ ἀμαθῶς οὐδὲ θρασέως, ἀλλ' εὖ εἰδὼς ᾧτινι πιστεύεις σεαυτὸν, τὰ δέοντα ποιεῖς, ἐκείνους μὲν καταλιπεῖν

11. Ῥωγοῖ em. ED. P. pro Ῥωγῷ. 15. ἀμαρέουσαν legebatur.

oratione domesticus flectere non potuit, ut se urbemque imperatori dederet: tamen animum eius terruit, ne existimaret sub imperatore vivere plane desperatorum nec obsessum mori subiectione optabilius esse: dictaque salute, cum paulo post tertium se affuturum praedixisset, uterque quo ante se receperunt. Lapsis diebus aliquot, adest, et cum eo extra muros die consumpto, persuadet tandem, ut in fidem imperatoris, urbe tradita, veniat. Ita persuasum Rhogi relinquit: ipse ad imperatorem ad Artam castra habentem, Cabasilam Rhogum traditurum nuntiaturus, ire pergit. In itinere ubi ad fontem quemdam aqua frigida ac pellucida haustuque dulcissima manantem venit, placuit ab equis descendere et corpus cibo reficere. Descendunt ac recumbunt: nec mora longa et Cabasilam propere adequitantem conspicantur. Quo iam vicino, priusquam verbum ederet: Opinor, ait magnus domesticus, te, aliis quiritantibus ac nimiam facilitatem tuam accusantibus, quod ad me, qui hostis esse videor, nullo securitatis pignore tam inconsulto, ut apparet, adeas, volentem facto ipso docere, quod non imperite neque confidenter, sed probe sciens, cui te credideris et cui officium praestes, illos quidem cum stultis cogitationibus relin-

A. C. 1339 ἀνόητα ἐνθυμουμένους, παρ' ἡμᾶς δὲ ἥκειν, οὓς κέκρικας τῶν C ἄλλων μᾶλλον πιστοτέρους." ὁ δ', εἰ μὴ πρῶτος, ἔφασκεν, αὐτὸς ἀφῖκτο μετὰ τοὺς ἐκεῖ ῥηθέντας λόγους, οὐ πιστεῦσαι ἂν ῥαδίως μή τινα τῶν λόγων ἐκείνων ἄγγελον ἐλθεῖν. τούτων γὰρ αὐτῶν ἡμῖν πρὸς ἀλλήλους εἰρημένων, καταλιπὼν αὐτοὺς, ἥκω παρὰ σέ· αὐτὸς δ' ἂν εἰδείης ὅ,τι πράττειν βέλτιον ἐμὲ, καὶ ἢ πρὸς βασιλέα ἥκειν ἅμα σοὶ, ἢ ἐνταῦθα μένειν, ἄχρις ἂν αὐτὸς κελεύῃς. ἐγὼ γὰρ, εὖ ἴσθι, βασιλεῖ μὲν οὐκ ἄν ποτε προσεχώρησα, ἀλλ', ὅπερ ἔφην πρὸς ἐκεῖνον, μᾶλλον ἂν ἀποθανεῖν εἱλόμην, ἢ ἐκείνῳ ὑποχείριος γενέσθαι· τῆς σῆς δὲ φιλίας ἡττῆσθαι παρὰ πολὺ ὁμολογῶ, καὶ V. 251 τούτου γε ἕνεκα ἐμαυτόν τε καὶ πολίτας ἐγκεχειρικέναι τοὺς D ἐμοὺς, ὥσθ' ἅ σοι κατὰ γνώμην, ἐξεῖναι πράττειν περὶ ἡμᾶς". Ὁ μέγας δὲ δομέστικος πολλὴν αὐτῷ τῆς εἰς αὐτὸν εὐνοίας χάριν ὁμολογήσας, εἰς Ῥωγὼ ἐκέλευεν αὖθις ἐπιέναι, ὡς τὴν ὑστεραίαν αὐτοῦ μετὰ τῶν βασιλικῶν ἀφιξομένου δωρεῶν καὶ αὐτόν τε καὶ τοὺς ἄλλους παραληψομένου. ὁ δὲ πεισθεὶς αὖθις ἐπανῆλθεν εἰς Ῥωγώ. ἐκεῖθεν δὲ ὁ μέγας δομέστικος εἰς βασιλέα ἐλθὼν καὶ περὶ Καβασίλα καὶ Ῥωγοῦς ὡς προσεχώρησαν ἀπαγγείλας, ἐπιτραπείς τε παρ' ἐκείνου ὅσα ἂν ᾖ δίκαια καὶ συμφέροντα εὐποιΐας ἕνεκα πράσσειν πρὸς αὐτοὺς, εἰς τὴν ὑστεραίαν αὖθις εἰς Ῥωγὼ ἐλθὼν, εἰσεδέχθη τε παρὰ τῶν Ῥωγίων τὴν πόλιν παραδόντων, καὶ αὐτὸς ἑκάστῳ κατ' ἀξίαν τὰς βασιλέως παρέσχετο εὐεργεσίας·

quere et ad nos, quos aliis fideliores iudicasti, advenire. Respondit Cabasilas, nisi primus ipse post sermones Rhogi habitos advenisset, difficile crediturum fuisse, neminem eos ibidem dictorum nuntium accepisse. His enim ipsis inter nos prolatis, inquit, relictis illis, ad te advolo. Tu noveris quid me facere melius sit: tecumne ad imperatorem progrediar, an hic, quamdiu iusseris, subsistam? Ego enim, scias velim, nunquam imperatori me dedidissem: sed quemadmodum illi dixeram, mori quam ei subiici maluissem. In amore autem tui prorsus me expugnatum confiteor propterea que me ipsum cum civibus tradidisse, ut integrum tibi sit, de nobis statuere quod voles. Magnus domesticus, tam benevolae voluntati actis gratiis ingentibus, Rhogum Cabasilam remittit; se crastina luce cum donis regalibus venturum ipsumque et ceteros pro imperatore in potestatem accepturum. Inde ad imperatorem tendit, de Cabasila et Rhogo, quemadmodum se tradidissent, commemorat nactusque auctoritatem quaecumque iusta et commoda duceret in illos beneficentiae causa conferendi, die sequenti Rhogum init: quem Rhogii urbe tradita accipiunt: ipse dona imperatoris, ut quoque dignum erat, distribuit, assumtisque, quorum inter eos praecipua vigebat

συμπαραλαβὼν τε αὐτῶν τοὺς μάλιστα ἐν λόγῳ Καβασίλαν A.C. 1339 τε, σὺν αὐτοῖς βασιλέα ἧκε. προσκυνήσασί τε αὐτοῖς καὶ ὡ- P. 314 μολογηκόσι τὴν δουλείαν καὶ ὁ βασιλεὺς ἠμείβετο λόγοις ἠμέροις καὶ προσηνέσι καὶ τῆς πρὸς τὰ βελτίω μεταβολῆς ἐπῄνει καὶ πρὸς εὔνοιαν μάλιστα προσήγετο. Καβασίλας δὲ τοῖς μὲν ἄλλοις ἔφασκε προσήκειν τοὺς πρὸς βασιλέως εἰρημένους λόγους, αὐτῷ δὲ μή. εἰ γάρ τι καὶ εἴργασται τῶν κατὰ γνώμην βασιλεῖ, οὐκ ἐκείνῳ μᾶλλον ἢ μεγάλῳ δομεστίκῳ λογίζεσθαι τὴν χάριν. ἐκεῖνον μὲν γάρ, ὥσπερ ἔπεισέ τε ἐξ ἀρχῆς αὐτὸν καὶ πρὸς βασιλέα εἰς Ῥωγὼ ἐλθόντα εἶπεν, ὡς μᾶλλον ἂν ἕλοιτο ἀποθανεῖν ἢ ὑπὸ βασιλέα γενέσθαι αὖθις, B τὴν ἴσην καὶ ὁμοίαν γνώμην ἐσχηκέναι ἄχρι προτεραίας. ἀγνοεῖν δὲ ὅπως τοῖς μεγάλου δομεστίκου λόγοις κατάκρας ἡττηθεὶς, τἀναντία πρᾶξαι ὧν προείλετο· ἐκεῖνο δὲ εἰδέναι μόνον σαφῶς, ὡς δεσμώτης ἀχθείη τοῖς ἐκείνου λόγοις, γνώμην τε ἀντὶ τῆς προτέρας ἐσχηκέναι νῦν, ὡς οὐδ' ἂν εἴ τι καὶ γένοιτο, ἕως ἂν περιῇ, τῆς πρὸς αὐτόν τε βασιλέα καὶ τὸν μέγαν δομέστικον εὐνοίας ἀποσταίη. Τοιαῦτα Καβασίλα εἰπόντος, τοὺς λόγους ἐπαινέσας ὁ βασιλεὺς, λόγοις τε ἠμείβετο πολλοῖς τὴν πρᾳότητα ἐπιδεικνύμενος καὶ τὴν εὐμένειαν τὴν πρὸς αὐτὸν, καὶ τῷ μεγάλου κονοσταύλου ἀξιώματι ἐτίμα, καὶ τοὺς ἄλλους ἀναλόγως. οἱ πολιορκούμενοι δὲ κατὰ τὴν Ἄρταν C Καβασίλαν καὶ Ῥωγίους ὁρῶντες προσκεχωρηκότας βασιλεῖ, ὕβριζόν τε εἰς αὐτοὺς ὡς προδότας τῶν κοινῇ λυσιτελούντων

4. καὶ τοῖς πρὸς legebatur. 10. Ῥωγῶς ed. P., recte ed. V.

existimatio, simulque Cabasila imperatorem adit, quibus subiectionem profitentibus leni oratione respondit et ad se diligendum mirifice illexit. Cabasilas eius verba in alios, in se minime quadrare autumavit. Quamquam enim gratum aliquid ipsi fecerit, non sibi magis quam magno domestico ob id gratiam deberi. Se enim, quod ab initio statuisset et imperatori Rhogum venienti affirmasset, malle mori quam denuo illi subesse, id ipsum eodem plane modo usque ad diem hesternum in animo fixum habuisse. Nescire autem, quomodo sermone magni domestici omnino devictus, decretum suum fregerit. Illud solum pulcre scire, verbis magni domestici iniecta sibi vincula, quibus duceretur quo is vellet; et nunc priori contrariam induisse mentem, ut quicumque casus extiterit, quamdiu spiritus suppeditaverit, ab imperatoris et magni domestici amicitia nunquam desciscat. Haec locutum Cabasilam laudibus ornavit imperator et multis respondens humanitatem ac propensionem illi suam ostendit: ac ipsum quidem magni Contostauli honore, alios pro portione aliis ornamentis cohonestavit. Artaei obsessi Cabasilam et Rhogios ad imperatoris auctoritatem rediisse cognoscentes, maledictis eos, ut

A.C. 1339 καὶ ἰδίων ἕνεκα κερδῶν τὰ κοινῇ συμφέροντα προϊεμένους, καὶ
πολλὴν κατεγίνωσκον τὴν μοχθηρίαν καὶ τὴν φαυλότητα αὐτοῖς τῶν τρόπων. ἦσάν τε οὕτω παρεσκευασμένοι ὡς οὐκ ἐνδώσοντες πρὸς τὴν πολιορκίαν οὔτε φόβῳ τῶν ἐκ τοῦ πολέμου
D κακῶν οὔθ' ὑποσχέσεσι μυρίων ἀγαθῶν.

V. 252 λς'. Οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις μετὰ τὸ Ῥωγίους προσχωρῆσαι παρὰ τὰς πύλας Ἄρτας ὁ μέγας δομέστικος προσελθὼν, εἰς λόγους ἐλθεῖν ᾐτεῖτο Βασιλίτζῃ ἐπιτροπεύοντι αὐτῆς. ἐλθόντι δὲ καὶ αὐτῷ πρὸ τῶν πυλῶν, οὐ δέον ἔφασκεν αὐτοὺς νοῦν ἔχοντας καὶ λογισμοῖς χρωμένους, οὕτω
P. 315 φέρεσθαι ἀλόγως, ὥστε μήτε πρότερον βουλεύσασθαί τι τῶν δεόντων, καίτοι παραινοῦντος καὶ ἐμοῦ, μήθ' ὕστερον μεταβάλλεσθαι μετὰ τὴν πεῖραν τῶν δεινῶν. εἰ γὰρ, ὅτε πρῶτον πρὸς ὑμᾶς ἥκομεν, πρὶν ἄρξασθαι πολιορκίας, ἐμοὶ παραινοῦντι τὰ δέοντα ἐπείθεσθε, αὐτοί τε ἂν ἦτε τῶν ἐκ τῆς πολιορκίας κακῶν ἀπηλλαγμένοι, ἥ τε χώρα ἄτμητος ἔτι οὖσα διεσώζετο ἂν ὑμῖν, ἀφ' ἧς αὐτοί τε οἱ δυνατοὶ εἴχετε πολλὰς προσόδους καὶ ὁ δῆμος ἀφθόνων ἀπέλαυε τῶν ἐπιτηδείων. νυνὶ δὲ ὑμᾶς τε αἱ πρόσοδοι ἐκλελοίπασι, διεφθαρμένων
B τῶν κτημάτων, καὶ ὁ δῆμος ἐνδείᾳ κινδυνεύει ἀπολέσθαι. ταῖς γὰρ ἠπειρώτισι ταύταις πόλεσιν, ἂν τὴν χώραν ὑπὸ τοῦ πολέμου ἢ ἑτέρου ὁτουοῦν συμβαίη ἀπολέσθαι, ἑτέρωθέν ποθεν οὐ ῥᾴδιόν ἐστιν ἰάσασθαι τὴν ἔνδειαν. καίτοι εἴγε μάλιστα ἐνῆν τρόπῳ δή τινι ἀναστήσαντας ἡμᾶς ἐκ τῆς πολιορκίας

communis emolumenti proditores et qui propter compendia propria communes utilitates in postremis ducerent, incessabant ac pro nequissimis ignavissimisque mortalibus damnabant, erantque sic animati, ut quamvis obsiderentur nec tantillum tamen vel timore malorum bellicorum vel promissione millium bonorum vellent cedere.

36. Non diu post Rhogiorum deditionem magnus domesticus ad portas Artae gradum ferens, Basilitzis praefecti alloquendi copiam petit. Quo ante portam exeunte, domesticus ita coepit: Non oportebat vos intelligentia consilioque praeditos, usque eo caeco raptari impetu, ut neque antea, quamquam hortante me, quidquam ex usu deliberaveritis, neque postea, suadente malorum experientia, sententiam mutaveritis. Si enim, quando primo adventu nostro, priusquam obsideremini, mihi recta monenti paruissetis: et ipsi nullum ex obsidione detrimentum pertulissetis, et ager vester, ex quo et vos optimates largos reditus et plebs rerum victui opportunarum ubertatem percipiebat, integer vobis intactusque servaretur. Nunc et vos propter illatam possessionibus vestris calamitatem vectigalia defecerunt et plebs ob egestatem proxima est interitui. Nam urbium mediterranearum inopiae aliunde succurrere, si agrum bellum aut

διάγειν ἐν ἀδείᾳ, οὐδ' οὕτω λυσιτελούντως σφίσιν αὐτοῖς ἂν A. C. 1339 ἐδοκεῖτε βεβουλεῦσθαι παρὰ σωφρονοῦσι διὰ τὴν γεγενημένην βλάβην· νυνὶ δὲ συμβαίνει δεινότερα πείσεσθαι προσδοκᾷν ὑπαρξάντων. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν, εἰ μή τι παράλογον ἐξ οὐρανοῦ πρὸς σωτηρίαν ὑμῖν πραχθείη, ὃ τοῦ πολιορκεῖν ἡμᾶς πείσει ἀποσχέσθαι, ὥστε εἰκὸς πρὸς τῇ χώρᾳ καὶ τὴν πόλιν ὑμᾶς προσαπολεῖν. θαυμάζω δὲ ὑμῶν, εἰ C τοῖς αὐτοῖς ἢ καὶ μείζοσι κακοῖς ἐνεχόμενοι Ῥωγίοις καὶ μέλλοντες ὑπ' ἀνάγκης ὅσον οὐδέπω βασιλεῖ προσχωρεῖν αὐτοί, οὐ μόνον οὐκ ἐπαινεῖτε ὡς καλῶς καὶ συμφερόντως ἑαυτοῖς βεβουλευμένους, ὅτι πρὶν εἰς ἔσχατον κινδύνου ἥκειν σωτηρίαν καὶ ὠφέλειαν ἐπορίσαντο ἑαυτοῖς ἐκ τῆς μεταβολῆς, ἀλλὰ καὶ ὕβρεις καταχέετε αὐτῶν πολλὰς, ὅτι οὐ τῆς αὐτῆς ὑμῖν ἀβουλίας εἵλοντο εἶναι κοινωνοί. καίτοι σκέψασθε ὡς οὔτε δίκαια οὔτε συμφέροντα οὐθ' ἑαυτοῖς οὔτε τοῖς ἄλλοις Ἀκαρνάσιν αὐτοὶ ποιεῖτε τῆς αὐτῆς ἐχόμενοι ἐννοίας. αὐτοί τε γὰρ ἀπολώλατε διαφθαρέντες ὑπὸ τοῦ πολέμου, καὶ ταῖς ἄλλαις πόλεσι βλάβης οὐ μετρίας αἴτιοι κατέστητε, καίτοι γε ὑμῖν βασιλέως οὐ D συναποστάσαις. στρατιὰ γὰρ ἐπὶ ξένης διατρίβουσα καὶ μάλιστα τοσαύτη τὴν μὲν πολεμίαν κείρει ἀφειδῶς· ἐκ δὲ τῆς συμμαχίδος καὶ οἰκείας τρεφομένη, λιμὸν αὐτῇ αἰφνίδιον ἐ-

20. Pro ἐκ legebatur ἐν, quod corr. ed. V.

alia quaecumque clades afflixerit, non est facile. Quamquam si maxime liceret, nobis aliquo modo obsidione depulsis, secure vivere, ne ita quidem ob accepta damna videlicet vobis ipsis utiliter consuluisse, a sapientibus videremini. Atqui graviora prioribus in posterum exspectanda sunt. Non enim est, non est, inquam, nisi quid praeter opinionem de caelo ad salutem vestram expediendam impetretis, quod nos ab oppugnatione revocaverit: ut vos cum agro urbem quoque amissuros verisimile fiat. Miror autem, quod, cum iisdem vel gravioribus etiam malis quam Rhogii exerceamini et velitis nolitis propediem in imperatoris ius ac potestatem venturi sitis, non solum eos, (ut qui suis rationibus bene honesteque prospexerint, dum antequam in extremum delaberentur discrimen, salutem et commodum consilii mutatione sibi quaesierunt,) non commendetis, sed multas potius contumelias in ipsos effuderitis, quia temeritatis ac stultitiae vestrae socii esse noluerunt. At enim intuemini paulisper, quam iniqui, quam damnosi et vobismet ipsis et reliquis Acarnanibus sitis, dum in hac cogitatione persistitis. Ipsi quippe bello consumpti periistis, et aliis oppidis, tametsi defectionis vestrae haud participibus, nocumenta non vulgaria invexistis. Exercitus enim ac praesertim tantus, in extera regione haerens, hostium agros inclementer depopulatur. Sin autem e sociorum suaque provincia alimoniam capiat, repentinam illi famem inducit. Agitis porro ini-

A. C. 1339 πάγει. ἀδικεῖτε δὲ τὰ ἔσχατα, ἀντὶ τῆς Ῥωμαίων βασιλείας, ἣ σχεδὸν αὐτοῖς ἐκ τῶν Καίσαρος χρόνων πάτριός ἐστι, τὴν
V. 253 Ταραντίνων αὐτοῖς ἀνθρώπων βαρβάρων ἐπάγοντες ἀρχήν. Νικηφόρος γὰρ, ὑπὲρ οὗ μάλιστα αὐτοὶ οἴεσθε τὸν πόλεμον
P. 316 αἱρεῖσθαι, οὔθ' ὑμῖν οὔθ' ἑαυτῷ οἷός τέ ἐστιν ἐξαρκεῖν πρὸς τὴν ἐλευθερίαν· ἀλλὰ Ταραντίνοις προσφυγὼν, τῇ ἐκεῖθεν οἴεται δυνάμει Ἀκαρνανίας βασιλέα ἐξελάσειν. τοῦτο δὲ οὔτε δυνήσεσθαι οἴεσθαι αὐτὸν εἰκὸς, οὔτ' εἰ δυνήσεται, ἄνευ πόνων μεγάλων καὶ κινδύνων. τοὺς οὖν πόλεμον τοιοῦτον ὑπὲρ ὑμῶν πρὸς βασιλέα ἀναδεξαμένους, εἰ κρείττους δυνήσονται γενέσθαι, οὐκ οἴεσθε ὑμᾶς τῆς ἀρετῆς ἆθλον καὶ τῶν ἀγώνων σχήσειν τῶν πολλῶν; οὐκ ἄρα δόξετε ὀρθῶς φρονεῖν. ἐγὼ δὲ, εἰ καὶ καθ' ἑαυτοὺς ὑμεῖς Ἀκαρνανίας τὴν ἀρχὴν
B Νικηφόρῳ ἠδύνασθε περιποιεῖν, ἀδικοῦντας ἂν τὰ μέγιστα βασιλέα ἀπέφηνα ὑμᾶς. Ἀγγέλους γὰρ οὐκ ἀπὸ βαρβάρων Ἀκαρνανίαν ἐλευθερώσαντας κτήσασθαι συνέβη τὴν ἀρχὴν, ἀλλ' ὑποχειρίους ὄντας Ῥωμαίων βασιλεῦσι καὶ παρ' ἐκείνων ἐτήσιον ἀρχὴν τῆς χώρας ἐπιτετραμμένους, σφετερίσασθαι τὴν ἀρχὴν διὰ τὸν ἐπενεχθέντα τότε παρὰ Λατίνων Ῥωμαίοις πόλεμον· ὧν δὴ τοῦ κρείττονος συγχωρήσει Βυζαντίου κρατησάντων καὶ Θρᾴκης ἁπάσης καὶ τῶν κατὰ Μακεδονίαν πόλεων πολλῶν, βασιλεία μὲν ἡ Ῥωμαίων

22. *βασιλέα* legebatur.

quissime, qui pro Romanorum imperio, quod a Iulii Caesaris ferme temporibus ipsis patrium est, Tarentinorum, hominum barbarorum, dominationem introducitis. Nicephorus enim, cuius potissimum causa hoc bellum vos militare profitemini, ad libertatem neque vobis neque sibimet pariundam satis habet virium: verum ad Tarentinos cum perfugerit, inde adiutus ex Acarnania imperatorem se expulsurum opinatur. Hoc autem se posse, nec illos fas est opinari: nec si poterunt, sine magnis laboribus periculisque poterunt. Qui igitur tale bellum pro vobis adversus imperatorem gerendum suscipient, si superiores evadere quiverint, nonne provinciam vestram tamquam virtutis certaminumque multorum praemium habituros arbitramini? Non recte sapitis, si hoc non creditis. Ego vero, etiamsi per vos Nicephoro Acarnaniae principatum acquirere possetis, in imperatorem iniuriosissimos esse pronuntiarem. Angeli enim, non a barbaris Acarnania asserta, principatum consecuti sunt: sed iam tum subiectam Romanorum imperatoribus, cum ab eis annuam eius procurationem haberent, propter bellum, quod Latini Romanis intulerunt, eam sibi ut propriam vendicarunt. Quibus, Latinis inquam, concessu numinis Byzantio, universa Thracia multisque urbibus Macedoniae potitis, Romanorum quidem imperium in orientem sese contraxit. Acarnaniam autem Angeli aliique alias

ὑπεχώρησε πρὸς ἕω· Ἀκαρνανίας δὲ τὴν ἀρχὴν Ἄγγελοι προσ- A.C. 1339
εποιήσαντο ἑαυτοῖς καὶ ἄλλοι ἄλλας τῶν ἑσπερίων ἐπαρχιῶν,
ὧν ἕκαστοι ἔτυχον ἐπιτροπεύοντες, διὰ τὸ βασιλεῦσι Ῥωμαί-
ων δίοδον οὐκ εἶναι πρὸς αὐτοὺς διὰ Θρᾴκης καὶ Μακεδο- C
νίας οὐσῶν ὑπὸ Λατίνοις. ὕστερον δὲ ἔτεσι πολλοῖς ὑπὸ τῶν
Παλαιολόγων ἰθυνομένης τῆς Ῥωμαίων βασιλείας, Λατίνους
μὲν αὖθις, τοῦ θεοῦ συναιρομένου, τῆς Ῥωμαίων ἐξήλασαν
ἡγεμονίας καὶ Ἀσίαν καὶ Εὐρώπην, ὅσης ἦρχον, εἰς ἓν συν-
ῆψαν· Ἀκαρνανίαν δὲ Ἀγγέλους ἀπαιτοῦντες, οὐκ ἠδύ-
ναντο ἀπολαβεῖν, ἀλλ' ἄδικα καὶ βίαια ποιοῦντες, ἀπεστέρουν
καὶ στρατιὰν πολλάκις ἐπ' ἐκείνους πέμψασιν ὅπλα ἀντῄροντο
καὶ τοὺς περιοίκους συμμάχους ἐπήγοντο βαρβάρους. τὸν βα-
σιλεύοντα δὲ νυνὶ ἐπιστρατεύοντα ὑμῖν καὶ τῇ ἄνωθεν ἐπι- D
κουρίᾳ δουλωσάμενον οὐκ ἀδικεῖν ἄν τις φαίη τὴν ἑτέρων
παραιρούμενον ἀρχὴν, ἀλλὰ μάλιστα τὰ δίκαια ποιεῖν ἀπο-
λαμβάνοντα τὴν πατρῴαν. εἰ γὰρ Νικηφόρῳ δίκαιον τὸ ἐκ
προγόνων οὐ πολλῶν ὄντων τὴν ἀρχὴν κατάγεσθαι, πολλῷ
μᾶλλον βασιλεῖ τῶν ἐξ ἀρχῆς βασιλευσάντων Ῥωμαίων ὄντι
ἀπογόνῳ κατὰ τὸν λόγον τῆς διαδοχῆς. εἰ δὲ τὸ τοῦ χρόνου
μῆκος ἀξιόχρεων δοκεῖ πρὸς δικαίωσιν ὑμῖν, ἴστε τἀναντία
λογιζόμενοι τῶν ὄντων· μᾶλλον γὰρ διὰ τοῦτο δίκης ἄξιοι,
ὅτι τοσοῦτον χρόνον ἠδικεῖτε. εἰ οὖν μηχανῇ τε οὐδεμιᾷ τὸ
ἁλῶναι οὐ δύνασθε διαφυγεῖν, εἴ τε καὶ δύναμις ὑμῖν παρῆν P. 317

1. ὑπεχώρησε πρὸς ἕω. Theodoro Lascari imperatore designato, circa Nicaeam Bithyniae. *ED. P.*

occidentales provincias, quarum praetores erant, sibi] subdiderunt: propterea quod Romanis imperatoribus, Thraciam et Macedoniam Latinis tenentibus, ad illas transitus non patebat. Tandem post annos plurimos, cum imperium Romanorum a Palaeologis regeretur, Latinos, Deo opitulante, principatu depulerunt et Asiam atque Europam, quousque imperabant, iterum coniunxerunt: Acarnaniam ab Angelis frustra repetiverunt, qui per vim et scelus eam retinentes, saepius contra se missis exercitibus, cum vicinis barbaris ad auxilium invocatis restiterunt. Imperatorem autem hunc, qui nunc vos caelesti fultus ope armis subegit, nemo iniustum esse dixerit, dum alios imperare non patitur, sed iustissimum, qui paternam hereditatem reposcat. Si enim aequum est, Nicephorum a maioribus haud ita multis principatum deducere, quanto aequius imperatorem, imperatorum, qui ab initio Acarnaniam tenuerunt, nepotem successoremque legitimum? Quod si longinquitatem temporis causae vestrae satis patrocinari censetis, scitote vos falsum ratiocinari: nam ob id magis supplicio digni estis, qui tamdiu in facienda iniuria perseveraveritis. Ergo si nulla fraude evadere potestis, quin convincamini,

A.C. 1339 Ἀκαρνανίας βασιλέα ἐξελαύνειν, τὸ ἀδικεῖν οὐκ ἂν ἦν διαφυγεῖν, τί δεῖ ἀνήνυτα πονοῦντας τὴν κακοπραγίαν ἐπιτείνειν ἑαυτοῖς, καὶ μὴ πειθομένους ἐμοὶ τὰ βελτίω συμβουλεύοντι, σφίσι μὲν αὐτοῖς αἰτίους γενέσθαι μεγάλων ἀγαθῶν, ἡμᾶς δὲ ὀλίγου πόνου ἀπαλλάξαι, ὃν ὑπομενοῦμεν ὑμᾶς καταστρεφόμενοι. ὅτι δὲ ἡ ἐμὴ παραίνεσις συμφέρουσα ὑμῖν, ἔξεστι χρήσασθαι συμβούλοις τοῖς συγγενέσι καὶ ἑταίροις ὑμῶν Ῥωγίοις, οἳ ἐμοὶ πάντα ἀναθέμενοι τὰ κατ' αὐτοὺς, ὅσης ἀπή-
B λαυσαν εὐνοίας καὶ προνοίας τῆς πρὸς βασιλέως, μαρτυρήσουσιν αὐτοί. εἰ οὖν καὶ ὑμεῖς τὰ ὑμέτερα ἀνάθησθε ἐμοὶ,
V. 254 εἴσεσθε καλῶς ὡς ἀληθεῖ καὶ δικαίῳ καὶ δυναμένῳ εὖ ποιεῖν ἐπιστεύσατε ἀνδρί. ἀπολογίαν μὲν οὖν ἐπὶ τοῖς εἰρημένοις ἀπαιτεῖν οὐ δίκαιον νυνὶ, τῶν πλειόνων τε ἀπόντων καὶ ὑμῶν ἀμελετήτων πρὸς τοὺς λόγους ὄντων· ἐκκλησίαν δὲ ἀθροίσαντες καὶ βουλευσάμενοι περὶ τῶν δεόντων, ἐς τὴν ὑστεραίαν, εἰ δοκεῖ, ἀπόδοτε τὸν λόγον." Ὁ μὲν οὖν εἰπὼν τοιαῦτα πρὸς Ἀρταίους, ἀνεχώρησεν εἰς τὸ στρατόπεδον, Καβασίλαν καὶ τοὺς ἄλλους Ῥωγίους διαλέγεσθαι αὐτοῖς καταλιπὼν, ὡς ἂν ὑπ' ἐκείνων μάλιστα ἐνάγοιντο προσχωρεῖν τῷ βασιλεῖ. Ἀρ-
C ταῖοι δὲ ἐκ τῶν πυλῶν ἀναχωρήσαντες, ἐκκλησίαν ἐποιοῦντο· καὶ ἐπεὶ ἐφαίνετο αὐτοῖς τὰ πράγματα εἰς τέλος ἥξοντα οὐκ ἀγαθὸν, ἐδέδοκτο διὰ μεγάλου δομεστίκου προσχωρεῖν τῷ βασιλεῖ. καὶ ἐς τὴν ὑστεραίαν πρὸς τῆς πόλεως γενόμενοι τὰς πύλας, ἐπεὶ καὶ ὁ μέγας δομέστικος παρῆν τὸν λόγον ἀπαι-

et si viribus ad imperatorem Acarnania eiiciendum valeretis, non possetis tamen iniuriae opinionem effugere, quid, quaeso, inaniter laborantes, miseriam vobis producitis? Quin mihi salutaria monenti obsequentes, et vobis uberrimum fructum adipiscimini et nos a tantillo labore, quem vobis edomandis sustinebimus, liberos esse sinitis? Ceterum cohortationem meam ut non inutilem rebus vestris, Rhogii cognati ac socii vestri testabuntur, si eos adhibere consiliarios volueritis: qui cum in arbitrio meo sua posuissent, quanta cura benevolentiaque ab imperatore dignati sint, ipsi loquentur. Si item vos vestra mihi permiseritis, efficiam ut ea homini veraci et iusto et qui benefacere possit, permisisse praeclare intelligatis. Responsionem in praesens non postulo, quando maior pars abest et vos ad respondendum non estis meditati. Ubi acto conventu de summa rerum deliberaveritis, crastino die, si libebit, respondete. His Artaeos allocutus, in castra rediit, Cabasila et Rhogiis quibusdam relictis, quorum imprimis sermonibus ad imperatoris obedientiam reducerentur. Artaei a porta digressi, concilium convocant, in quo, ut res ad finem non bonum spectare visa est, placuit sequestre magno domestico ad imperatorem transire. Itaque die altero pro porta urbis stantes, do-

τῶν, „ἡμεῖς" ἔφασαν „οὐ μεγάλα τινὰ ᾠόμεθα βασιλεῖ προσ- A. C. 1339
κεκρουκέναι, οὐδ' οἷα αὐτὸν πρὸς ὀργὴν ἐκκαλέσασθαι τοσαύ-
την, ὥστε καταψηφίσασθαι ἡμῶν πανωλεθρίαν. Ἀκαρνανίαν
γὰρ εἰδότες πολὺν ἤδη χρόνον ὑπὸ τοῖς Ἀγγέλοις ἀγομένην
καὶ τῆς Ῥωμαίων παντάπασιν ἡγεμονίας ἀποτετμημένην, νυ-
νὶ δὲ ὁρῶντες βασιλέα καταδουλωσάμενον αὐτήν, Νικηφόρον D
τε τὸν παῖδα παντάπασι τὴν ἀρχὴν ἀποστερήσαντα πατρόθεν
προσήκουσαν αὐτῷ, ἐκεῖνόν τε ἀδικεῖν οἰόμενοι καὶ αὐτοὺς
ἀγνωμοσύνην ὀφλεῖν τὴν ἐσχάτην, εἰ μὴ πάσῃ δυνάμει συνα-
ιροίμεθα Νικηφόρῳ πρὸς τὴν κληρονομίαν τοῦ πατρῴου κλή-
ρου, τὸ ἔργον ὑπέστημεν τουτὶ καὶ τὰς πόλεις βασιλέως ἀπε-
στήσαμεν, οὐδὲ αὐτὸν οἰόμενοι ποιήσεσθαι τοσοῦτον ἐν δεινῷ,
εἰ τὴν ἐκ πολλῶν ἤδη βασιλέων μὴ προσοῦσαν τῇ Ῥωμαίων
ἡγεμονίᾳ γῆν, καὶ ὑπ' αὐτοῦ ὑφ' ἑτέρου ἄγοιτο, ᾧ μάλιστα
προσήκει κατὰ τὴν διαδοχήν. νυνὶ δὲ αὐτὸν ὁρῶντες σφόδρα
καθ' ἡμῶν ἐξωργισμένον καὶ πολιορκοῦντα χρόνον ἤδη συ-
χνὸν, ἄλλως τε καὶ τῇ προτεραίᾳ παρὰ σοῦ καί τινων ἑτέρων
τῶν φιλίως πρὸς ἡμᾶς διακειμένων δεδιδαγμένοι, ὡς ἐν δεινῷ P. 318
βασιλεὺς τὴν ἀποστασίαν ἡμῶν ποιεῖται καὶ οὐ παύσεται πο-
λιορκῶν, εἰ μὴ προσχωρήσαιμεν ἑκόντες, ἄχρις ἂν ἢ λιμῷ ἢ
ὅπλοις παραστησάμενος ἐκπορθήσῃ, οὐκέτι μένειν ἔγνωμεν
ἐπὶ τῶν προτέρων λογισμῶν, οὐδὲ βασιλεῖ καὶ πᾶσιν ὑμῖν οὖσι
τηλικούτοις ὅπλα διηνεκῶς ἀνταίρειν, δείσαντες μὴ καὶ ἀνά-

23. Pro δείσαντες legebatur δεήσαντες.

mestico praesente et responsum poscente, Nos, inquiunt, ut putamus, non ita magnis in rebus imperatorem offendimus, nec quae illum in nos tantum efferare debeant, ut extremam nobis perniciem intentet. Nam cum sciremus Acarnaniam a Romano imperio penitus abiunctam, plurimis annis in Angelorum potestate fuisse, et videremus modo imperatorem eam sibi subiecisse Nicephorumque puerum paterno principatu exuisse, statueremus autem nos illi facere iniuriam et nefandi sceleris reos fore, nisi eidem in patrimonio suo tuendo totis viribus daremus operam, hoc facinus suscepimus et urbes ab imperatore alienavimus, ne ipsum quidem adeo indignaturum rati, si provincia, quae a multis iam imperatoribus sub ditione Romanorum non fuisset, etiam sub ipso ab alio regeretur, cui successionis nomine imprimis deberetur. At nunc animadvertentes eum nobis summopere iratum, tamdiu obsidionem continuare, adhaec heri abs te et aliis quibusdam amicis nostris edocti, illum defectionem nostram pro re iniuriosa habere haberique velle: nec obsidione destiturum, donec aut fame aut vi subactos expugnaverit; nobis stat sententia mutare factum, nec imperatori et vobis adeo multis continenter armis resistere, timentibus, ne vastationem pro libertate in

A.C. 1339 στατον ἀντὶ ἐλευθέρας θήσομεν τὴν πατρίδα καὶ ἡμᾶς αὐτοὺς
διαφθεροῦμεν σὺν αὐτῇ. διὸ καὶ τοῦ πρὸς βασιλέα ἤδη ἀπο-
στάντες πολεμεῖν, σφᾶς αὐτούς τε καὶ τὴν πόλιν παραδιδοῦ-
B μεν διὰ σοῦ· αὐτὸς δ' ἂν εἰδείης ὅτῳ τρόπῳ διοικησάμενος
τὰ καθ' ἡμᾶς ἡμῖν τε καὶ πατρίδι τῆς ἐλευθερίας ἡδίω τὴν
πρὸς βασιλέα δουλείαν ἀποδείξεις." ἐπαινέσας δὲ αὐτοὺς ὁ
μέγας δομέστικος ἐπὶ τοῖς εἰρημένοις, „εἰ μὲν μὴ πρὸς τέλος"
ἔφη „συνετὸν ἡ ἀπολογία κατέληγεν ὑμῖν, εἶχον ἂν αὐτός,
ὥσπερ καὶ τῇ προτεραίᾳ, διὰ πολλῶν οὐκ ἀδικοῦντα ἀποφαί-
νειν βασιλέα, ἀλλὰ πρότερόν τε ὑπὸ τῶν Ἀγγέλων ἀδικού-
μενον πολὺν ἤδη χρόνον Ἀκαρνανίας ἀπεστερηκότων, καὶ νῦν
ὑφ' ὑμῶν ἀφισταμένων οὐ δικαίως, ἀλλὰ πᾶν ὁτιοῦν ὑφί-
στασθαι δικαίων ὄντων, ὅτι τοσούτων ἀναλωμάτων καὶ πό-
νων αἴτιοι κατέστητε αὐτῷ. ἐπεὶ δὲ εὖ ποιοῦντες τῆς ἀκαί-
C ρου φιλονεικίας καὶ τῆς οὐδένα νοῦν ἐχούσης ἐνστάσεως ἀπέ-
στητε καὶ προσκεχωρήκατε βασιλεῖ ἑκόντες ὄντες, χάριτας ὑμῖν
ἐγὼ καὶ ὑπὲρ ὑμῶν αὐτῶν ὁμολογῶ πολλάς· ἑνὸς μέν, ὅτι βασι-
λεῖ προσεχωρήσατε καὶ οὐ τῇ ἀρχαίᾳ ἐνεμείνατε ἐνστάσει,
V.255 ὑφ' ἧς ἴσως κἂν ἀπώλεσθε· δευτέρου δέ, ὅτι δι' ἐμοῦ, ὡς
ἂν ἔχω καθαρὰν τὴν ἡδονὴν καὶ σώσας αὐτὸς καὶ βασιλεῖ
προσαγαγών· τρίτου δέ, ὅτι τὰ δέοντα καὶ σφίσιν αὐτοῖς καὶ
πατρίδι βουλευσάμενοι λυσιτελοῦντα, καὶ ἑαυτοὺς σεσώκατε

12. ὑμῶν, quod Intpr. quoque legit, dedi pro ἡμῶν. 17. Pro ὅτι legebatur ἔτι.

patriam inferamus et cum ipsa simul dispereamus. Ideo bello cum imperatore iam supersedentes, nos ipsos urbemque per te dedimus. Tu quo pacto res nostras administres nobisque et patriae subiectionem istam ipsa libertate iucundiorem reddas, haud nescies. Probata responsione, magnus domesticus, Si, inquit, dicta vestra prudenti clausula terminata non fuissent, poteram, ut etiam hesterno die, copiose docere, imperatorem nihil contra aequitatem committere, sed et prius sub Angelis, longo iam tempore Acarnaniam per nefas possidentibus, iniuriam pertulisse et nunc a vobis, qui improbe defecistis, cum quidvis pati potius merito debuissetis, tantarumque illi impensarum ac molestiarum causa fuistis. Quia vero, ut decuit, ab importuna contentione et insipienti pertinacia discessistis, voluntariaque deditione imperatori vos obtulistis, gratias ego vobis et vestra causa ingentes ago. Primum, quod ad imperatorem vos adiunxistis nec in pristina obstinatione perdurastis, quae pestem forsitan vobis peperisset. Deinde, quod id per me fieri cupistis, ut liquida voluptate perfundar, quoniam et vos servaverim et ad imperatoris auctoritatem fidemque revocarim. Postremo, quia honesta et patriae frugifera constituentes, et vos et patriam conservatum

καὶ πατρίδα· ὧν τὰ σῶστρα ὑμῖν ὀφείλειν αὐτὸς ὁμολογῶ, A.C. 1339 διὰ τὴν εὐμένειαν τὴν πρὸς ὑμᾶς πάνθ᾽ ὅσα πρὸς ὑμᾶς ἥκει ἀγαθὰ λογιζόμενος διαφέρειν ἐμαυτῷ." Τοιαῦτα καὶ ἕτερ᾽ ἄττα πολλῆς γέμοντα πρᾳότητος καὶ χάριτος πρὸς αὐτοὺς δια- D λεχθεὶς, ἅμα Βασιλίτζῃ τῷ τῆς πόλεως ἄρχοντι καὶ τοὺς ἄλλους ὅσοι ἦσαν ἐν λόγῳ παραλαβὼν, ἤγαγεν ὡς βασιλέα· συγγνώμης τε ἐφ᾽ οἷς ἀπέστησαν τυχόντες καὶ πολλῶν ἑτέρων εὐεργεσιῶν, ἐπανελθόντες καὶ ἀναπετάσαντες τὰς πύλας, εἰσεδέξαντο βασιλέα καὶ τὴν ἄλλην στρατιὰν, τὴν πόλιν παραδιδόντες. βασιλεὺς δὲ καὶ πρότερον μὲν ἐκεκάκωτο τὰ σπλάγχνα καὶ διέκειτο πονήρως ὑπ᾽ αὐτῶν, τότε δὲ ἐκ τῆς κακοπαθείας τῆς κατὰ τὴν στρατείαν, μάλιστα δὲ καὶ διὰ τῶν ἀέρων τὴν ἀήθειαν, παρὰ πάντα τὸν τῆς πολιορκίας χρόνον ἐνόσει· καὶ ἡ ἄλλη δὲ πᾶσα στρατιὰ διαῤῥοίαις κατεχόμενοι καὶ πυρετοῖς καὶ κεφαλῶν ἀλγήμασιν ἔπασχον κακῶς καὶ ὀλίγοι ἦσαν οἱ διαφυγόντες τὸ κακόν· ἐτεθνήκει δὲ οὐδεὶς ὑπὸ νόσου, εἰ P. 319 μὴ Σφραντζῆς ὁ μέγας στρατοπεδάρχης. ἐπὶ χρόνον δὲ συχνὸν παλαίοντες τῇ νόσῳ, ἀπηλλάττοντο. ἵπποι δὲ καὶ ἡμίονοι, καὶ εἴ τι τῶν ἀλόγων ἕτερον ἦν, χαλεπῶς διέφευγε τὸ ἀποθνήσκειν· διὸ καὶ ἐκ πολλῶν ὀλίγοι ἵππους ἔχοντες ἀνέζευξαν. τότε δὲ ἐπεὶ ἡ Ἄρτα προσεχώρησε, βασιλεὺς μὲν διὰ τὴν νόσον καταλέλειπτο ἐκεῖ. B

λζ. Ὁ μέγας δὲ δομέστικος στρατιὰν ἀναλαβὼν ἦλθεν εἰς Θωμόκαστρον καὶ πρότερον πολιορκούμενον, ἔνθα καὶ Νι-

17. Σφραντζῆς em. ED. P. pro Σφροντζῆς.

ivistis: quorum vobis pretia deberi confiteor, qui amore quodam vestri omnia ad vos bona confluentia mea bona iudico. Talia et plura suavitatis gratiarumque plena cum disseruisset, Basilitzem praefectum et alios civitatis principes ad imperatorem adducit, qui venia ac donis insuper affecti redeuntes, portis reclusis, cum exercitu eum intromiserunt urbemque dediderunt. Imperator cum antea quoque intestinorum dolore torqueretur et ex eis vehementer laboraret, tunc ex incommodis expeditionis et praesertim ex caeli insolentia toto obsidionis tempore aegrotabat. Exercitum praeterea totum alvus citata exercebat febresque et dolor capitis divexabant: ac pauci huius mali expertes manebant. Nemo tamen praeter Sphranzem magnum stratopedarcham interiit; sed diutius cum morbo colluctati, convalescebant. Equi, muli et si quid aliud animalium erat, difficulter vitam retinebant. Quare de multis haud multi cum equis redierunt. Arta recepta, imperator ibidem ob afflictam valetudinem mansit.

37. Magnus domesticus exercitum Thomocastro ante iam obsesso admovet, ubi puer Nicephorus, despotae filius, Tarento cum aliis

A.C. 1339 κηφόρος ὁ δεσπότου παῖς ἐκ Τάραντος ἐλθὼν μετὰ τῶν ἄλλων τῶν φυγάδων ἔτι νήπιος ὢν ἐπολιορκεῖτο. οὗτοι δὲ ἅτε καὶ ἐν ἀφθόνοις ὄντες διὰ τὸ θαλασσοκρατεῖν, τριήρεων οὐ παρουσῶν βασιλικῶν, καὶ δυσπειθέστεροι τῶν ἄλλων μᾶλλον C ἦσαν καὶ οὐδὲ λόγου γοῦν ψιλοῦ ἠξίουν τοὺς πολιορκοῦντας. καὶ γὰρ καὶ τοῦ μεγάλου δομεστίκου ἐν δύο καὶ εἴκοσιν ἡμέραις, αἳ μετὰ τὴν ἄφιξιν αὐτοῦ παρῆλθον, προσπέμποντος ἀεί τινας αὐτοῖς καὶ τὴν αἰτίαν ἐρομένου, δι' ἣν οὕτως ἀσυμβάτως ἔχουσι πρὸς βασιλέα καὶ πάντα μᾶλλον αἳ ὑπομένειν ἢ ὑπ' αὐτὸν τελεῖν, οὐδεμίαν παρέσχον ἀπολογίαν· ἅμα μὲν καὶ διὰ τὸ μὴ ἑκατέρωθεν γῆς πολιορκεῖσθαι καὶ θαλάσσης· ἅμα δὲ καὶ συμμαχίαν ἐκδεχόμενοι ἐκ Ταραντίνων ἥξειν, ἣν ᾤοντο αὐτοῖς λύσειν τὴν πολιορκίαν τοὺς Ῥωμαίους ἐκφοβήσαντας. μετὰ δὲ τὴν δευτέραν καὶ εἰκοστὴν ἡμέραν ἧκον ἐκ τοῦ Τάραντος αἱ προσδοκώμεναι δέκα τριήρεις καὶ πεντηκόντοροι D τρεῖς· ἃς ἰδόντες οἱ πολιορκούμενοι ἐν Θωμοκάστρῳ, ἡδονῆς τε ἦσαν ἔμπλεῳ καὶ σωτήρια ἑώρταζον καὶ ἐπαιάνιζον ἀπὸ τοῦ τείχους, ὡς ἤδη τῶν κακῶν ἀπηλλαγμένοι. οἱ δὲ ἦσαν V. 256 οὐδὲν μᾶλλον ἐν ἐλάττοσι κακοῖς. ὁ μέγας μὲν γὰρ δομέστικος καίτοι ἐγγὺς ἐστρατοπεδευμένος τῆς θαλάσσης, οὐδὲν μᾶλλον ἐκινήθη, ἀλλ' ἀτρέμας τῆς πολιορκίας εἴχετο. Ταραντῖνοι δὲ ἐπ' ἀγκυρῶν ἐφώρμουν, τῆς τε γῆς ἀπεχόμενοι ὡς πολεμίας καὶ πρὸς τῇ πόλει οὐδεμίαν ποιούμενοι ἀπόβασιν.

9. Pro αἳ, quod nihili est, ED. P. coni. αἱροῦνται. 12. *Τραντίνων* legebatur; ED. P. coni. *Τάραντος*.

fugitivis reversus, obsidebatur. Thomocastrii velut copiis omnibus circumfluentes, quod mare obtinerent, ubi imperatoriae triremes nullae erant, multo plus ceteris calcitrabant nec verbis saltem nudis obsessores dignabantur. Etenim cum magnus domesticus per dies duos et vicenos ab adventu suo ad eos quotidie mitteret et causam exquireret, cur adeo nullam cum imperatore compositionem paterentur et quidvis quam ei parere mallent, nihil responsi dabant: simul quia non utrimque, terra marique, oppugnabantur: simul quia Tarento auxilium expectabant, quod, Romanis perterritis, obsidione eos liberaret. Post secundum autem et vicesimum diem Tarento venerunt exspectatae triremes decem et tres aliae, quarum singulae quinquaginta remis agebantur. Earum conspectu obsessi plurimum exhilarati, diem festum agebant ac de muro divinas laudes, ut iam malis defuncti, concinebant: qui tamen nihilo magis minoribus erant in malis. Magnus siquidem domesticus, etsi propter mare castra posuisset, nec tantillum se commovit obsidionemque perpetuavit. Tarentini stantes in ancoris, ad terram ut hostilem naves appellere ac prope urbem descendere non audebant. Tertio post die suspica-

εἰς τρίτην δὲ ἡμέραν ὕστερον ὁ μέγας δομέστικος ὑποπτεύ- A. C. 1339 σας τοῖς ἐν Θωμοκάστρῳ τὸ φρόνημα ὑπενδοῦναι, ἐπεὶ οὐδὲν ἀπώναντο τῆς βοηθείας Ταραντίνων, προσῆγεν αὐτοῖς τοὺς λόγους προσπέμπων τοὺς διαλεξομένους. ἔφασκέ τε θαυμάζειν P. 320 μάλιστα αὐτῶν, ὅτι συνετοί τε ὄντες καὶ πράγμασιν εἰδότες χρῆσθαι, ὡς περὶ αὐτῶν ἀκούειν ἔξεστιν, (ὀλίγους γὰρ αὐτῶν ἑωρακέναι κατὰ τὴν πρώην τὴν ἔφοδον,) νῦν οὐ προσήκοντα ποιοῦσιν ἑαυτοῖς, οὐδ' ἐξ ὧν μάλιστα ἂν ἀπολύοιντο αἰτίας. αὐτοῦ γὰρ δὴ ἐπὶ πέντε καὶ εἴκοσιν ἡμέραις περικαθημένου καὶ τὴν αἰτίαν ἐθέλοντος μαθεῖν, ἧς ἕνεκα αὐτοῖς τὸ ὑπὸ βασιλεῖ τετάχθαι νομίζεται τῶν πάνυ ἀδυνάτων, μήτε παρέχεσθαι ἀπολογίαν μηδεμίαν, μήτε ἐξ ὧν πράττουσιν ὑποψίαν ἐνδιδόναι, ὡς σωφρόνων ἀνθρώπων χρῶνται λογισμοῖς, ὑφ' ὧν ἢ ἡμᾶς κακώσουσι τοὺς πολεμίους ἢ σφίσι αὐτοῖς πορίσονταί τινα ἀπαλλαγὴν τῶν ἀλγεινῶν. ἀλλὰ ταὐ- B τὸν πάσχειν οἷον τοὺς πολύποδάς φασιν, οἳ ἐπειδὰν ἐξέλκωνται τῆς θαλάμης, ἂν συμβαίη τινὸς ἐπιλαβέσθαι, οὐ ῥᾳδίως μεθιᾶσιν, ἄχρις ἂν ἢ ἐπιλείψωσί τι ἑαυτῶν, ἢ παρασπάσωνται τῶν ἡμμένων. τοιοῦτον δή τι συμβαίνειν καὶ περὶ αὐτούς. ἅπαξ γὰρ ὡς οὐ βασιλεῖ προσθήσονται εἰπόντες, τοῖς αὐτοῖς λόγοις χρῶνται διηνεκῶς καὶ οὐδεμίαν ἐπιδέχονται μεταβολήν. καίτοι εἰ μὲν περὶ ἀκινήτων πραγμάτων ἦσαν τοὺς λόγους ἐσκεμμένοι, εἶχεν ἂν τινα λόγον ἐμμένειν τοῖς βεβουλευ-

17. θαλάσσης ed. V. vitiose. Respicit Hom. Od. V, 432. 18. παρασπάσων legebatur, unde ED. P. coni. παρασπάσωσι.

tus magnus domesticus, Thomocastriis spiritus paulatim comprimi, quandoquidem Tarentino subsidio non fruerentur, per internuntium eos in hanc sententiam verbis est aggressus. Se illos non posse satis admirari, quod cum viri prudentes ac rerum usu triti sint, ut quidem fama praedicentur, (nam adhuc recenti adventu suo paucos eorum vidisse,) nunc existimationi suae minime servire ac neutiquam ea facere, unde se omni crimine prorsus liberent. Ipso enim circiter quinque et viginti dies ad muros sedente et avente causam noscere, ob quam subesse imperatori prorsus intolerabile videatur, eos nihil plane respondere: neque ex his, quae faciant, suspicionem afferre, quasi aut hostibus incommodum aut sibimet ipsis molestiarum vacuitatem prudenter meditentur: sed idem illis, quod polypis accidere, qui egressi e latibulo, si quid apprehenderint, non facile dimittunt, donec aut per se aut vi abstracti, quod constrinxerant, dimiserint. Sic ipsos, cum semel imperatorem se nolle principem agnoscere testati sint, idem semper et praefracte testari. Quamquam si de rebus immutabilibus ita meditato loquerentur, haberent rationem aliquam, cur in iis perseverarent, quae a principio sta-

A.C. 1339 μένοις ἐξ ἀρχῆς· νῦν δ' ἔξεστι συνορᾶν, ὡς οὐδ' ἐπὶ μιᾷ ἡμέρᾳ τῶν αὐτῶν μενόντων, ἀλλὰ ποικίλας δεχομένων τὰς C μεταβολὰς, ποιοῦνται. ὥστε ἐχρῆν αὐτοῖς καὶ τοὺς περὶ ἐκείνων λόγους ὁμοίως τοῖς πράγμασι μεθαρμόζεσθαι πρὸς τὸ λυσιτελοῦν. παρῄνει τε αὐτοῖς τῶν συνετωτέρων παρ' αὐτοῖς τινα πέμψαι πρὸς αὐτὸν, ὥστε ἃ αὐτοῖς οἴεται λυσιτελοῦντα ὑποθέσθαι. κἂν μὲν καὶ αὐτῷ συμφέροντα δοκῇ· εἰ δὲ μὴ, ἀλλ' αὐτοῖς γε ἐξεῖναι πάλιν ἃ ὀνήσειν οἴεται ἑλέσθαι. Τοιούτους μὲν ὥσπερ δι' ἀκροβολισμῶν πρὸς ἐκείνους ἐποιήσατο τοὺς λόγους· ἐκεῖνοι δὲ ἀποκρινάμενοι ὡς εἰ δοκεῖ αὐτοῖς συμβουλευσαμένοις, πέμψουσί τινα εἰς τὴν ὑστεραίαν, πέμπουσι Ῥιτζάρδον τὸν Νικηφόρου παιδαγωγὸν ἐπιφανέστε- D ρόν τε καὶ συνετώτερον τῶν ἄλλων ὄντα. καταστάντων δὲ εἰς λόγους, τοιαῦτα πρὸς αὐτὸν ὁ μέγας δομέστικος διειλέχθη· „οὐδένα οἴομαι τῶν πάντων, εἰ μὴ παντάπασι ἀπεστέρηται φρενῶν, μὴ πρός τι τέλος ἀποβλέποντα ὁτῳδήποτε ἐπιχειρεῖν. διὸ τήν τε ἀποστασίαν πρῶτον καὶ τὴν ἐπὶ τῇ πολιορκίᾳ νῦν δοκοῦσαν μεγαλοψυχίαν οὐκ ἄλλου του ἕνεκα ἑλέσθαι ὑμᾶς νομίζω ἢ ὥστε Νικηφόρῳ τῷ τοῦ δεσπότου παιδὶ εἰς τὴν ἀρχὴν καὶ ὑμῖν αὐτοῖς εἰς εὐπραγίαν ὠφέλειάν τινα ἐργάσασθαι. σκεψώμεθα δὴ ἐπ' ἀμφοτέρων· κἂν μέν τινα ἐκ τῶν εἰργασμένων ἢ ἐξ ὧν αὐτοὶ ἐλπίζετε δυνώμεθα εὑρεῖν, ταῦτα πράττειν ἐξ ὧν ἂν εἰς πέρας ἔλθοι τὰ βεβουλευμένα· ἂν δ' P. 321 ἐναντίως ἔχοντα ἢ αὐτοὶ ὑπονοῆτε, μὴ μόνον μὴ ἀφίστασθαι

tuissent. Nunc palam esse, eos de iis loqui, quae nec unum diem sunt eadem, sed varie commutantur. Quare et verba cum rebus ad eorum utilitatem oportuisse congruere: admonebatque, ut e prudentioribus aliquem mitterent, quem, quid ipsis expediret, docere posset. Et si quidem is sibi assentiretur, bene: sin autem, rursum eis integrum fore, ea persequi, quae profectura ducerent. Sic ille verbis quodammodo cum ipsis velitabatur. Qui cum respondissent, missuros aliquem, si concilio placuisset, postridie Richardum, Nicephori paedagogum, ceteris nobiliorem ac prudentiorem mittunt. Congressus cum eo magnus domesticus, sic ait: Neminem ego mortalium, nisi a mente desertissimum, non ad finem aliquem in quibuscumque actionibus suis respicere iudico. Quod igitur primum fidem prodidistis et nunc in obsidione istam animi, quae videtur, altitudinem adhibetis, non alia de causa id facere vos autumo, quam ut Nicephoro despotae filio ad principatum et vobis ipsis aliquid ad felicitatem adiumenti afferatis. Ergo age, utrumque consideremus: ita, ut siquidem ex iis quae facta sunt, aut ex iis quae speratis, invenerimus quippiam, quo consulta vestra finem suum sortiantur, id ne omittatis: sin contra invenerimus, quam vos suspicamini, ut

τῶν μὴ ὀρθῶς ἐχόντων, ἀλλὰ καὶ ἐμοὶ πείθεσθαι παραινοῦντι A.C. 1339 τὰ συνοίσοντα. ὑμεῖς τοίνυν βασιλέως ἀποστάντες οὐδὲν εἰς ὑμᾶς ἀγνωμονήσαντος, προσεχωρήσατε τοῖς Ταραντίνοις οὐχ ἁπλῶς οὐδὲ ἀλόγως, ἀλλ' οἰόμενοι τῇ ἐκείνων συμμαχίᾳ Ἀκαρνανίαν δυνήσεσθαι ὑπάγειν ἑαυτοῖς. τοῦτο δὲ οὐδὲ ὀλίγου δεῖ τοῦ εἶναι δυνατόν. αὐτοὶ γὰρ ἀφ' ἑαυτῶν ἰδίᾳ κινούμενοι V. 257 πλεονεξίᾳ πολλάκις Ἀκαρνᾶσι στρατῷ μεγάλῳ ἐπεστράτευσαν καὶ τὴν χώραν ἐκάκωσαν ὅσα μάλιστα ἐξῆν· πόλεως δὲ οὐδεμιᾶς ἠδυνήθησαν κύριοι γενέσθαι, οὔτε ὅπλοις βιασάμενοι οὔτε πολιορκίᾳ ἀναγκάσαντες ὁμολογίᾳ παραδοῦναι, ἀλλ' ἀνε- B χώρησαν ὧν ἦγον ἀποβαλόντες οὐκ ὀλίγους, πλὴν εἰ μὴ ὧν αὐτοῖς ἑκόντες οἱ Ἀκαρνανίας ἄρχοντες παρεχώρησαν, Βοντίτζης καὶ Ναυπάκτου καὶ Βοθρεντοῦ, ὥστε ἔχειν αὐτοὺς συμμάχους πρὸς τὸν πρὸς βασιλέα Ῥωμαίων πόλεμον. οἳ οὖν Ἀκαρνᾶσι μόνοις πολεμοῦντες οὐδὲν ἠδυνήθησαν ἀνύσαι πλέον, τίς ἐλπὶς περιγενέσθαι νῦν καὶ βασιλέως παρόντος ἅμα στρατιᾷ, ὃς πρότερόν τε καὶ νῦν ῥᾷον ἐξαρκεῖ Ἀκαρνᾶσιν ὁμοῦ καὶ Ταραντίνοις πολεμεῖν; οὐ μὴν ἀλλ' οὐδὲ ὑμῖν ἐλπὶς Ἀκαρνάνων τινὰς συναποστῆναι· καὶ οἱ γὰρ πρότερον Ῥώγιοι καὶ Ἀρταῖοι συναπέστησαν, καλῶς περὶ σφῶν αὐτῶν C βουλευσάμενοι τὰ δέοντα, βασιλεῖ τὰς πόλεις παραδόντες προσεχώρησαν καὶ σφίσι τε αὐτοῖς αἴτιοι ἐγένοντο εὐπραγίας. πολλῶν γὰρ ἐπέτυχον τῶν βασιλέως εὐεργεσιῶν καὶ τοῖς πολίταις τοῖς αὐτῶν. ὡς μὲν οὖν εἰ καὶ ἥξουσι Ταραντῖνοι,

non solum, quod verum et rectum non est deseratis, sed et mihi bene consulenti obtemperandum existimetis. Vos itaque nullo imperatoris peccato offensi, ad Tarentinos transfugistis: nec id simpliciter et inconsulto, sed rati illorum opibus Acarnania potituros. Hoc autem quantum ab effectu abest? Ipsi enim sua privatim cupiditate et avaritia impulsi, saepius in Acarnanas cum magno profecti exercitu, regionem quidem populationibus et maleficiis infestam habuerunt, urbem tamen nullam nec armis expugnando ceperunt, nec obsidendo ad deditionem coegerunt, sed copiis non parum imminutis, remearunt: paucas nempe Bontitzen, Naupactum et Bothrentum excipio, quibus Acarnaniae principes, ut eos belli contra imperatorem socios haberent, cesserunt. Qui igitur cum Acarnanibus solis bello contendentes, nihil egerunt, quae spes superaturos nunc praesentem imperatorem cum exercitu, qui et alias potuit et nunc facilius potest cum Acarnanibus et Tarentinis simul bellum gerere? At neque vobis sperare licet, Acarnanum aliquos vestro exemplo defecturos. Nam qui prius vobiscum defecerant Rhogii et Artaei, rebus suis probe consulentes, imperatori se addixerunt multaque sibi ac civibus suis ab eo dona consecuti, felicem statum invene-

A.C. 1339 ὀλίγα ἢ οὐδὲν λυσιτελήσουσιν ὑμῖν, δέδεικται ἡμῖν· ὅτι δὲ οὐδὲ ἥξουσι τὴν ἀρχὴν, αὐτόθεν ἤδη πειράσομαι κατάδηλον ποιεῖν. πᾶς γὰρ ὁστισοῦν ἰδίων ἕνεκα ἐγκλημάτων ἢ ἑτέροις συμμαχῶν ἁπτόμενος πολέμου, ἐν ἀρχαῖς μὲν μάλιστα καὶ χρήμασι καὶ ὅπλοις ἐῤῥωμένος ἔχεται προθύμως· ἐὰν δὲ ἅπαξ καὶ δὶς ἐπιχειρήσας σφαλῇ, ἀμβλύνεται. πριγκίπισσα D τοιγαροῦν, ὡς αὐτοί τε οἴεσθε καὶ ἡμεῖς οὐκ ἂν ἔξαρνοι γενοίμεθα, προθύμως τοῦ ὑπὲρ ὑμῶν πολέμου ἁπτομένη ἐν ἐνιαυτῷ μάλιστα, ᾧ πολεμεῖσθε ὑφ' ἡμῶν, παρασκευαζομένη, νῦν τὰς δέκα ταύτας πέπομφε τριήρεις, οἳ οὐχ ὅτιγε ὑμῖν, ἀλλ' οὐδὲ ἑαυτοῖς ἀμύνειν οἷοί τέ εἰσιν. ἐμοῦ γὰρ παρὰ θάλασσαν ἐστρατοπεδευμένου, οὔτε ἀπέβησαν οὔτε ἀποβῆναι οἷοί τέ εἰσιν, ἀλλ' ὀλίγου ἀπεοίκασιν ἀψύχων. λείπεται δὴ οὖν κεναῖς χερσὶ πρὸς τὴν πέμψασαν ἐπανελθεῖν. ἐκείνη δὲ ὁρῶσα ὡς οὐκ ὀλίγων τινῶν ἀναλωμάτων οὐδὲ φαύλης πραγματείας ὁ πρὸς βασιλέα δεῖται πόλεμος, ἀποσχήσεται ἐπιχειροῦσα ἀδυνάτοις· ὑμῖν δὲ ἐρήμοις τῆς ἐκεῖθεν βοηθείας λειπομένοις P. 322 οὐδὲν ἄλλο λείπεται ἢ σφᾶς αὐτοὺς ἐν ἀνδραπόδων μοίρᾳ παραδοῦναι ἐνδείᾳ πιεσθέντας καὶ δούλους καὶ ἀναστάτους γενέσθαι, ἢ πολιορκουμένους ἐνταῦθα ἀπολέσθαι πανδημεὶ ἐν φρουρίῳ πνιγηρῷ καὶ πλήρει δυσωδίας κατακεκλεισμένους. ἔξεστιν οὖν συνορᾷν τὴν ὠφέλειαν, ἧς αὐτοί τε καὶ Νικηφό-

8. ὑμῶν ED. P. pro ἡμῶν.

runt. Tarentinos itaque, etiamsi venerint, parum aut nihil vobis operae navaturos demonstratum est: prorsus autem non venturos, inde conabor ostendere. Quicumque aut propter privatas offensiones aut ut socius bellum capessit, principio quidem, dum ab armis et pecunia est instructissimus, impigre opus invadit: si semel iterumque id frustra fecerit, languescit impetus. Princeps igitur Tarentina vestra opinione et vero etiam nostra, prompte pro vobis bellum capessens, uno hoc anno, quo a nobis oppugnamini, comparatas triremes hasce misit: quae tantum abest, ut vos defendant, ut nec se ipsas queant defendere. Me enim iuxta mare castrametante, nec descenderunt classiarii, nec quasi essent mortui descendere potuerunt. Reliquum est, ut vacuis manibus ad eam redeant, a qua missi sunt. Quae cum intelliget, bellum adversus imperatorem nec modicis sumptibus et magnis egere laboribus, de cetero quae effici non possunt, non tentabit. Vobis vero illo frustratis auxilio, aliud nihil restabit, quam ut vexati et rerum egestate oppressi, pro mancipiis vos tradatis, ac sedibus vestris profugi servitutem serviatis, aut hic in oppidulo aestuoso ac foetoris pleno obsessi et conclusi, cum populo universo intereatis. Quamobrem hinc utilitatem, quam vobiscum despota vester ex hac defectione capturus sit, perspicere licet. Quod

ρος ὁ ὑμῶν δεσπότης ἀπολαύσεται ἐκ τῆς ἀποστασίας. εἰ δ' A.C. 1339
ἄρα καὶ συγχωρήσαιμεν παρασκευῇ μεγάλῃ Ταραντίνους ἐκ τῆς οἰκείας ὁρμηθέντας ἐνθάδε ἥκειν, ἄδηλον μὲν εἰ καὶ οὕτω δυνήσονται ἡμᾶς Ἀκαρνανίας ἐξελάσαι, οἳ οὐδὲ πρὸς μόνους Ἀκαρνᾶνας, καίτοι γε πολλάκις ἐπιχειρήσαντες, ἴσχυσαν χωρὶς ζημίας ἀπαλλάξαι πολεμοῦντες. εἰ δ' ἄρα καὶ B
τοῦτο δοίημεν, τὸ ἡμῶν αὐτοὺς ὀφθέντας κρείττους παραστήσασθαι τὰς πόλεις, τότε γε ὑμῖν τὰ πράγματα οὐδεμιᾶς βέλτιον ἕξει δυσπραγίας. ἀνάγκη γὰρ ὑμᾶς αὐτοῖς δουλεύειν. οὐ γὰρ δήπου γε ἀνοηταίνουσι τοσοῦτον, ὥστε οὗ πολλάκις ἐπεθύμησαν, μετὰ τοὺς μεγάλους πόνους καὶ κινδύνους εἰ παρέσται, ἀνάγκης οὐδεμιᾶς παρούσης ὑμῖν προέσθαι. ὁποία δὲ ἡ Ταραντίνων καὶ τῶν ἄλλων Λατίνων δουλεία, αὐτοὶ ἴστε πείρᾳ βέλτιον ἡμῶν. ὥστε εἴτε συμμαχήσουσιν ὑμῖν οἱ V. 258
Ταραντῖνοι, εἴτε μὴ, εἴτε νικήσουσιν ἡμᾶς, εἴτε ἡττηθήσονται αὐτοὶ, οὐδὲν ὑμῖν ἐλλείπει τοῦ μὴ εἰς ἔσχατον κινδύνου ἀφικέσθαι. οὐ μὴν ἀλλ' οὐδὲ ἡμᾶς ὀλιγωρήσαντας διὰ τὸν C
χρόνον ἀποστήσεσθαι τῆς πολιορκίας οἴεσθαι, νοῦν ἐχόντων ἐστὶν ἀνθρώπων. οὐ γὰρ δὴ αὐτοὶ καθεδούμεθα μέχρι παντὸς ὑμᾶς πολιορκοῦντες. νῦν μὲν γὰρ βασιλεὺς οἰόμενος ἐξ αὐτῶν διδαχθέντας τῶν πραγμάτων, ὡς οὐ λυσιτελοῦντα ἐβουλεύσασθε ὑμῖν αὐτοῖς, μεταγνόντες προσχωρήσετε αὐτῷ, αὐτός τε ἔτι περιμένει καὶ οὐδὲ τὰς κτήσεις ὑμῶν τὰς ἐν ταῖς ἄλλαις πόλεσι παρέσχετο ἑτέροις· ἂν δὲ ἀπογνῷ τὴν με-

si etiam concederemus, cum ingenti apparatu concitatos huc venire Tarentinos, incertum est, num et sic nos Acarnania queant depellere: qui nec a solis Acarnanibus, quamvis eos saepe aggressi, sine detrimento potuerunt discedere. Quod si et hoc daremus, illos nobis potentiores existimatos, urbes subacturos: nihilo minus tum quoque misera erit vestra et infelix conditio. Necessario enim illis servietis. Non enim profecto adeo insipientes sunt, ut quod saepenumero cupierunt, si id post magnos labores et pericula assequantur, citra ullam necessitatem vobis condonent. Quale autem et quam durum Tarentinorum aliorumque Latinorum imperium sit, vos experientia ipsa melius quam nos cognovistis. Quocirca sive adiuvabimini a Tarentinis, sive non: sive nos vicerint, sive a nobis vincentur, nihil aberit, quominus in extremis malis versemini. Sed neque nos diuturnitate remissiores factos obsidionem soluturos arbitrari prudentis est hominis. Nos ipsi quidem non semper vobis assidebimus. Nunc enim imperator, arbitrans ipso eventu doctos, quam de vobismet male merueritis, mutata voluntate ad se accessuros, et ipse adhuc exspectat, et quas in aliis urbibus habetis facultates, nondum in alios dispertit. Si vos calculum reducturos de-

A.C. 1339 ταμέλειαν ὑμῶν, οὐ μόνον τὰ ὑμέτερα κτήματα, ἀλλὰ καὶ τῶν ἄλλων συγγενῶν ὑμῶν τοῖς δυνατωτάτοις Ἀκαρνάνων παραδώ- D σει· οἳ κέρδους ἕνεκα ἰδίου καὶ ὑπὲρ δύναμιν πολεμήσουσιν ὑμῖν ὡς πολεμιωτάτοις καὶ ὀλίγην ἔχοντες ἐκ βασιλέως στρατιάν, καὶ οὐκ ἀνήσουσι πολιορκοῦντες ἄχρις οὗ παραστησάμενοι αὐτούς τε καὶ γυναῖκας καὶ τέκνα, θήσουσιν ὑπερορίους. βασιλεὺς δὲ καὶ ἡμεῖς οἴκαδε ἀναχωρήσομεν. σκέψασθε οὖν οἷ κακῶν ὁ πρὸς βασιλέα πόλεμος ὑμῖν χωρήσει· ἐὰν δ' ἐμοὶ τὰ βελτίω παραινοῦντι πείθησθε καὶ ἑαυτοὺς βασιλεῖ καὶ τὴν πόλιν παραδῶτε, πρῶτον μέν, ὅπερ αὐτοὶ διὰ σπουδῆς ποιεῖσθε, τὸ Νικηφόρῳ τῷ ὑμῶν δεσπότῃ ὠφέλειάν τινα ἐξευρεῖν, ἐξέσται. ἐγὼ γὰρ αὐτῷ τὴν ἐμὴν κατεγγυήσω θυγατέρα· ὅπερ ὅτι γε οὐδενὸς δεύτερον εἰς εὐτυχίας λόγον οὐδ' αὐτοὶ ἀγνοεῖτε P. 323 δήπου. ἐγώ τε γὰρ ὡς υἱὸν ἐκθρέψω, καὶ βασιλεὺς τῆς εἰς ἐμὲ εὐνοίας ἕνεκα τιμαῖς τε καὶ πολλαῖς εὐεργεσίαις περιφανῆ παρὰ Ῥωμαίοις θήσει. ἔπειτα καὶ ἑαυτοῖς οὐκ ὀλίγων τινῶν ἀγαθῶν αἴτιοι γενήσεσθε. ἐνταῦθά τε γὰρ ὑμᾶς εὖ ποιήσει βασιλεύς, οἷς εἴχετε πρότερον καὶ ἕτερα προσθείς· καὶ τῶν Νικηφόρῳ τῷ ὑμῶν δεσπότῃ ἀπονεμηθησομένων ἀπολαύσετε τὸ μέρος. πλείω μὲν οὖν οὐκέτι δεῖν οἴομαι συνείρειν· ἱκανὰ γὰρ παρ' εὖ φρονοῦσι καὶ τὰ εἰρημένα, ὅσων τε κακῶν ὑμῖν ὁ πόλεμος αἴτιος ἔσται καταμαθεῖν καὶ ὅσων ἀγαθῶν τὸ προσχωρῆσαι βασιλεῖ· ὑμῖν δὲ ἐξέσται διασκεψαμένοις, τῶν εἰ-

16. *ὀλίγον* legebatur.

speraverit, non vestras dumtaxat, sed et cognatorum vestrorum fortunas Acarnanum potentissimis gratis dabit. Qui sui quaestus cupidine commoti, vel ultra vires animosi et parvo ab imperatore accepto praesidio, ut perniciosissimos hostes vos oppugnabunt, nec obsidere cessabunt, quoad subactos cum coniugibus et liberis patria extorres reddiderint. Nos cum imperatore domum revertèmur. Videte igitur, quibus casibus hoc bellum vos obiectabit. Si me meliora suadentem audieritis, vosque et urbem imperatori dedideritis, primum quidem, quod studetis, Nicephoro despotae vestro commodare licebit: ego enim filiam meam ei uxorem coniungam, quod in summa felicitate ponendum, nec vos nescitis. Praeterea, ut filium meum educabo: et imperator, qui mihi bene vult, mea causa honoribus ac beneficiis apud Romanos amplitudinem eius illustrabit. Adde quod et vobis non pauca hinc emolumenta parabitis. Nam et hic opes vestras cumulabit imperator, et quae Nicephoro despotae vestro assignabuntur, ex iis fructum aliquem capietis. Plura acervanda dictis non censeo, cum ex his qui sapiunt possint intelligere, quantam vim malorum bellum, quantam vicissim bonorum copiam deditio allatura sit. Vos considerate et utrumvis eligitote. Ut absolvit

ρημένων προσθέσθαι ὁποτέροις." Τοιαῦτα διειλεγμένου τοῦ A.C. 1339 μεγάλου δομεστίκου, ὁ Ῥιτζάρδος τῶν μὲν Νικηφόρῳ συμ- B παρόντων ἄλλων ὡμολόγει καὶ αὐτὸς προέχειν· δεῖν δὲ ἔφασκε καὶ ἐκείνους περὶ τῶν εἰρημένων πυθομένους, κοινῇ τῶν πρακτέων τὴν ψῆφον ἐξαγαγεῖν. ἐπαινοῦντος δὲ καὶ τοῦ μεγάλου δομεστίκου, ἀνεχώρησεν εἰς τὴν πόλιν, ἐπαγγειλάμενος εἰς τὴν ὑστεραίαν ἥξειν ὡς λόγον ἀποδώσων. ἐκκλησίαν δὲ συναθροίσας ἐκ τῶν συνόντων, ἐβουλεύετο ἅμα αὐτοῖς εἰ δέοι βασιλεῖ σφᾶς αὐτοὺς καὶ τὴν πόλιν ἐγχειρίζειν. καὶ ἐδόκει αἱρετέα εἶναι ἃ αὐτοῖς ὁ μέγας δομέστικος παρῄνει. ἐπεὶ δὲ ἐδέδοκτο, εἰς τὴν ἐπιοῦσαν ὁ Ῥιτζάρδος αὖθις τῷ μεγάλῳ C δομεστίκῳ προσελθὼν, ἐμαρτύρετο θεὸν, ὡς οὔτ' ἀπεχθῶς διακείμενοι πρὸς βασιλέα, οὔθ' ἑαυτοῖς τινα οἰόμενοι ὠφέλειαν ἐκ τῆς ἀποστασίας προξενήσειν, εἱλόμεθα ἀποστῆναι βασιλέως· οἰόμενοι δὲ, ἂν αὐτοὶ πρῶτοι ἀποστῶμεν, καὶ τοὺς ἄλλους Ἀκαρνᾶνας συνέψεσθαι ἡμῖν καὶ τὴν πατρῴαν ἀρχὴν Νικηφόρῳ ἀποδώσειν, ἑκόντες ὄντες εἰσήχθημεν εἰς τοὺς κινδύνους, εὔκλειάν τε ἑαυτοῖς καὶ ὠφέλειαν τῷ ἡμετέρῳ δεσπότῃ οἰόμενοι προξενήσειν. τῶν πραγμάτων δὲ ἀντεστραμμένων, ἀπέβη τἀναντία ἢ αὐτοὶ προσεδοκῶμεν. νῦν οὖν καὶ ἡμῖν πολλὰ περὶ τῶν παρόντων διασκεψαμένοις λυσιτελέστερον οὐδὲν ἐν τῷ παρόντι οὔθ' ἡμῖν οὔτε Νικηφόρῳ ἢ ὧν D συνεβούλευσας αὐτὸς, εὑρέθη. οὗ δὴ ἕνεκα σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν διὰ σοῦ παραδιδοῦμεν βασιλεῖ· αὐτὸς δ' ἂν εἰδείης ὅτῳ τρόπῳ βέλτιστα ἡμῖν τὰ πράγματα παρασκευά-

11. Pro αὖθις legebatur αὐτοῖς.

domesticus, Richardus inter familiares Nicephori primas tenere se, ipse quoque non negabat: tamen ad illos quoque referendum et communiter, quid agi conveniret, decernendum. Approbante magno domestico, die sequenti rediturum responsumque relaturum pollicitus, in urbem se recepit. Coacto e praesentibus conventu, quaerunt, ecquid se et oppidum tradant: magnique domestici monitis obsequelam faciendam consensu firmant. Postridie rediens Richardus Deum testatur, ipsos neque odio imperatoris, neque sui quaestus causa eius fraenos excussisse: sed opinantes, si primi deficerent, reliquos Acarnanas secuturos et hoc modo paternum regnum Nicephoro restitutum iri, ultro se periculo involvisse, ut Nicephoro auxilio essent et sibi decus compararent. Rebus autem retro sublapsis, contra exspectationem evenisse. Nunc ipsis quoque diligenter statum suum contemplatis, nihil in praesens vel sibi vel Nicephoro repertum utilius, quam quod ipse suasisset. Quapropter et se et urbem eos per manus eius imperatori tradere: nosse ipsum, quid

A.C. 1339 σεις ἔχειν. Ὁ μὲν οὖν τοιαῦτα εἶπεν· ὁ μέγας δὲ δομέστι-
V. 259 κος ἐπαινέσας τῆς μεταβολῆς αὐτοὺς καὶ ὧν ἐδέοντο ἐπαγ-
γειλάμενος πράξειν αὐτοῖς παρὰ τῷ βασιλεῖ, ἐκέλευεν ἐλθόντα
εἰς τὴν πόλιν καὶ Νικηφόρον καὶ τοὺς ἄλλους παραλαβόντα
ἥκειν πρὸς αὐτόν.

P. 324 λή. Ἐπεὶ δὲ εἰς τὴν ὑστεραίαν ἅμα καὶ Νικηφόρον ἄ-
γοντες τὸν δούκαν εἰς τὸ στρατόπεδον παρῆσαν, καὶ τῶν Τα-
B ραντίνων ἔτι παρόντων ταῖς ναυσὶ καὶ ὁρώντων τὰ πραττό-
μενα, Θωμοκάστρῳ μὲν ἐγκατέλιπε φρουρὰν τοῦ μὴ παρὰ
τῶν Ταραντίνων τι ἀδικηθῆναι, τῆς στρατιᾶς ἀναχωρούσης·
αὐτὸς δὲ Νικηφόρον τὸν δούκαν ἅμα τοῖς ἄλλοις παραλαβὼν,
ἐπανέζευξεν εἰς βασιλέα. βασιλεὺς δὲ ἀσμένως ἐδέξατο αὐ-
τοὺς καὶ πολλαῖς ἠμείψατο εὐεργεσίαις· Νικηφόρον δὲ τὸν
δούκαν τῷ τε τοῦ πανυπερσεβάστου τετίμηκεν ἀξιώματι καὶ
πολλῆς ἠξίωσεν εὐμενείας καὶ οἰκειότητος τῆς πρὸς αὐτόν.
διατρίψας δὲ ἐν Ἀκαρνανίᾳ ἐξ ἐκείνου ὑπὲρ εἴκοσιν ἡμέρας,
καὶ ὅσα μάλιστα ἔδει πρὸς ἀσφάλειαν ταῖς πόλεσι καταστή-
C σας, ἐπανέζευξεν εἰς Θεσσαλονίκην, χειμῶνος ἤδη ἀρχομένου,
Νοεμβρίου μηνὸς ἐνισταμένου, καὶ διεχείμασεν ἐκεῖ. κατὰ
δὲ τὸν αὐτὸν χειμῶνα καὶ οἱ Ματθαίου τοῦ Καντακουζηνοῦ,
τοῦ μεγάλου δομεστίκου πρώτου υἱοῦ, ἐτελοῦντο γάμοι ἐν
Θεσσαλονίκῃ. ἔγημε γὰρ τὴν Δημητρίου τοῦ δεσπότου θυγα-
τέρα, ὃς ἦν βασιλέως Ἀνδρονίκου τοῦ πρώτου τῶν Παλαιο-
λόγων παῖς. τελεσθέντων δὲ τῶν γάμων πολυτελῶν τε καὶ
A.C. 1340 περιφανεστάτων, ἐπεὶ καὶ ὁ χειμὼν ἤδη περὶ ἐκβολὰς ἦν,

rebus eorum quam optime faciat. Tum magnus domesticus illorum ad partes meliores conversionem laudavit, et quibus egerent, ab imperatore impetraturum fidem dedit iussitque, ut in urbem regressus, cum Nicephoro et aliis ad se reverteretur.

38. Postquam die altero Nicephorum ducam secum adducentes in castris affuerunt, Tarentinis adhuc cum classe praesentibus et quae fierent aspicientibus, domesticus Thomocastri praesidiariam manum reliquit, ne quid, exercitu recedente, Tarentini per iniuriam molirentur: ipse cum Nicephoro duca aliisque ad imperatorem rediit. Quos ille accipit humaniter et muneribus multis honorat: Nicephorum Panhypersebasti dignitate condecorat praecipuaque benevolentia et familiaritate dignatur. Cumque in Acarnania dies adhuc plus vicenos mansisset, et quae ad urbes tutandas potissimum pertinebant, praescripsisset, hiemis initio, mense Novembri instante, Thessalonicam revertens, ibidem hiberna egit. Eadem Matthaei Cantacuzeni primogeniti magni domestici nuptiae cum filia Demetrii despotae, Andronici Palaeologi senioris filii, Thessalonicae sumptuosissime splendidissimeque peractae sunt: secundum quas hieme iam praeci-

παρεσκευάζετο βασιλεὺς ὡς εἰς Βυζάντιον ἐπανήξων. μεταξὺ A. C. 1340 δὲ παρασκευαζομένῳ καὶ ὁ παρακοιμώμενος Ἀπόκαυχος ἐκ Βυζαντίου ἧκεν. οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις τῷ μεγάλῳ δομεστίκῳ προσελθὼν, ἀνεμίμνησκέ τε παλαιῶν εὐεργεσιῶν D ὧν ὑπῆρξεν εἰς αὐτὸν καὶ νῦν ἐδεῖτο, τῶν μὲν ἐτησίων προσόδων, ἃς αὐτὸς καρποῦται, βασιλέως παρασχόντος, κληρονόμους εἶναι παῖδας τοὺς αὐτοῦ· αὐτὸν δὲ ἀδείας τυχόντα ἐκ βασιλέως, φροντιστηρίῳ προσελθεῖν, πᾶσι τοῖς τοῦ βίου χαίρειν εἰπόντα, μίαν δὲ ποιούμενον φροντίδα τὸ τὴν ψυχὴν ἐκ τῶν πολλῶν κηλίδων, ἃς αὐτῇ προσετρίψατο ἐκ τῶν πραγμάτων, ἐκκαθᾶραι. εἰς τοῦτο γὰρ ἐκ Βυζαντίου ἥκειν, οὐδεμίαν ἑτέραν τῆς ἐπιδημίας ἔχοντα αἰτίαν. ὁ μέγας μὲν οὖν δομέστικος οἰόμενος τὰ εἰρημένα εἶναι ἀληθῆ, αὐτός τε ἔφασκεν οὐκ ἂν ἐνδώσειν, μήτε βασιλεῖ περὶ τούτου διαλέξεσθαι. ὁ δὲ αὖθις καὶ πολλάκις προσελθὼν, ἐδεῖτο περὶ τῶν αὐτῶν καὶ ὅρκους προσετίθει ὡς οὐ πλάττεται τὴν αἴτησιν, ἀλλὰ προὔρ- P. 325 γου παντὸς αὐτῷ ἡ ἀναχώρησις τοῦ κόσμου καὶ ὡς οὐδ' ἂν εἴ τι γένοιτο μεταβάλοι τῆς προθέσεως. διὸ καὶ ταύτην ἱκέτευε τελευταίαν εὐεργεσίαν καταθεῖναι ἐπὶ πολλαῖς ταῖς πρότερον γεγενημέναις. ὁ μὲν οὖν τοιαῦτα μετὰ σπουδῆς ἐδεῖτο ὡς ἐδόκει. ὁ μέγας δὲ δομέστικος ἀλγῶν μὲν καὶ τὴν V. 260 ψυχὴν δακνόμενος ἐπὶ τῇ τούτου ἀναχωρήσει, ὅμως δὲ ἀναγκαίαν τὴν αἴτησιν ὁρῶν, ἀπήγγελλε βασιλεῖ ὅσα ὁ παρακοιμώμενος ἐδεῖτο. βασιλεὺς δὲ ὑποπτεύσας, ὅπερ ἦν, ὡς

9. εἰπόντα ed. V. recte pro ἀπόντα.

piti, dum se imperator ad reversionem Byzantium instruit, Apocauchus cubiculo sacro praefectus inde veniens, paucis diebus magnum domesticum adit, quibus olim beneficiis ultro ab eo esset obligatus in memoriam redigit: rogat, ut filii sui redituum, quos in singulos annos caperet, imperatoris concessu heredes instituantur, sibi autem eiusdem bona venia monasterium liceat ingredi, valedicentem rebus huius vitae omnibus et in una tantummodo solicitudine versantem, quo pacto ex anima sua tot maculas quotidianis actionibus inustas eluat: et hanc unam causam profectionis huius sibi extitisse. Magnus domesticus illum vera narrare opinatus, nec se id permissurum, nec cum imperatore super ea re locuturum asseveravit. Apocauchus rursum ac saepius accedere, idem flagitare et iurare, se ex animo petere sibique tam frugiferum nihil posse contingere, quam a mundo secedere: nec susceptam voluntatem depositurum, quo res cumque ceciderit. Orabat igitur suppliciter, ut ad multa in se benefacta hoc postremum adiicere ne gravaretur. Itaque ille quidem serio videbatur hoc poscere. Magnus autem domesticus quia petitionem videbat momenti maximi, eam imperatori exponit, quem

A.C. 1340 οὐκ ἀληθῆ τὰ εἰρημένα, ἀλλά τινος ἕνεκα αἰτίας πλάττεται B ἑτέρας, θαυμάζειν ἔλεγε τῷ μεγάλῳ δομεστίκῳ, εἰ ταῦτα ὄντως οἴεται εἶναι ἀληθῆ. τοῦ δὲ διϊσχυριζομένου, μὴ ἂν ἄλλως ἔχειν, „οὐκοῦν" αὐτῷ ἔφασκε „πείρας ἕνεκα φράσον ὡς βασιλεῖ μὲν οὐκ ἂν εἴη κατὰ γνώμην, ἀλλὰ καὶ ἄχθοιτο μᾶλλον, τοῦ βίου σοῦ ἀναχωροῦντος. ὡς ἂν δὲ μὴ πράγματος οὕτω καλοῦ καὶ θεοφιλοῦς κώλυμα αὐτὸς ὀφθεὶς δοκῇ βασκαίνειν τοῖς καλοῖς, ἐνδίδωσιν". ὁ μέγας δὲ δομέστικος μὴ πείρας ἕνεκα τοιαῦτα λέγειν ἔφασκε δέον, ὡς οὐκ ἂν φθάνοι τὴν ἀπολογίαν εἰληφὼς, καὶ συνταξάμενος ἀναχωρήσει· ἀλλὰ μᾶλλον εἴ τι δέοιτο αὐτοῦ, κωλύειν. βασιλεὺς δὲ καὶ αὖθις ἔφασκε τὰ προειρημένα λέγειν πρὸς αὐτόν· καὶ C γὰρ ἀκούσεταί τε τῶν λόγων καὶ μενεῖ ἐπὶ τοῖς πρότερον. ὁ μὲν οὖν ἐπείθετό τε βασιλεῖ καὶ παρακοιμωμένῳ ἐξήγγελλε τοὺς βασιλέως. ὁ δὲ μηδὲ ὅλους σχεδὸν ἀκοῦσαι ἀναμείνας, οἴεσθαι ἔφασκε μάλιστα κατὰ γνώμην εἶναι βασιλεῖ τὴν ἐκείνου ἀναχώρησιν καὶ ὅλῃ προθέσει ἐπιτρέπειν· ἐπεὶ δὲ οὐ φίλον αὐτῷ, οὐδ' αὐτὸν ποιήσειν. ὁ μὲν οὖν ὡς ἐπὶ τοῖς πρότερον λεγομένοις ἐξηπατᾶτο συνιεὶς, βασιλεῖ μετὰ παιδιᾶς προσελθὼν ἀπήγγελλεν ὅσα ὁ παρακοιμώμενος ἀποκριθείη. βασιλεῖ δὲ διατριβήν τε οὐ μετρίαν παρέσχοντο οἱ λόγοι καὶ τῷ μεγάλῳ δομεστίκῳ παίζων ἔλεγεν, ὡς νῦν γοῦν ἂν πεισθείη, ὀξύτερόν τε νοεῖν ὄντα αὐτοῦ καὶ μᾶλλον D ἐκ τῶν λόγων εἰδότα καταστοχάζεσθαι γνώμας ἀνδρῶν. ὁ δ'

suspicio vera incessit, rem non ita se habere, sed alia quapiam de causa totum fingi. Proinde mirari se dixit magnum domesticum, si fidem possit tribuere. Quo asseverante, esse aliter non posse: Ergo tu, inquit, pericliteris velim eique dicas, non probaturum, sed moleste laturum potius imperatorem, si a vita communi se removerit. Verumtamen ne rem adeo honestam Deoque amabilem impediendo videatur ei bona invidere, non repugnaturum. Non opus est, excipit magnus domesticus, tentandi gratia haec ei dicere: simul enim responsum audiet, valedicet ac secedet: sed potius, si quid eo egeat, coepto prohibendum. Imperator iterato iubet eadem dici: nam audientem fore et in statu priore perstiturum. Paret domesticus: imperatoris responsum Apocaucho renuntiat. Qui nec totum quidem audire sustinens, putare se ait, secessum suum imperatori etiam atque etiam iucundum accidere eiusque facultatem libentissime concedere: quia vero ipsi domestico displiceret, non se facturum. Is verbis eius antea se circumscriptum fuisse intelligens, imperatori iocabundus, quid ille responderit narrat. Unde non mediocriter delectatus imperator, domestico per ludum, Saltem nunc credes, inquit, me solertiorem esse te magisque nosse, ex hominum

ἔφασκε, πάλαι τε πεπεῖσθαι οὐδὲ τοσοῦτον ὅσον λανθάνειν δια- A.C. 1340
φέροντα, καὶ νῦν μάλιστα ὁμολογεῖν ὡς ἁπάσαις ψήφοις αὐ-
τοῦ κρατεῖ πρὸς τὸ φρονεῖν. οἱ μὲν οὖν τοιαῦτα πρὸς ἀλλή-
λους διειλέχθησαν ἐν παιδιᾷ. Ἀπόκαυχος δὲ οὐ μετὰ πολλὰς
ἡμέρας αὖθις τῷ μεγάλῳ δομεστίκῳ προσελθὼν, „τὸ μὲν ἀπο-
στῆναι" ἔφασκε „παντάπασι τοῦ κόσμου, καίτοι μάλιστα κατὰ
γνώμην ὂν, οὐκ ἐξεγένετο. δεύτερον δὲ, ὅ φασιν, ἐπῆλθέ
μοι πλοῦν, τὴν οὐσίαν τοῖς παισὶ διελομένῳ, τὴν διαφέρου-
σαν ἐμοὶ τοῦ πλούτου μοῖραν εἰς τὸν κατὰ τῶν Περσῶν πό-
λεμον ἐξαναλῶσαι. οἶσθα γὰρ ὡς ἤδη καὶ αὐτοὶ στόλοις ὅ- P. 326
λοις χρώμενοι, νήσους τε ἤδη ἐξηνδραποδίσαντο σχεδὸν, καὶ
πρὸς Θρᾴκην περαιούμενοι καὶ τὴν ἄλλην Μακεδονίαν, οὐ
μὴν ἀλλὰ καὶ Ἑλλάδα καὶ Πελοπόννησον κακῶς ποιοῦσιν. εἰ
οὖν σοὶ πρῶτον, ἔπειτα καὶ βασιλεῖ πυθομένῳ δόξειε λυσιτε-
λεῖν καὶ παράσχοισθε Βυζαντίου τε καὶ τῶν νήσων τὴν ἀρ-
χὴν καὶ χρήματα ἐκ τῶν κοινῶν ὅσα ἂν ὑμῖν βουλομένοις ᾖ,
στόλον ἐξαρτύσομαι αὐτὸς, καὶ ἐκ τῶν ἰδίων προσαναλώσας, καὶ
πάσῃ σπουδῇ καὶ προθυμίᾳ πολεμήσω τοῖς βαρβάροις. οἴομαι
δὲ Ῥωμαίοις τε ὠφέλειαν οὐ τὴν τυχοῦσαν τὴν ναυτικὴν ταύτην
προξενήσειν δύναμιν θαλασσοκρατοῦσαν καὶ ἀπείργουσαν τοὺς B
βαρβάρους τοῦ μὴ τὰς νήσους καὶ τὴν ἤπειρον κακουργεῖν·
καὶ πρὸς τὴν σωτηρίαν τῆς ἐμῆς ψυχῆς τὰ μέγιστα συμβα-
λέσθαι, ἂν οἱονεὶ λύτρα τὰ χρήματα παρεχομένῳ ὑπὲρ τῶν

1. πεῖσθαι legebatur.

verbis eorum sensa coniicere. Tum domesticus, et iampridem credidisse, nec ita excellere ipsum iudicio, ut lateret: et nunc maxime confiteri, se ab eo intelligendi prudentia longe victum esse. Haec illi inter se iocantes. Apocauchus paucis diebus interiectis, denuo magnum domesticum conveniens, mundo penitus nuntium remittere non sibi licuisse dixit, quantumvis id ardentissime cupivisset: verum secundam, quod aiunt, navigationem sibi occurrere, ut divisis inter filios facultatibus, divitiarum sibi partem potiorem retineat, quam in bellum Persicum conferat. Scis enim, inquit, quomodo plenis classibus insulas iam prope in servitutem redegerint: quomodo Thraciam et Macedoniam, eo traiicientes, imo et Helladem ac Peloponnesum incursent. Quare si tibi primum, deinde imperatori abs te persuaso conducere videbitur, ut Byzantii insularumque praefectum me declaretis pecuniamque ex aerario, quantam volueritis, subministretis, ego addens de meo, classem instruam omnique diligentia et alacritate cum barbaris decertabo. Puto autem navalem istam expeditionem mare obtinentem barbarosque coercentem, ne in insulas et continentem grassentur, cum Romanis non parum profuturam: tum ad animae meae salutem momentum prae-

A.C. 1340 μελλόντων ὑπὸ τῶν βαρβάρων ἀποκτίννυσθαι καὶ ἐξανδραποδίζεσθαι. ὡς οὖν εἴς τε τὸ κοινὸν Ῥωμαίων τῆς ἐκεῖθεν ὠφελείας διαβαινούσης καὶ ἰδίᾳ ἐμοὶ οὐκ ὀλίγης ἐσομένης εἰς τὴν σωτηρίαν τῆς ψυχῆς, δέομαι βασιλέως τε καὶ σοῦ, τὴν χάριν ταύτην παρασχεῖν". Ὁ μέγας δὲ δομέστικος ἑαυτῷ τε V.261 καὶ τῷ κοινῷ λυσιτελοῦντα οἰόμενος παρακοιμώμενον αἰτεῖν, αὐτός τε ἐπείθετο καὶ ἐπηγγείλατο ποιήσειν, καὶ βασιλεῖ ἀ- C πήγγελλε προσελθὼν, ἅμα καὶ ἐνάγων πρὸς τὸ δεῖν τὴν ἀξίωσιν αὐτοῦ λυσιτελοῦσαν πράττειν τῷ κοινῷ. βασιλεὺς δὲ εἰ σπουδάζων ταῦτα καὶ μὴ εἰρωνευόμενος λέγει ἐπυνθάνετο· ὡς δ' ἤκουεν, οὐκ ἐν παρέργῳ, ἀλλὰ μετὰ σπουδῆς λέγειν, θαυμάζειν ἔφασκεν αὐτοῦ πολλὰ, εἰ πρὸς τοιαύτην ἐπιχείρησιν ἀξιόχρεων ᾠήθη ἔσεσθαι Ἀπόκαυχον. εἰ μὲν γὰρ οἰόμενος σοὶ φίλον εἶναι ταύτην ἐβουλεύσω αὐτῷ τὴν χάριν καταθεῖναι, ἴσθι σεαυτὸν ἐξαπατῶν· οὐδὲν γὰρ ἧττον ἐγὼ σοι πολέμιος, ἢ ἐκεῖνος φίλος· εἰ δὲ ὡς τῷ κοινῷ λυσιτελήσοντα τὸν κατὰ Περσῶν πόλεμον ἐγχειρίζειν παραινεῖς, ἔτι μᾶλλον θαυμά- D ζειν, ὅθεν ὁρμώμενος αὐτός τε ἐπείσθης καὶ ἐμοὶ προείλου τὰ ἴσα συμβουλεύειν. οὐδὲ γὰρ οὐδὲ παρὰ πάντα τὸν βίον οὔτε κατεπράξατό τι στρατιώτῃ πρέπον, οὔτε ἐμέλλησεν, ἀλλὰ φόρων τε εἰσπράξεις δημοσίων καὶ χρημάτων καὶ προσόδων διοικήσεις φίλαι, αἷς ἐγγεγηρακὼς, εἰκότως ἐν τοῖς τοι-

2. Post ἐξανδραποδίζεσθαι excidit ἔξεσται. 7. αὐτόν legebatur.

cipuum allaturam, si mihi argentum meum ad futura tamquam lytrum peccatorum impendenti, a barbaris aut captivum abduci aut interfici contigerit. Quando igitur ad commune Romanorum et ad me seorsum, ad salutem animae non parva ex hoc redundatura est utilitas, imperatorem et te rogo, uti hoc apud me beneficium ponere velitis. Magnus domesticus Apocauchum sibi et reipublicae commoda petere iudicans, assensit et facturum spopondit: reque ad imperatorem relata, eum ad petitioni huic, veluti reipublicae salutari, obsequendum impellere instituit. Imperator, num ex animo ista citraque dissimulationem dicat sciscitatur: audiensque non quasi aliud agentem, sed dedita opera dixisse: Equidem te impense miror, inquit, cum ad huiuscemodi conatus Apocauchum idoneum censuisti. Si enim arbitratus esse amicum tibi, hoc in eum collocare meritum voluisti, crede mihi, tute tibimet illudis. Tam enim ego tibi inimicus atque hostis, quam ille amicus. Si autem bellum ei contra Persas aggrediundum suades, amplius miror, undenam tu persuasus, idem mihi persuadere nitare. Nunquam hic homo, nunquam in omni vita sua militare aliquod facinus edidit neque edet: sed tributorum publicaeque pecuniae et redituum coactiones procurationesque eum delectant: in quo munere quoniam

οὕτοις ἐμπειρίαν ἐκτήσατο πολλήν. τὰς δὲ τοιαύτας πρά- A.C. 1340 ξεις καὶ τὰς ναυμαχίας ἀνδρὸς δεῖσθαι μάλιστα τοῖς ὅπλοις ἐντραφέντος καὶ σαφεῖς τὰς ἀποδείξεις ἐν πολλοῖς παρεσχημένου τῆς τε τόλμης καὶ τῆς ἐμπειρίας τῆς κατὰ τὰς μάχας. Ὁ δ' ἔφασκε τὰ ἴσα μὲν καὶ αὐτὸς εἰδέναι περὶ παρακοιμωμένου. οὔτε γὰρ ἑαυτὸν ἤσκει παρὰ τὸν βίον ἐν τοῖς προσήκουσιν ἔργοις στρατιώτῃ, οὔτε ἀπόδειξίν τινα παρέσχετο οὐδεμίαν οὔτε τόλμης οὔτε ἐμ- P. 327 πειρίας· ὅθεν οὐδὲ οἷα ἀξιόχρεων πρὸς στρατηγίας τὸν κατὰ Περσῶν πόλεμον αὐτῷ ἐγχειρίζειν παραινεῖν. ἀλλ' εἰδὼς μάλιστα τοὺς Πέρσας πεζομαχίας μὲν καὶ ἱππομαχίας ἐμπειροτάτους καὶ δεινοῦ δεομένους τοῦ ἀντιστησομένου στρατηγοῦ, ἐν ναυμαχίαις δὲ ἀτολμοτάτους δι' ἀπειρίαν καὶ ῥᾳδίους τῷ προστυχόντι παντὶ ἡττᾶσθαι, ἄλλως τε καὶ τριήρεσι ταῖς ἡμετέραις πολλοὺς παρεσομένους ἐμπειροτάτους καὶ ναυμαχιῶν καὶ πεζομαχιῶν, οἷς χρήσεται παρακοιμώμενος διδασκάλοις πρὸς τὸν πόλεμον, αὐτός τε ᾠήθην μὴ δεῖν ἀμβλύνειν τὴν προθυμίαν αὐτοῦ τὴν περὶ τὰ καλὰ καὶ σοῦ ἥκω δεησόμενος τὴν στρα- B τηγίαν ἐπιτρέπειν. ἴσως γὰρ ἡ προθυμία τῇ ἀτολμίᾳ καὶ ἀπειρίᾳ ἀντίῤῥοπος ὀφθεῖσα, χρήσιμον πρός τι τῶν δεόντων ἀποδείξει. πρὸς ταῦτα ὁ βασιλεὺς „ὁρῶ μέν σε" εἶπε „μάλιστα προθυμούμενον Ἀποκαύχῳ τῶν τριήρεων ἐγχειρίζειν τὴν ἀρχήν, καὶ διὰ τοῦτο οὐδὲ πολὺν περὶ αὐτοῦ βούλομαι ποιεῖσθαι λόγον, ἀλλ' ὃ προείλου πρᾶττε. εὔχομαι δὲ μὴ κἂν τοῖς τοιούτοις αὐτὸς φανεῖσθαι ἀληθεύων." Τοιαῦτα πρὸς

consenuit, iure multam experientiam est adeptus. Haec autem negotia et praelia maritima virum quaerunt maxime, qui militiam a puero toleraverit claraque fortitudinis et bellicae exercitationis documenta saepe dederit. Tum ille, se quoque haud nescire, Apocauchum, quamdiu adhuc vixerit, in nullo opere militari versatum, neque ullum vel generosi animi vel usus bellici specimen prodidisse. Quocirca non se auctorem esse, ut tamquam accommodato duci bellum Persicum mandetur: sed cum videat Persas pedestri equestrique pugna valere plurimum, quibus dux bene peritus opponi debeat, navali autem conflictu eosdem propter insolentiam timidissimos facileque a quovis obvio superari: adhaec in Romanis triremibus fore navalis et terrestris praelii scientissimos, quos ille magistros capere poterit, ideo se existimasse, eius ad res praeclaras impetum retundi non oportere: et ut navalis exercitus imperator fiat, rogatum venisse. Forsitan enim ardorem eius timiditatem pristinam et inscitiam compensaturum, et alicui rei agundae aptum atque utilem redditurum. Rursum imperator, Quia te ad triremium praefecturam Apocaucho mandandam mire propensum cerno, plura non dicam: tu quod deliberatum habes, facias licet. Utinam falsus vates reperiar. Post

A.C. 1340 ἀλλήλους αὐτῶν διειλεγμένων, ἐπεὶ ἐδέδοκτο παρακοιμωμένῳ Βυζαντίου καὶ τῶν νήσων ἐπιτρέπειν τὴν ἀρχὴν ἅμα τοῖς ἐκ τούτων ἐτησίοις φόροις, γράμματα ἐγράφετο βασιλικὰ, ἄρχοντα ἀποδεικνύντα παρακοιμώμενον τοῦ στόλου τοῦ κατὰ C Περσῶν, καὶ ἀπὸ τῶν δημοσίων κελεύοντα λαμβάνειν χρυσίου μυριάδας δέκα ὥστε ἔχειν ἔκ τε τούτων καὶ ἀπὸ τῶν ἰδίων, ὡς ὑπέσχετο, τριήρεις τε παρασκευάζειν καὶ τὸ μισθοφορικὸν τρέφειν τὸ ἐν ταύταις. ἐπεὶ δὲ τά τε γράμματα εἰλήφει καὶ τὴν ἀρχὴν ἐνεχειρίσθη, πρὸς Βυζάντιον ἐλθὼν, τὰ μὲν βασιλικὰ γράμματα οὐ παρέσχετο ἀναγινώσκεσθαι ἐπ' ἐκκλησίας, ὡς ἂν εἰδεῖεν πάντες ὡς τῆς περὶ αὐτοὺς εὐνοίας εἴη καὶ κηδεμονίας βασιλέως ὁ στόλος ἔργον ἔκ τε τῶν βασιλικῶν χρημάτων ἡ δαπάνη, ἵνα καὶ ἡ εὐφημία τῶν πολλῶν καὶ ὁ ἔπαινος πρὸς βασιλέα ᾖ. ἀλλὰ ταῦτα μὲν ἀφανείᾳ πα- D ρεδίδου· αὐτὸς δὲ τὰ μὲν βασιλικὰ χρήματα παρὰ τῶν τὰ V. 262 δημόσια πραττόντων λαμβάνων κρύφα, οἴκοθεν δὲ ἀναφανδὸν μεταπεμπόμενος, ἐπλήρου τὰς τριήρεις. ἐξ ὧν αὐτὸς μὲν ἐθηρᾶτο τὴν δόξαν τὴν παρὰ τοῦ πλήθους, καὶ πολὺς ἦν ᾀδόμενος παρὰ πᾶσιν ὡς τῶν οἰκείων οὐ φειδόμενος οὔτε χρημάτων οὔτε πόνων ὑπὲρ τῶν κοινῇ λυσιτελούντων. βασιλεῖ δὲ, ὥσπερ εἰκὸς, προσετρίβετο τὴν μέμψιν καὶ τὸν γογγυσμὸν τὸν παρὰ τῶν πολλῶν ὡς τῶν λυσιτελούντων ὑπηκόοις μηδεμίαν ποιουμένῳ πρόνοιαν. ὅμως δὲ πληρώσας τὰς τριήρεις περιέπλευσε τὰς νήσους μέχρι Χίου, καὶ ἐννέα ναυσὶ Περσικαῖς

colloquium istuc, ubi certum fuit, Apocaucho Byzantii insularumque praefecturam cum earum vectigalibus committere, instrumentum imperatoris nomine confectum est, quo ille classis contra Persas ductor designabatur et de aerario centum aureorum millia sumere iubebatur, ut hinc et ex propriis, quod pollicebatur, triremes compararet ac mercenariis militibus de victu provideret. His litteris acceptis et praefecturam consecutus, Byzantium venit: nec eas in conventu legendas exhibuit, ut omnes nossent, classem imperatoriae erga illos benevolentiae ac solicitudinis opus esse, sumptumque de imperatoris pecunia suppeditari: quo proinde illum vulgus admurmurationibus et laudibus prosequeretur: sed eas quidem occultavit: ipse cum a quaestoribus clam pecuniam acciperet, domo sua manifeste aliam petebat et triremes instruebat: ac popularem auram captabat magnopereque celebrabatur ab omnibus, quod nec pecuniis suis nec laboribus adiuvandae reipublicae causa parceret. Contra imperatorem autem, ut erat consentaneum, apud plebem querelae murmuraque excitabantur, ut qui subiectorum commoda nullo loco haberet. Apocauchus instructis triremibus insulas usque Chium circumnavigans, cum in novem Persicas naves incidisset, iis cum ipsis vectoribus

περιτυχὼν ἐκράτησεν αὐτάνδρων καὶ πάλιν ἀπέπλευσεν εἰς A. C. 1340 Βυζάντιον. πυθόμενος δὲ ὁ βασιλεὺς ὅσα αὐτῷ περὶ τὰ βασιλικὰ γράμματα κακουργηθείη, καὶ ὡς λόγους διαδοίη, μὴ βασιλέως, ἀλλ' ἐκ τῶν ἰδίων εἶναι τὴν δαπάνην τῶν τριήρε- P. 328 σων, ὀργῇ τε ἐφέρετο πρὸς αὐτὸν καὶ πρὸς τὸν μέγαν δομέστικον, ὡς ὑπὲρ ἐκείνου πράττοντα ἀεί. „ὁρᾷς" ἔφη „οἷα Ἀπόκαυχος τυρεύει; ἐγὼ δὲ καίτοι πολλάκις ὁρμηθεὶς τὰ δέοντα ποιεῖν, σοῦ κωλύοντος, ἀπεσχόμην. νυνὶ δέ μοι δοκῶ μηδὲν ἐμποδὼν ἔσεσθαι ἃ αὐτὸς οἴομαι λυσιτελεῖν ποιεῖν." βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπεν ὀργιζόμενος. ὁ δ' ἑαυτῷ συνειδὼς μάλιστα αἰτίῳ τῶν παρόντων ὄντι, (αὐτὸς γὰρ παρέσχετο Ἀποκαύχῳ τὴν ἀρχὴν, βασιλέως ἀντιλέγοντος,) σιωπῇ παρῆλθε μηδὲν ἀποκριθείς. βασιλεὺς δὲ ἄχρι ἦρος ἀρχομένου δια- A.C. 1341 τρίψας ἐν Θεσσαλονίκῃ, ἄρας ἐκεῖθεν ἦλθεν εἰς Διδυμότει- B χον καὶ μετὰ μικρὸν ἐγένετο ἐν Βυζαντίῳ. ἐνδιατρίψας δὲ καὶ Βυζαντίοις χρόνον τινὰ οὐχὶ συχνὸν, ἔμελλεν αὖθις εἰς Θρᾴκην ἐξελθὼν πόλιν παλαιὰν κατεσκαμμένην, ἧς φασιν Ἀρκάδιον εἶναι οἰκιστὴν τὸν Θεοδοσίου τοῦ μεγάλου, ἐξ οὗ καὶ τὴν προσηγορίαν ἔλαχεν, Ἀρκαδίου προσαγορευομένη πόλις, αὖθις ἀνοικοδομεῖν, ἔστιν οὗ καὶ ἄχρι νῦν περισωζομένων τῶν τειχῶν, ἀγασθεὶς τοῦ τόπου τὴν εὐφυΐαν. ἦν γὰρ καὶ περὶ τὰς οἰκοδομὰς φιλότιμος ὁ βασιλεὺς, οὐ μόνον χρείας ἕνεκα, ἀλλὰ καὶ ψυχαγωγίας ὢν ἕτοιμος ἀναλοῦν. περὶ

3. *λόγου* legebatur.

potitus, Byzantium relegit. Imperator, ut eius in litteris supprimendis nequitiam, et quomodo in vulgum voces sparsisset, non imperatoris, sed suam esse pecuniam, quae in triremes impenderetur, rescivit, in hominem excandescens, magnum domesticum, ut eius perpetuum fautorem, his verbis compellat: Sentin' quid Apocauchus struat? Ego vero tametsi frequens quod erat mearum partium volui, abs te impeditus omisi. Nunc mihi ad ea quae e republica fore iudico facienda, nihil erit impedimento. Haec ille irarum plenus. Domesticus sibi conscius ut auctori huius tragoediae (ipse namque, imperatore nolente, praefectura illum auxerat) cum silentio discessit. Imperator usque ad vernam tempestatem Thessalonicae moratus, inde Didymotichum et paulo post Byzantium se contulit, ubi cum haud diu mansisset; rursum in Thraciam erat egressurus, ut antiquam urbem iam eversam, alicubi muris usque hodie adhuc integris (cuius Arcadium Theodosii magni filium conditorem ferunt, a quo et nomen invenit, Arcadiopolis dicta) reaedificaret, loci natura delectatus videlicet. Erat siquidem imperator etiam aedificationum percupidus paratusque non necessitatis modo, sed et voluptatis causa in aedificia sumptus impendere. Certe prope Thessalonicam a fun-

A. C. 1341 μὲν γὰρ Θεσσαλονίκην οὔπω πρότερον ὂν τὸ Γυναικόκαστρον C προσαγορευόμενον ἐτείχισε, καὶ πύργον ἐπιστήσας μεγέθει τε μέγιστον καὶ καρτερώτατον ἀντισχεῖν πρὸς πολεμίων μηχανάς· ὅθεν ἔλαχε καὶ τὴν προσηγορίαν, ὡς καὶ γυναικείας οὔσης φρουρᾶς, κρείττων ἐσόμενος παντοίας πολεμίων προσβολῆς. καὶ περὶ Φερὰς ἕτερον Σιδηρόκαστρον, καὶ αὐτὸ διὰ τῶν τειχῶν τὸ εὐπαγὲς καὶ λίαν ὀχυρὸν ὠνομασμένον. Ἀμφίπολιν δὲ τὴν ἐν Στρυμόνι πόλιν Ἑλληνίδα παλαιὰν, ἐκ πολλῶν ἐτῶν κατεσκαμμένην αὖθις ἐτείχισεν ὁ βασιλεὺς καὶ συνῴκισεν ἐκ τῶν πέριξ πόλεων πέμψας ἀποικίας. οὐ μὴν ἀλλὰ καὶ περὶ Θρᾴκην παράλιον ἑτέραν πόλιν κατεσκαμμένην D καὶ αὐτὴν, ἧς φασιν Ἀναστάσιον βασιλέα Ῥωμαίων οἰκιστὴν καὶ ἐξ ἐκείνου προσαγορευομένην, ἀνέστησεν αὖθις οὐ πᾶσαν, ἀλλ' ὅσον μάλιστα ἐνῆν ἀπολαβὼν, καὶ Περιθεώριον προσηγόρευσεν. ἕτερον δὲ φρούριον ἐδείματο, οὐ πολὺ ἀφεστηκὸς θαλάσσης, Διπόταμον προσαγορευθέν. ἃ δὴ πάντα οὐ μᾶλλον φιλοτιμίας ἢ ἀσφαλείας τῶν χωρίων ἕνεκα, ἐν οἷς ἐκτίσθησαν, ἐτείχισεν ὁ βασιλεύς. Ἀρκαδιούπολιν δὲ διὰ τὰς ἐκ τῶν Σκυθῶν ἐφόδους ἀναγκαίαν οὖσαν, ἀνοικοδομῆσαι ἠβουλήθη πολυτελῶς καὶ οἰκήτορας ἐκ τῶν ἐπιφανῶν ἐγκαθιδρύσαι, εὐδαίμονά τε καὶ ὀλβίαν ἀποδεῖξαι καὶ τῶν κατὰ τὴν Θρᾴκην ἄλλων πόλεων ὑπερέχουσαν πολλῷ μετὰ τὴν μεγάλην πόλιν.

8. Στρυμμόνι legebatur. Supra p. 267, 16. recte Στρυμόνος.

damentis Gynaecocastrum appellatum construxit, et turrim magnitudine maxima atque ad hostium machinas excipiendas validissimam imposuit: unde et nomen sortita est, quia quamvis a foeminis defensa, quemvis hostium impetum elusura sit. Iuxta Pheras Siderocastrum excitavit, et ipsum ab murorum soliditatem egregiam sic nominatum. Amphipolim autem ad Strymonem fluvium, urbem Graecam et vetustam, multis abhinc annis dirutam instauravit et ex urbibus finitimis coloniam eo deduxit. Quin et aliam Thraciae maritimam urbem ab Anastasio imperatore, ut fama est, conditam et ab eo dictam, tum autem destructam restituit, non totam illam quidem, sed quantum potuit, moenibus complexus, et Peritheorium indigitavit. Praeterea haud procul a mari castellum Dipotamum aedificavit. Atque haec omnia non gloriae causa magis, quam ut loca, in quibus ea construebat, secura ac tuta redderet. Arcadiopolim vero, Scytharum incursionibus prohibendis necessariam, maioribus impendiis instaurare, et nobilibus incolis ibidem collocatis, felicem ac beatam et inter civitates Thraciae secundum magnam illam urbem longe principem efficere voluit.

λθ΄. Συμβάσης δέ τινος ταραχῆς περὶ τὴν ἐκκλησίαν, A.C. 1341
περιμείνας ὥστε τὰς προφάσεις τῆς ταραχῆς ποιῆσαι ἐκπο- P. 329
δὼν, ἐτελεύτησε μετὰ μικρὸν, μηδὲν ὧν ἐσκέπτετο εἰς ἔργον V. 263
ἀγαγών. μοναχὸς γάρ τις ὁρμώμενος ἐκ Καλαβρίας τοῖς B
Λατίνων ἤθεσι καὶ νόμοις ἐντραφεὶς, ὄνομα Βαρλαὰμ, ἄλ-
λως δὲ νοῆσαί τε ὀξὺς καὶ τὰ νοηθέντα ἐξηγήσασθαι ἱκανώ-
τατος, καὶ τὰ Εὐκλείδου καὶ Ἀριστοτέλους καὶ Πλάτωνος ἐκ-
μελετήσας καὶ διαβόητος περὶ ταῦτα ὢν, ἐπὶ κακῷ τῇ Ῥω-
μαίων ἐπεδήμησε βασιλείᾳ. πολλῶν γὰρ ἐνέπλησε καὶ μεγά-
λων στάσεων εἰρήνην ἄγουσαν τὴν ἐκκλησίαν. ὑποκρινάμε-
νος γὰρ τὰ Λατίνων ἀποσείεσθαι, λόγους τε συνεγράφετο κατ'
αὐτῶν καὶ ἀπεδείκνυε λογικῶς περὶ τὴν πίστιν σφαλλομένους,
καὶ τοῖς ἡμετέροις ἔχαιρεν ἤθεσι καὶ νόμοις καὶ ὅλως σαφεῖς
ἐδόκει παρέχεσθαι τὰς ἀποδείξεις τοῦ κατεγνωκέναι τὰ Λα- C
τίνων ἀληθῶς. διὰ ταῦτά τε οὖν καὶ τὴν ἄλλην σοφίαν τῆς
τε παρὰ βασιλέως ἀπέλαυεν εὐμενείας καὶ τιμῆς, καὶ παρὰ
μεγάλου δομεστίκου οὐδὲν ἧττον ἠγαπᾶτο καὶ προνοίας ἠξι-
οῦτο, καὶ οὐδὲν ἐνέδει αὐτῷ τοῦ μὴ ἐν εὐπραγίαις εἶναι. οὗ-
τος δὴ ὁ Βαρλαὰμ εἴτε καὶ εὐθὺς ἐξ ἀρχῆς τὴν ὁμοίαν γνώ-
μην ἔχων, εἴτε ὕστερον μεταβαλὼν, μᾶλλον δὲ ὑπὸ τοῦ κοι-
νοῦ τῶν Χριστιανῶν πληρώματος πολεμίου ἐναγόμενος, πρό-
φασίν τινα ζητῶν, ἐξ ἧς τὰ ἡμέτερα διακωμῳδήσει καὶ πρὸς
πόλεμον χωρήσει φανερῶς, ὡς δὴ μαθητιῶν τινι προσῆλθε

5. ἐκτραφεὶς legebatur.

39. Ceterum quibusdam turbis in ecclesia excitatis, paulo post, dum earum occasiones amputandi commoditatem exspectat, vita excedit, infectis omnibus quae fuerat meditatus. Monachus enim quidam e Calabria profectus, Latinorum moribus et legibus educatus, nomine Barlaamus, acutus alioqui et perspicax et ad intelligentiam explicandam disertissimus: insuper in Euclide, Aristotele, Platone volutatus et ob id illustri fama, ad calamitatem Romani imperii Thessalonicam advenit: multis enim magnisque seditionibus ecclesiam pacatam implevit. Qui cum se Latinorum dogmata profligaturum simulasset, libellis adversum illos compositis, demonstrabat, eos in religionis doctrina falli, nostrisque gaudebat institutis et a se Latinorum dogmata ex animo damnari apertissima dabat indicia, ut apparebat. Ob hanc igitur sacram et illam aliam civilem eruditionem imperator honore et amore eum dignabatur, et magnus quoque domesticus curabat et diligebat: nec illi quidquam ad felicitatem deerat. Hic ergo Barlaamus sive statim a principio ea opinione imbutus, sive postea immutatus, vel ut dicam rectius, a communi Christianorum hoste instinctus, occasionem quamdam affectans, qua nostra quasi per comoediam traduceret et bellum nobiscum apertum gereret, velut discendi causa ad quemdam ex iis qui dicuntur quie-

A.C. 1341 τῶν ἡσυχαζόντων, λόγου τε ἀπεστερημένῳ παντελῶς καὶ ὀλί-
D γον διαφέροντι ἀλόγων καὶ οὐδὲ φρονήσεως γοῦν μετεσχηκότι
πρεπούσης ἰδιώτῃ· καὶ ὑπεκρίνετο βούλεσθαι μαθητεῦσαι
παρ' αὐτῷ καὶ τὴν ὁδὸν τῆς ἡσυχίας ἐκδιδάσκεσθαι καὶ τοὺς
νόμους τῆς ὑποταγῆς. ἔπεισέ τε δεηθεὶς καὶ διέτριψε παρ'
αὐτῷ ἡμέρας οὐ πολλάς. καὶ μετὰ ταῦτα τοῦ ἀμαθοῦς
ἐκείνου ἐδεῖτο διδάσκειν περὶ ἡσυχίας καὶ ὅτῳ τρόπῳ καὶ
αὐτὸς ἐν ἡσυχασταῖς αὐθήμερον τελέσειεν ὑποθέσθαι. ὁ δὲ
τόν τε δόλον μὴ συνιδὼν, ὑπό τε τῆς ἄγαν κουφότητος ἐ-
παρθεὶς, ἄλλα τε ἐδίδασκε τὸν πονηρότατον ὁ ἀνόητος καὶ
P. 330 ὡς προκόπτοντες κατὰ μικρὸν οἱ ἡσυχάζοντες καὶ προσευχό-
μενοι ἀθορύβως, ἀγαλλίασίν τέ τινα καὶ ἄῤῥητον ἡδονὴν καὶ
θείαν ἐπιδέχονται ἐν τῇ ψυχῇ καὶ φῶς ὁρῶσι τοῖς σωματικοῖς
ὀφθαλμοῖς ἀστράπτον περὶ αὐτούς. ἐπὶ μὲν οὖν τοῖς ἄλλοις
πολλὴν κατεγίνωσκεν ὁ Βαρλαὰμ ἄνοιαν τοῦ ἀνδρὸς καὶ ἀμαθίαν·
φῶς δὲ ἀκούσας ὁρώμενον ὀφθαλμοῖς σωματικοῖς, οὐκέτι οὐδὲ
ἠρεμεῖν ἠνέσχετο, ἀλλὰ κοινὴν ἐποιεῖτο τῶν ἡσυχαζόντων κα-
ταδρομὴν, ἀπατεῶνας καλῶν καὶ ψευδομένους καὶ Μασσα-
λιανοὺς καὶ Ὀμφαλοψύχους καὶ τὰ ὀρθὰ τῆς ἐκκλησίας δό-
B γματα διαστρέφοντας καὶ εἴ τι ἕτερον τοιοῦτον, καὶ διεμαρτύ-
V. 264 ρετο ἀναφανδὸν ὡς δεῖ πάντα ὁντινοῦν ἀπέχεσθαι αὐτῶν
πλανώντων τε καὶ πλανωμένων, οὓς ἔδει τήν τε ἀρετὴν τε-
λείους εἶναι καὶ περὶ τὰ δόγματα μάλιστα ἀσφαλεῖς, ὡς τῶν
ἀνθρώπων τὰς ψυχὰς αὐτοῖς διὰ τὴν δοκοῦσαν εὐλάβειαν

